EXCERPTA
E SCRIPTORIBUS
GRÆCIS

AD USUM STUDIOSÆ JUVENTUTIS ACCOMMODATA NEC NON
ARGUMENTIS ET ANNOTATIONIBUS ILLUSTRATA

OFFEREBAT

FAVENTE SUPREMO STUDIORUM SENATU
DILECTISSIMIS GALLICARUM ACADEMIARUM ALUMNIS

L. D'ANDREZEL

UNUS E PRIMARIIS UNIVERSITATIS INSPECTORIBUS.

NOVA EDITIO.

PARIS.

IMPRIMERIE ET LIBRAIRIE CLASSIQUES
DE JULES DELALAIN

IMPRIMEUR DE L'UNIVERSITÉ

rue de Sorbonne et des Mathurins Saint-Jacques.

EXCERPTA

E SCRIPTORIBUS

GRÆCIS.

EXTRAITS D'AUTEURS GRECS

QUI SE TROUVENT A LA MÊME LIBRAIRIE.

Choix de Discours des Pères Grecs, saint Basile, saint Grégoire de Nazianze, saint Jean Chrysostome, *texte grec*, avec notices littéraires, analyses et notes en français, par *M. J. Genouille,* ancien professeur au lycée Napoléon; in-12.

Choix des Tragiques Grecs, ou Extraits d'Eschyle, Sophocle et Euripide, suivis de morceaux choisis d'Aristophane, *texte grec*, avec notices littéraires, sommaires et notes en français, par *M. Fl. Lécluse*, ancien professeur de Littérature Grecque à la Faculté des lettres de Toulouse; in-12.

Extraits de Lucien, ou Morceaux choisis de ses Dialogues et Traités littéraires, *texte grec*, avec sommaires et notes en français, par *M. Fl. Lécluse*, ancien professeur de Littérature Grecque à la Faculté des lettres de Toulouse; in-12.

Extraits des Traités de Morale de Plutarque, *texte grec,* avec sommaires et notes en français, par *M. Fl. Lécluse*, ancien professeur de Littérature Grecque à la Faculté des lettres de Toulouse; in-12.

Extraits des Vies des hommes illustres de Plutarque, *texte grec*; avec sommaires et notes en français, par *M. Fl. Lécluse,* ancien professeur de Littérature Grecque à la Faculté des lettres de Toulouse; in-12.

Extraits de Xénophon, ou Morceaux choisis de ses Histoires et Traités moraux, *texte grec*, avec sommaires et notes en français, par *M. Fl. Lécluse*, ancien professeur de Littérature Grecque à la Faculté des lettres de Toulouse; in-12.

Morceaux choisis de saint Jean Chrysostome, ou Extraits de ses Discours et Homélies, *texte grec*, avec sommaires et notes en français, par *M. Fl. Lécluse*, ancien professeur de Littérature Grecque à la Faculté des Lettres de Toulouse; in-12.

EXCERPTA
E SCRIPTORIBUS
GRÆCIS

AD USUM STUDIOSÆ JUVENTUTIS ACCOMMODATA NEC NON
ARGUMENTIS ET ANNOTATIONIBUS ILLUSTRATA

OFFEREBAT

FAVENTE SUPREMO STUDIORUM SENATU
DILECTISSIMIS GALLICARUM ACADEMIARUM ALUMNIS

L. D'ANDREZEL

UNUS E PRIMARIIS UNIVERSITATIS INSPECTORIBUS.

NOVA EDITIO.

PARIS.

IMPRIMERIE ET LIBRAIRIE CLASSIQUES

DE JULES DELALAIN

IMPRIMEUR DE L'UNIVERSITÉ

Rues de Sorbonne et des Mathurins-Saint-Jacques.

M DCCC LIV.

AVERTISSEMENT

DE LA PREMIÈRE ÉDITION.

Ce Recueil, dont tout le mérite consiste à avoir extrait deux cent cinquante morceaux d'une centaine d'auteurs, ne peut être utile ni aux gens du monde, ni aux personnes qui commencent le grec, ni à celles qui veulent en faire une étude spéciale.

Il est exclusivement consacré à deux classes d'étudians dans les divers établissemens d'instruction publique; il aura atteint son but, et complètement satisfait l'éditeur, s'il peut contribuer à l'émulation et aux progrès de cette portion intéressante de la jeune famille.

Présenter sous le moindre volume, et avec le plus d'économie possible, aux maîtres un texte commode et varié, aux disciples un choix sévère et borné de tout ce que la littérature grecque offre de meilleur, telle a été la pensée de l'éditeur.

Il dépendra de MM. les professeurs de donner à cette pensée toute la perfection dont elle peut être susceptible. Ces feuilles ne sont, pour ainsi dire, que de simples épreuves qu'ils sont

priés de corriger. Leurs observations, leurs critiques, adressées au secrétariat de l'Université, seront reçues avec reconnaissance, comparées avec attention, étudiées avec soin, et une nouvelle édition les associera tous à l'utilité qui peut résulter d'un pareil travail.

L'ABBÉ D'ANDREZEL,

Ci devant Inspecteur général des études

TABLE DES AUTEURS

CITÉS DANS CE VOLUME

PAR ORDRE DE MATIÈRES ET PAR ORDRE ALPHABÉTIQUE.

PROSATEURS.

HISTORIENS.

PHILOSOPHES.

ORATEURS.

ÉCRIVAINS ÉPISTOLAIRES.

EXTRAITS
DES
AUTEURS GRECS.

RHÉTORIQUE.

Ἡ ΡΗΤΟΡΙΚΗ ἐστιν ἐπιστήμη τοῦ καλῶς καὶ πειστικῶς πάντα τὸν προκείμενον διαθέσθαι λόγον (1).

Εἴδη τοῦ ῥητορικοῦ ἐστι τρία· δικανικὸν, συμβουλευτικὸν, ἐγκωμιαστικόν (2).

Δικανικὸν μὲν οὖν ἐστιν ἐν ᾧ κατηγορούμενοι ἀπολογούμεθα, ἢ ἄλλως ἐν δικαστηρίῳ ἀμφισβητοῦμεν.

Συμβουλευτικὸν δὲ, ἐν ᾧ προτρέπομέν τινα, ἢ ἀποτρέπομεν.

Ἐγκωμιαστικὸν δὲ, ἐν ᾧ ἐγκωμιάζομέν τινα, ἢ ψέγομεν.

Μέρη δὲ τοῦ δικανικοῦ λόγου τέσσαρα· προοίμιον, διήγησις, ἀπόδειξις, ἐπίλογος (3).

De l'Exorde.

Προοίμιόν ἐστι λόγος παρασκευάζων τὸν ἀκροατὴν εἰς τὴν προκειμένην ὑπόθεσιν ἐπιτήδειον.

Ἔργον δὲ αὐτοῦ, τό τε προσεκτικοὺς τοὺς ἀκροατὰς παρασκευάζειν πρὸς τὰ ῥηθησόμενα, καὶ τὸ εὔνοιαν ἢ μῖσος ἀπεργάζεσθαι (4).

Λαμβάνεται δὲ τὰ προοίμια ἀπὸ προσώπου (5), ἤτοι ἰδίου, ὅταν ἑαυτοὺς συνιστῶμεν. Οἷον·

« Πρῶτον μὲν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ » πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ » πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι καὶ παρ' ὑμῶν εἰς τουτονὶ » τὸν ἀγῶνα (6). »

Ἢ ἀπὸ τῶν ἀντιδίκων τὰ προοίμια λαμβάνεται, ὅταν αὐτοὺς διαβάλλωμεν. Οἷον·

« Τὴν μὲν ἀσέλγειαν, ὦ Ἀθηναῖοι, καὶ τὴν ὕβριν ᾗ πρὸς
» ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα ὑμῶν, οὔτε τῶν ἄλλων
» πολιτῶν ἀγνοεῖν οἴομαι (7). »

Ἔστι δὲ προοίμια λαβεῖν καὶ ἀπὸ τῶν δικαστῶν, ὅταν αὐτοὺς προσάγωμεν τῷ πράγματι. Οἷον·

« Εἰδότες ὑμᾶς, ὦ Ἀθηναῖοι, καὶ τοῖς ἀδίκοις προθύμως
» βοηθεῖν εἰθισμένους, καὶ τοῖς εὐεργέταις μεγίστην χάριν ἀπο-
» διδόντας, ἥκομεν ἱκετεύσοντες μὴ περιϊδεῖν ὑμᾶς ἀπὸ Θηβαίων
» ἀναστάτους γεγενημένους. »

Ἔστι προοίμια λαβεῖν καὶ ἀπὸ τῶν συνηγορουμένων, ὅταν αὐτῶν ὡς ἀδυνάτων ὑπεραπολογεῖσθαι λέγωμεν. Οἷον·

« Τὴν μὲν ἀπειρίαν τούτου λέγειν καὶ ὡς ἀδυνάτως ἔχει Φορ-
» μίων, αὐτοὶ πάντες ὁρᾶτε, ὦ δικασταί (8). »

Ἔτι δ' ἔστι προοίμια λαβεῖν καὶ ἀπὸ τῶν θεῶν, ὅταν τὴν αὐτῶν εὔνοιαν ἐκφαίνωμεν. Οἷον·

« Ἐπὶ πολλῶν ἄν τις ἴδῃ, ὦ δικασταί, τὴν παρὰ τῶν θεῶν
» εὔνοιαν τῇ πόλει φανερὰν γιγνομένην, οὐχ ἥκιστα δ' ἐν τοῖς
» παροῦσι πράγμασιν (9). »

Ἀπὸ δὲ πραγμάτων λαμβάνεται τὰ προοίμια, προαγγελίᾳ, συγκρίσει, μερισμῷ, ἐφόδῳ, χρόνῳ, αἰτίᾳ, γνώμῃ.

Προαγγελία μὲν οὖν ἐστι δήλωσις κεφαλαιώδης περὶ ὧν λέγειν μέλλομεν. Οἷον·

« Ἀλλ' εἴπερ ἄρα ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ, περὶ τοῦ
» Χερρόνησον ἔχειν ἡμᾶς ἀσφαλῶς, καὶ μὴ παρακρουσθέντας
» ἀποστερηθῆναι πάλιν αὐτῆς, περὶ τούτου μοί ἐστιν ἅπασα ἡ
» σπουδή (10). »

Σύγκρισις δέ ἐστι προσώπων καὶ πραγμάτων ἐξέτασις·

Προσώπων μὲν οὖν οὕτως·

« Ἔδει μέν, ὦ Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας μήτε πρὸς
» ἔχθραν ποιεῖσθαι τοὺς λόγους μηδένα, μήτε πρὸς χάριν, ἀλλ'

» ὅ βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτο ἀποφαίνεσθαι (11). »

Πραγμάτων δὲ οὕτως·

« Ἀντὶ πολλῶν, ὦ Ἀθηναῖοι (12). »

Συγκρίνει γὰρ συμφέρον καὶ χρήματα.

Μερισμὸς δ' εἰς μέρη τῆς δικαιολογίας περιγραφή. Οἷον·

« Ἐξελέγξω πρῶτον μὲν ὡς αὐτὸς ὑβρίσθην· ἔπειτα ὑμᾶς ὅσα » ἠδίκησθε· μετὰ ταῦτα δὲ καὶ τὸν ἄλλον αὐτοῦ βίον ἐξετάσω, » καὶ δείξω πολλῶν θανάτων, οὐχ' ἑνὸς ὄντα ἄξιον (13). »

Ἔφοδος δ' ἐστὶν εὔλογος αἰτία διηγήσεως. Οἷον·

« Βούλομαι δ' ἕκαστα ὧν πέπονθα ἐπιδεῖξειν, καὶ περὶ τῶν » πληγῶν εἰπεῖν, ἃς τὸ τελευταῖον προσέτεινέ μοι· οὐδὲν γὰρ » ἐστιν ἐφ' ᾧ τῶν πεπραγμένων οὐ δίκαιος ὢν ἀπολωλέναι φανή- » σεται (14). »

Τὰ δ' ἀπὸ χρόνου λαμβανόμενα προοίμια ἔστιν εὑρεῖν πανταχοῦ· καὶ ἐν τῷ πρώτῳ λόγῳ· « Ὁ μὲν οὖν παρὼν καιρὸς (15). »

Ἡ δ' αἰτία δι' ἣν ἐπὶ τὸν ἀγῶνά τις ἀπήντηκε, σύστασιν ἔχει τοῦ πράγματος, ὡς ἐν τῷ κατὰ Νεαίρας.

« Πολλὰ μὲν ἦν τὰ παρακαλοῦντα, ὦ Ἀθηναῖοι, γράψασθαι » Νέαιραν τὴν γραφὴν ταυτηνί (16). »

Ἡ γὰρ γνώμη σεμνοτέραν τὴν προκατάστασιν τοῦ λόγου ποιεῖ, ὡς ὁ Θουκυδίδης πανταχῇ (17).

De la Narration.

Διήγησίς ἐστι τῶν ἐν τῇ ὑποθέσει πραγμάτων δήλωσις, περὶ τὸ τοῦ λέγοντος μέρος ῥέπουσα.

Ἀρεταὶ δὲ διηγήσεως τρεῖς· σαφήνεια, συντομία, πιθανότης.

Σαφήνεια μὲν οὖν λέγεται, ὅταν μήτε λέξεσι ξέναις χρώμεθα, μήτε διανοίαις, μήτε ὑπερβατοῖς.

Συντομία δὲ, ὅταν αὐτὰ μόνα τὰ ἀναγκαῖα διεξίωμεν, μήτε πόρρω ἀρχόμενοι, μήτε ἐπὶ μακρότατα παυόμενοι.

Πιθανότης δὲ, ὅταν τὰ ἀληθῆ καὶ δυνάμενα πιστευθῆναι δηλῶμεν.

Τρόποι δὲ τέσσαρες· διήγησις, παραδιήγησις, προδιήγησις, καὶ ὑποδιήγησις (18).

Διήγησις μὲν οὖν ἐστιν, ὥσπερ ἔφημεν, ἁπλῆ τῶν γενομένων φράσις. Οἷον·

« Ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ » τρίτον ἔτος τουτὶ, παρούσης δὲ τῆς ἐκκλησίας ἐπὶ τὸν ἄρ- » χοντα, ἐπικληροῦν ὁ νόμος τοῖς χοροῖς τοὺς αὐλητὰς κε- » λεύει, λόγου καὶ λοιδορίας γενομένης, καὶ κατηγοροῦντος » τοῦ μὲν ἄρχοντος τῶν ἐπιμελητῶν τῆς φυλῆς, τῶν δ' ἐπι- » μελητῶν τοῦ ἄρχοντος, παρελθὼν ὑπεσχόμην ἐγὼ χορηγήσειν » ἐθελοντής (19). »

Παραδιήγησις δέ ἐστιν, ἡ πρὸς τὸ χρήσιμον τοῦ ὑποκειμένου λόγου ἔξωθεν προστιθεμένη καὶ παραλαμβανομένη διήγησις ἐν τρόπῳ ἀφηγήσεως. Οἷον·

« Ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος, ὀλύμπια ἐποίει· » εἰς δὲ τὴν θυσίαν ταύτην, καὶ τὴν πανήγυριν, πάντας τοὺς » τεχνίτας συνήγαγεν· ἑστιῶν δ' αὐτοὺς, καὶ στεφανῶν τοὺς » νενικηκότας, ἤρετο Σάτυρον τουτονὶ, τὸν κωμικὸν ὑποκρι- » τὴν, τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται (20); »

Προδιήγησίς ἐστιν, ἡ πρὸ τῆς εἰς τὸ πρᾶγμα τελούσης διηγήσεως αἰτία παραλαμβανομένη, δι' ἣν ἐπὶ τὸν ἀγῶνά τις ἀπήντηκεν. Οἷον·

« Ἐγὼ γὰρ, ὦ Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ » καὶ φιλαπεχθήμονι, καὶ θεῶν ἐχθρῷ ᾧ τελευτῶσα ὅλη προσ- » έκρουσεν ἡ πόλις, Ἀνδροτίωνι λέγω (21). »

Ὑποδιήγησις δὲ, ὅταν μετὰ τῶν πραγμάτων καὶ τας γνώμας τῶν πραξάντων ἑκάστου καὶ τὰς αἰτίας λέγωμεν. Οἷον·

« Οὐκ ἦν τοῦ πρὸς ἡμᾶς πολέμου πέρας, οὐδ' ἀπαλλαγὴ » Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσει » τῇ πόλει. Ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν στρατηγῶν τῶν » ἡμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπὸ τοῦ πολέμου καὶ » τῶν λῃστῶν μυρία ἔπασχε κακά (22). »

De la Confirmation.

Ἀπόδειξίς ἐστι τῶν ἀμφισβητουμένων ἐν τῇ ὑποθέσει πραγμάτων εἰς ὁμολογίαν ἀποκατάστασις.

Ἀποδείκνυται δ' ἕκαστον ἐκ πραγμάτων ἢ ἐπιχειρημάτων.

Ἐπιχείρημα δέ ἐστιν ἐπινόημα ὃ κατασκευάζει τὸ ζητούμενον. Τῶν δ' ἐπιχειρημάτων τρόποι τέσσαρες· τὰ μὲν γὰρ λαμβάνεται ἀπὸ προσώπων, τὰ δὲ ἀπὸ πραγμάτων, τὰ δὲ ἀπὸ παραδειγμάτων, τὰ δὲ ἀπὸ τῶν ἀτέχνων.

Τὰ μὲν οὖν ἐκ προσώπων λαμβανόμενα, θεωρεῖται ἀπὸ τούτων ἀφ' ὧν καὶ τὰ ἐγκώμια, γένους, φύσεως, ἀγωγῆς, τύχης, ἐπιτηδευμάτων, πράξεων, διαθέσεων·

Τὰ δὲ ἐκ τῶν πραγμάτων, ἀπὸ οὐσίας καὶ ἰδιότητος· οὐσίας δὲ τὸ κοινῶς καὶ γενικῶς θεωρούμενον· οἷον « Τί φόνος; τί » ἱεροσυλία; ». Οὐσίας δὲ καὶ τὰ θετικά· οἷον « Τί φύσει κα- » λόν; ἡ εἰρήνη· τί φύσει φαῦλον; ὁ πόλεμος. »

Ἰδιότης δὲ, ὅταν τὸ ἴδιον τοῦ ὑποκειμένου πράγματος θεωρῶμεν, ἐκ μὲν τοῦ κατηγόρου, κατὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἐκ δὲ τοῦ φεύγοντος, κατὰ τὰς εὐλόγους αἰτίας.

Συνεστᾶσι δὲ αἱ ὑποθέσεις ἐξ αἰτίου, καὶ συνέχοντος, καὶ κρινομένου. Αἴτιον μὲν οὖν δι' ὃ ἡ κατηγορία· συνέχον δὲ δι' ὃ ἡ ἀπολογία· τὸ δὲ κρινόμενον τοῖς δικασταῖς καταλείπεται.

Τὰ δὲ ἐκ τῶν παραδειγμάτων λαμβανόμενα θεωρεῖται ἀπὸ τριῶν χρόνων· ἢ γὰρ γεγενημένου τοῦ πράγματος μνημονεύομεν, καὶ τοῦτο καλεῖται παράδειγμα· ἢ γινομένου καὶ συμβαίνοντος, καὶ τοῦτο καλεῖται παραβολή· ἢ οὔτε γεγενημένου, οὔτε γινομένου, ἀλλ' ὑποτιθεμένου τοῦ ῥήτορος· « Εἰ τὸ καὶ τὸ γένηται, » τί ἂν συμβαίη; » καὶ καλεῖται καθ' ὑπόθεσιν.

Παράδειγμα μὲν γάρ ἐστι γεγενημένου πράγματος ἀπομνημόνευσις πρὸς ὁμοίωσιν τοῦ ζητουμένου.

Παραβολὴ δέ ἐστιν ὄντος καὶ γινομένου πράγματος ἀπομνημόνευσις πρὸς ὁμοίωσιν τοῦ ζητουμένου· « Ὥσπερ γὰρ οἰκίας

» καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρό-
» τερα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς
» ὑποθέσεις ἀληθεῖς καὶ δικαίας. »

Τὸ δὲ καθ' ὑπόθεσιν, οὔτε γεγενημένου οὔτε γινομένου πράγματος δήλωσις, ἀλλ' ὑποτιθεμένου τοῦ ῥήτορος· « Εἰ τὸ » καὶ τὸ γένηται, τί ἂν συμβαίη; » Οἷον·

« Φέρε ἂν δὲ δὴ πέμψας πρὸς ἡμᾶς Λεύκων ἐρωτᾷ τί ἔχοντες
» ἐγκαλέσαι, καὶ τί μεμφόμενοι, τὴν ἀτέλειαν αὐτὸν ἀφῃρήμεθα,
» τί πρὸς Θεῶν ἐροῦμεν (23); »

Τὰ δ' ἐκ τῶν ἀτέχνων θεωρεῖται ἐκ τῶν ἐγγράφων νόμων, συμβολαίων, διαθηκῶν. Ἄτεχνα δὲ καλεῖται, ἐπεὶ μηδεμιᾶς ἐστι τέχνης ἀναγνῶναί τι ἔγγραφον, καὶ δι' αὐτοῦ δεῖξαι τὸ παράδειγμα. Ἕπεται δὲ τῷ ἐπιχειρήματι ἐνθύμημα, ἢ γνώμη.

Ἐνθύμημα μὲν οὖν ἐστι τὸ τοῦ προκειμένου ἐπιχειρήματος συμπέρασμα, προσαγόμενον τῷ ζητήματι ἐν μιᾷ περιόδῳ. Οἷον·

« Ὥσπερ οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμ-
» φέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν
» αὐτῶν τούτων καθαιρεθῆναι πάλιν, ἐπεὶ πάνθ' ἕνεκα ἑαυτοῦ
» ποιῶν ἐξελήλεγκται (24). »

Γνώμη δέ ἐστι κοινόν τι πρᾶγμα, ὅπως δέον γίνεσθαι ἀποφαινόμενον. Οἷον·

« Πέρας μὲν ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν
» ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ. Δεῖ δὲ τοὺς ἀγαθοὺς
» ἄνδρας ἐγχειρεῖν μὲν ἅπασι τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλ-
» λομένους δ' ἐλπίδα, φέρειν ὅτι ἂν ὁ θεὸς διδῷ γενναίως. »

Ταῦτα ἤρτηται ἐκ προτάσεων καὶ ἀνθυποφορῶν.

Πρότασις μὲν οὖν ἐστιν, ἐν μὲν κατηγορίᾳ ἡ τοῦ ἐγκλήματος αἰτία, ἐν δὲ συμβουλῇ, τῆς ἀξιώσεως δήλωσις.

Ὑποφορὰ δέ ἐστι, τὸ ὑπολαβεῖν ἔννοιάν τινα, εἶτα ἀπαντῆσαι. Προσέοικε δὲ ἡμῖν ὑποφορὰ τοῖς συμβουλευτικοῖς λόγοις.

Ἡ δὲ ἀνθυποφορά, ἤτοι τὸ ὑπενεγκεῖν τὸν λόγον ᾧ χρῆται ὁ ἀντίδικος ἐν τοῖς δικανικοῖς.

Διείληπται δὲ ὁ δικανικὸς λόγος καὶ ὁ συμβουλευτικὸς τοῖς κατὰ διάνοιαν καὶ κατὰ λέξιν σχήμασι.

RUFUS.

De la Péroraison.

Ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων, ἔκ τε τοῦ πρὸς ἑαυτὸν κατασκευάζειν εὖ τὸν ἀκροατὴν, καὶ τὸν ἐναντίον φαύλως· καὶ ἐκ τοῦ αὐξῆσαι, καὶ ταπεινῶσαι· καὶ ἐκ τοῦ εἰς τὰ πάθη τὸν ἀκροατὴν καταστῆσαι· καὶ ἐξ ἀναμνήσεως. Πέφυκε γὰρ μετὰ τὸ ἀποδεῖξαι, αὐτὸν μὲν, ἀληθῆ, τὸν δὲ ἐναντίον, ψευδῆ· οὕτω τὸ ἐπαινεῖν, καὶ ψέγειν, καὶ ἐπιχαλκεύειν. Δυοῖν δὲ θατέρου δεῖ στοχάζεσθαι, ἢ ὅτι τούτοις ἀγαθὸς, ἢ ὅτι ἁπλῶς· ὁ δ', ὅτι κακὸς τούτοις, ἢ ὅτι ἁπλῶς· ἐξ ὧν δὲ δὴ τοιούτους κατασκευάζειν δεῖ, εἴρηνται οἱ τόποι (25), πόθεν σπουδαίους δεῖ κατασκευάζειν καὶ φαύλους. Τὸ δὲ μετὰ τοῦτο δεδειγμένον ἤδη, αὔξειν ἐστὶ κατὰ φύσιν, ἢ ταπεινοῦν· δεῖ γὰρ πεπραγμένα ὁμολογεῖσθαι, εἰ μέλλει τὸ ποσὸν ἐρεῖν· καὶ γὰρ ἡ τῶν σωμάτων αὔξησις, ἐκ προϋπαρχόντων ἐστίν. Ὅθεν δὲ δεῖ αὔξειν καὶ ταπεινοῦν, ἔκκεινται οἱ τόποι πρότερον (26). Μετὰ δὲ ταῦτα δήλων ὄντων καὶ οἷα καὶ ἡλίκα, εἰς τὰ πάθη ἄγει τὸν ἀκροατήν. Ταῦτα δ' ἐστὶν, ἔλεος, καὶ δείνωσις, καὶ ὀργὴ, καὶ μῖσος, καὶ φθόνος, καὶ ζῆλος, καὶ ἔρις. Εἴρηνται δὲ καὶ τούτων οἱ τόποι πρότερον (27). ὥστε λοιπὸν ἀναμνῆσαι τὰ προειρημένα. Τοῦτο δὲ ἁρμόττει ποιεῖν οὕτως, ὥσπερ φασὶν ἐν τοῖς προοιμίοις, οὐκ ὀρθῶς λέγοντες· ἵνα γὰρ εὐμαθῆ ᾖ, κελεύουσι πολλάκις εἰπεῖν. Ἐκεῖ μὲν οὖν δεῖ τὸ πρᾶγμα εἰπεῖν, ἵνα μὴ λανθάνῃ περὶ οὗ ἡ κρίσις· ἐνταῦθα δὲ δι' ὧν δέδεικται κεφαλαιωδῶς. Ἀρχὴ δὲ, διότι ἃ ὑπέσχετο, ἀπέδωκεν· ὥστε ἅ τε, καὶ δι' ὅ, λεκτέον. Λέγεται δὲ ἐξ ἀντιπαραβολῆς τοῦ ἐναντίου· παραβάλλειν δὲ, ἢ ὅσα περὶ τὸ αὐτὸ ἄμφω εἶπον, ἢ μὴ κατ' ἀντικρύ· « Ἀλλ' οὗτος μὲν, τάδε » περὶ τούτου· ἐγὼ δὲ, ταδὶ, καὶ διὰ ταῦτα. » Ἢ ἐξ εἰρωνείας· οἷον, « Οὗτος γὰρ τάδ' εἶπεν, ἐγὼ δὲ τάδε. » Καὶ « Τί ἂν

» ἐποίει, εἰ τάδε ἔδειξεν, ἀλλὰ μὴ τάδε. » Ἢ ἐξ ἐρωτήσεως· « Τί οὐ δέδεικται; » ἢ οὕτω· « Τί ἔδειξεν; » Ἢ δὴ οὕτως, ἢ ἐκ παραβολῆς (28), ἢ κατὰ φύσιν, ὡς ἐλέχθη· οὕτω τὰ αὐτοῦ, καὶ πάλιν, ἐὰν βούλῃ, χωρὶς τὰ τοῦ ἐναντίου λόγου. Τελευτὴ δὲ τῆς λέξεως ἁρμόττει ἡ ἀσύνδετος, ὅπως ἐπίλογος, ἀλλὰ μὴ λόγος ᾖ· « Εἴρηκα, ἀκηκόατε, ἔχετε, κρίνατε » (29).

Aristote, *Rhét.*, liv. III, ch. 19.

L'orateur doit donner une bonne opinion de ses qualités personnelles (30), et connaître les passions (31).

Ἐπεὶ δὲ ἕνεκα κρίσεώς ἐστιν ἡ ῥητορική· καὶ γὰρ τὰς συμβουλὰς κρίνουσι, καὶ ἡ δίκη κρίσις ἐστίν· ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστός, ἀλλὰ καὶ αὑτὸν ποιόν τινα καὶ τὸν κριτὴν κατασκευάζειν. Πολὺ γὰρ διαφέρει πρὸς πίστιν, μάλιστα μὲν ἐν ταῖς συμβουλαῖς, εἶτα δὲ καὶ ἐν ταῖς δίκαις, τό τε ποιόν τινα φαίνεσθαι τὸν λέγοντα, καὶ τὸ πρὸς αὐτοὺς ὑπολαμβάνειν ἔχειν πως αὐτόν· πρὸς δὲ τούτοις, ἐὰν καὶ αὐτοὶ διακείμενοί πως τυγχάνωσι. Τὸ μὲν οὖν ποιόν τινα φαίνεσθαι τὸν λέγοντα, χρησιμώτερον εἰς τὰς συμβουλάς ἐστι· τὸ δὲ, διακεῖσθαι πως τὸν ἀκροατὴν, εἰς τὰς δίκας· οὐ γὰρ ταῦτα φαίνεται φιλοῦσι καὶ μισοῦσιν, οὐδ' ὀργιζομένοις καὶ πρᾴως ἔχουσιν, ἀλλ' ἢ τὸ παράπαν ἕτερα, ἢ κατὰ τὸ μέγεθος ἕτερα. Τῷ μὲν γὰρ φιλοῦντι, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ ἀδικεῖν, ἢ μικρὰ δοκεῖ ἀδικεῖν· τῷ δὲ μισοῦντι, τοὐναντίον· καὶ τῷ μὲν ἐπιθυμοῦντι καὶ εὐέλπιδι ὄντι, ἐὰν ᾖ τὸ ἐσόμενον ἡδὺ, καὶ ἔσεσθαι, καὶ ἀγαθὸν ἔσεσθαι, φαίνεται· τῷ δ' ἀπαθεῖ καὶ δυσχεραίνοντι, τοὐναντίον.

Aristote, liv. II, ch. 1.

De la Grâce et de la Beauté dans le discours.

Δοκεῖ δέ μοι δύο ταῦτα εἶναι τελικώτατα, ὧν ἐφίεσθαι δεῖ

τοὺς συντιθέντας εὖ μέτρα τε καὶ λόγους, ἥ τε ἡδονὴ καὶ τὸ καλόν. Ἀμφότερα γὰρ ἐπιζητεῖ ταῦτα ἡ ἀκοὴ, ὅμοιόν τι πάσχουσα τῇ ὁράσει. Καὶ γὰρ ἐκείνη πλάσματα, καὶ γραφὰς, καὶ γλυφὰς, καὶ ὅσα δημιουργήματα χειρῶν ἀνθρωπίνων ὁρῶσα, ὅταν εὑρίσκῃ τό θ' ἡδὺ ἐνὸν αὐτοῖς καὶ τὸ καλὸν, ἀρκεῖται, καὶ οὐδὲν ἔτι ποθεῖ. Καὶ μὴ παράδοξον ἡγήσεταί τις, εἰ δύο ποιῶ τέλη, καὶ χωρίζω τὸ καλὸν ἀπὸ τῆς ἡδονῆς· μηδὲ ἄτοπον εἶναι νομίσῃ, εἴ τινα ἡγοῦμαι λέξιν ἡδέως μὲν συγκεῖσθαι, μὴ καλῶς δέ· ἢ καλῶς μὲν, οὐ μὴν καὶ ἡδέως. Φέρει γὰρ ἡ ἀλήθεια τὸ τοιοῦτο, καὶ οὐδὲν ἀξιῶ καινόν. Ἡ γάρ τοι Θουκυδίδου λέξις, καὶ ἡ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου (32), καλῶς μὲν σύγκειται, νὴ Δία, εἴπερ τινὲς καὶ ἄλλαι, οὐ μὴν ἡδέως γε πάνυ· ἡ δέ γε τοῦ Κνιδίου συγγραφέως Κτησίου, καὶ ἡ τοῦ Σωκρατικοῦ Ξενοφῶντος, ἡδέως μὲν, ὡς ἔνι μάλιστα, οὐ μὴν καλῶς γε, ἐφ' ὅσον ἔδει. Λέγω δὲ κοινότερον, ἀλλ' οὐχὶ καθάπαξ· ἐπεὶ καὶ παρ' ἐκείνοις ἥρμοσταί τινα ἡδέως, καὶ παρὰ τούτοις καλῶς. Ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει· καὶ γὰρ ἡδεῖά ἐστι καὶ καλή.

Ἐξ ὧν δὲ οἴομαι γενήσεσθαι λέξιν ἡδεῖαν καὶ καλὴν, τέτταρά ἐστι τὰ κυριώτατα ταῦτα καὶ κράτιστα, μέλος, καὶ ῥυθμὸς, καὶ μεταβολὴ, καὶ τὸ παρακολουθοῦν τοῖς τρισὶ τούτοις, πρέπον. Τάττω δὲ ὑπὸ μὲν τὴν ἡδονὴν, τὴν ὥραν, καὶ τὴν χάριν, καὶ τὴν εὐστομίαν, καὶ τὴν γλυκύτητα, καὶ τὸ πιθανὸν, καὶ πάντα τὰ τοιαῦτα· ὑπὸ δὲ τὸ καλὸν, τὴν μεγαλοπρέπειαν, καὶ τὸ βάρος, καὶ τὴν σεμνολογίαν, καὶ τὸ ἀξίωμα, καὶ τὸ πιθανὸν, καὶ τὰ τούτοις ὅμοια. Ταυτὶ γάρ μοι δοκεῖ κυριώτατα εἶναι, καὶ ὡσπερεὶ κεφάλαια τῶν ἄλλων ἐν ἑκατέρῳ. Ὧν μὲν οὖν στοχάζονται πάντες οἱ σπουδῇ γράφοντες μέτρον, ἢ μέλος, ἢ τὴν λεγομένην πεζὴν λέξιν, ταῦτ' ἐστί· καὶ οὐκ οἶδα, εἴ τι παρὰ ταῦθ' ἕτερον.

DENYS D'HALICARNASSE, *de l'Arrangement des mots*, ch. x et xi

Du Sublime.

Ἀκρότης καὶ ἐξοχή τις λόγων ἐστὶ τὰ ὕψη, καὶ ποιητῶν τε οἱ μέγιστοι καὶ συγγραφέων οὐκ ἄλλοθεν ἢ ἐνθένδε ποθεν ἐπρώτευσαν, καὶ ταῖς ἑαυτῶν περιέβαλον εὐκλείαις τὸν αἰῶνα (33). Οὐ γὰρ εἰς πειθὼ τοὺς ἀκροωμένους, ἀλλ' εἰς ἔκστασιν ἄγει τὰ ὑπερφυᾶ· πάντη δέ γε σὺν ἐκπλήξει τοῦ πιθανοῦ (34), καὶ τοῦ πρὸς χάριν ἀεὶ κρατεῖ το θαυμάσιον· εἴ γε τὸ μὲν πιθανὸν ὡς τὰ πολλὰ ἐφ' ἡμῖν· ταῦτα δὲ δυναστείαν καὶ βίαν ἄμαχον προσφέροντα, παντὸς ἐπάνω τοῦ ἀκροωμένου καθίσταται (35), καὶ τὴν μὲν ἐμπειρίαν τῆς εὑρέσεως, καὶ τὴν τῶν πραγμάτων τάξιν καὶ οἰκονομίαν, οὐκ ἐξ ἑνὸς, οὐδ' ἐκ δυοῖν, ἐκ δὲ τοῦ ὅλου τῶν λόγων ὕφους, μόλις ἐκφαινομένην ὁρῶμεν (36)· ὕψος δέ που καιρίως ἐξενεχθὲν τά τε πράγματα δίκην σκηπτοῦ πάντα διεφόρησεν, καὶ τὴν τοῦ ῥήτορος εὐθὺς ἀθρόαν ἐνεδείξατο δύναμιν.

LONGIN, *du Sublime*, ch. 1.

Doit-on préférer le médiocre parfait au sublime qui a quelques défauts?

Φέρε δὴ, λάβωμεν τῷ ὄντι καθαρόν τινα συγγραφέα καὶ ἀνέγκλητον. Ἆρ' οὐκ ἄξιον ἔτι διαπορῆσαι περὶ αὐτοῦ τούτου καθολικῶς, πότερόν ποτε κρεῖττον ἐν ποιήμασι καὶ λόγοις, μέγεθος ἐν ἐνίοις διημαρτημένον, ἢ τὸ σύμμετρον μὲν ἐν τοῖς κατορθώμασιν, ὑγιὲς δὲ πάντη καὶ ἀδιάπτωτον. Καὶ ἔτι, νὴ Δία, πότερόν ποτε αἱ πλείους ἀρεταὶ τὸ πρωτεῖον ἐν λόγοις, ἢ αἱ μείζους δικαίως ἂν φέροιντο. Ἔστι γὰρ ταῦτ' οἰκεῖα τοῖς περὶ ὕψους σκέμματα, καὶ ἐπικρίσεως ἐξ ἅπαντος δεόμενα. Ἐγὼ δ' οἶδα μὲν, ὡς αἱ ὑπερβολαὶ μεγέθους φύσει ἥκιστα καθαραί. Το γὰρ ἐν παντὶ ἀκριβὲς, κίνδυνος σμικρότητος. Ἐν δὲ τοῖς μεγέθεσιν, ὥσπερ ἐν τοῖς ἄγαν πλούτοις, εἶναί τι χρὴ καὶ παρολιγωρούμενον. Μή ποτε δὲ τοῦτο καὶ ἀναγκαῖον ἢ, τὸ τὰς μὲν

ταπεινὰς καὶ μέσας φύσεις, διὰ τὸ μηδαμῆ παρακινδυνεύειν, μηδὲ ἐφίεσθαι τῶν ἄκρων, ἀναμαρτήτους ὡς ἐπὶ τὸ πολὺ καὶ ἀσφαλεστέρας διαμένειν, τὰ δὲ μεγάλα ἐπισφαλῆ δι' αὐτὸ γίνεσθαι τὸ μέγεθος. Ἀλλὰ μὴν οὐδὲ ἐκεῖνο ἀγνοῶ τὸ δεύτερον, ὅτι φύσει πάντα τὰ ἀνθρώπεια ἀπὸ τοῦ χείρονος ἀεὶ μᾶλλον ἐπιγινώσκεται, καὶ τῶν μὲν ἁμαρτημάτων ἀνεξάλειπτος ἡ μνήμη παραμένει, τῶν καλῶν δὲ ταχέως ἀποῤῥεῖ. Παρατεθειμένος δ' οὐκ ὀλίγα καὶ αὐτὸς ἁμαρτήματα, καὶ Ὁμήρου, καὶ τῶν ἄλλων ὅσοι μέγιστοι, καὶ ἥκιστα τοῖς πταίσμασιν ἀρεσκόμενος, ὅμως δὲ οὐχ ἁμαρτήματα μᾶλλον αὐτὰ ἑκούσια καλῶν, ἢ παροράματα δι' ἀμέλειαν, εἰκῆ που καὶ ὡς ἔτυχεν ὑπὸ μεγαλοφυΐας ἀνεπιστάτως παρενηνεγμένα, οὐδὲν ἧττον οἶμαι τὰς μείζονας ἀρετὰς, εἰ καὶ μὴ ἐν πᾶσι διομαλίζοιεν, τὴν τοῦ πρωτείου ψῆφον μᾶλλον ἀεὶ φέρεσθαι, κἂν εἰ μὴ δι' ἑνὸς ἑτέρου, τῆς μεγαλοφροσύνης αὐτῆς ἕνεκα. Ἐπείτοι γε καὶ ἄπτωτος ὁ Ἀπολλώνιος ὁ τῶν Ἀργοναυτικῶν ποιητὴς, κἂν τοῖς βουκολικοῖς, πλὴν ὀλίγων τῶν ἔξωθεν, ὁ Θεόκριτος ἐπιτυχέστατος· ἆρ' οὖν Ὅμηρος ἂν μᾶλλον ἢ Ἀπολλώνιος ἐθέλοις γενέσθαι; Τί δὲ Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ (διὰ πάντων γὰρ ἀμώμητον τὸ ποιημάτιον) Ἀρχιλόχου πολλὰ καὶ ἀνοικονόμητα παρασύροντος, κἀκεῖνα τῆς ἐκβολῆς τοῦ δαιμονίου πνεύματος ὁρμῆ, ἣν ὑπὸ νόμον τάξαι δύσκολον, ἆρα δὴ μείζων ποιητής; Τί δ' ἐν μέλεσι μᾶλλον ἂν εἶναι Βακχυλίδης ἕλοιο ἢ Πίνδαρος; καὶ ἐν τραγῳδίᾳ Ἴων ὁ Χῖος, ἢ, νὴ Δία, Σοφοκλῆς; ἐπείτοι οἱ μὲν ἀδιάπτωτοι, καὶ ἐν τῷ γλαφυρῷ πάντη κεκαλλιγραφημένοι· ὁ δὲ Πίνδαρος καὶ ὁ Σοφοκλῆς, ὁτὲ μὲν οἷον πάντα ἐπιφλέγουσι τῇ φορᾷ, σβέννυνται δ' ἀλόγως πολλάκις, καὶ πίπτουσιν ἀτυχέστατα. Ἢ οὐδεὶς ἂν εὖ φρονῶν ἑνὸς δράματος τοῦ Οἰδίποδος εἰς ταὐτὸ συνθεὶς τὰ Ἴωνος, ἀντιτιμήσαιτο ἑξῆς;

Longin, *du Sublime*, ch. xxxiii.

Démosthène s'est-il occupé de l'arrangement des mots et du nombre oratoire?

Ὑφορῶμαί τινα πρὸς ταῦτα καταδρομὴν ἀνθρώπων, τῆς μὲν ἐγκυκλίου παιδείας ἀπείρων, τὸ δὲ ἀγοραῖον τῆς ῥητορικῆς μέρος ὁδοῦ τε καὶ τέχνης χωρὶς ἐπιτηδευόντων· πρὸς οὓς ἀναγκαῖον ἀπολογήσασθαι, μὴ δόξωμεν ἔρημον ἀφεικέναι τὸν ἀγῶνα. Ἐροῦσι δὴ ταῦτα· « Ὁ Δημοσθένης οὖν οὕτως ἄθλιος ἦν, ὥσθ', ὅταν » γράφοι τοὺς λόγους, μέτρα καὶ ῥυθμοὺς, ὥσπερ οἱ πλάσται, » παρατιθέμενος, ἐναρμόττειν ἐπειρᾶτο τούτοις τοῖς τύποις τὰ » κῶλα, στρέφων ἄνω καὶ κάτω τὰ ὀνόματα, καὶ παραφυλάτ- » των τὰ μήκη καὶ τοὺς χρόνους, καὶ τὰς πτώσεις τῶν ὀνομά- » των, καὶ τὰς ἐγκλίσεις τῶν ῥημάτων, καὶ πάντα τὰ συμ- » βεβηκότα τοῖς μορίοις τοῦ λόγου πολυπραγμονῶν; Ἠλίθιος » μέντ' ἂν εἴη εἰς τοσαύτην σκευωρίαν καὶ φλυαρίαν ὁ τηλικοῦτος » ἀνὴρ ἑαυτὸν διδούς. » Ταῦτα δὲ καὶ τὰ τούτοις παραπλήσια κωμῳδοῦντας αὐτοὺς καὶ καταχλευάζοντας οὐ χαλεπῶς ἄν τις ἀποκρούσαιτο, ταῦτα εἰπών·

Πρῶτον μὲν, ὅτι οὐδὲν ἄτοπον ἦν, εἰ τοσαύτης ἠξιωμένος [δόξης] ἀνὴρ, ὅσης οὐδεὶς τῶν πρότερον ὀνομασθέντων ἐπὶ δεινότητι λόγων, ἔργα συνταττόμενος αἰώνια, καὶ διδοὺς αὐτὸν ὑπεύθυνον τῷ πάντα βασανίζοντι φθόνῳ καὶ χρόνῳ, μηδὲν εἰκῆ μήτε πρᾶγμα παραλαμβάνει, μήτ' ὄνομα· πολλὴν δ' ἀμφοῖν ἔχει τούτων πρόνοιαν, τῆς τε ἐν τοῖς νοήμασιν οἰκονομίας, καὶ τῆς εὐμορφίας τῆς περὶ τὰ ὀνόματα· ἄλλως τε καὶ τῶν τότε ἀνθρώπων οὐ γραπτοῖς, ἀλλὰ γλυπτοῖς καὶ τορευτοῖς ἐοικότας ἐκφερόντων λόγους· λέγω δὲ Ἰσοκράτους καὶ Πλάτωνος τῶν σοφιστῶν. Ὁ μὲν γὰρ τὸν Πανηγυρικὸν λόγον, ὡς οἱ τὸν ἐλάχιστον χρόνον γράφοντες ἀποφαίνουσιν, ἐν ἔτεσι δέκα συνετάξατο· ὁ δὲ Πλάτων τοὺς ἑαυτοῦ διαλόγους κτενίζων καὶ βοστρυχίζων, καὶ πάντα τρόπον ἀναπλέκων οὐ διέλιπεν ὀγδοήκοντα γεγονὼς ἔτη. Πᾶσι γὰρ δήπου τοῖς φιλολόγοις γνώριμα τὰ περὶ τῆς φιλοπονίας τἀν-

δρὸς ἱστορούμενα, τά τε ἄλλα, καὶ δὴ καὶ τὰ περὶ τὴν δέλτον, ἣν, τελευτήσαντος αὐτοῦ, λέγουσιν εὑρεθῆναι, ποικίλως μετακειμένην τὴν ἀρχὴν τῆς Πολιτείας ἔχουσαν τήνδε· « Κατέβην » χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος. » Τί οὖν ἦν ἄτοπον, εἰ καὶ Δημοσθένει φροντὶς εὐφωνίας τε καὶ ἐμμελείας ἐγένετο, καὶ τοῦ μηδὲν εἰκῇ καὶ ἀβασανίστως τιθέναι μήτε ὄνομα, μήτε ἐννόημα; Πολύ τε γὰρ μᾶλλον ἐμοὶ δοκεῖ προσήκειν ἀνδρὶ κατασκευάζοντι λόγους πολιτικοὺς, μνημεῖα τῆς ἑαυτοῦ δυνάμεως αἰώνια, μηδενὸς τῶν ἐλαχίστων ὀλιγωρεῖν, ἢ ζωγράφων τε καὶ τορευτῶν παισὶν, ἐν ὕλῃ φθαρτῇ χειρῶν εὐστοχίας καὶ πόνους ὑποδεικνυμένοις, περὶ τὰ φλέβια καὶ τὰ πτίλα, καὶ τὸν χνοῦν, καὶ τὰς τοιαύτας μικρολογίας κατατρίβειν τῆς τέχνης τὴν ἀκρίβειαν. Τούτοις δὴ τοῖς λόγοις χρώμενος δοκεῖ μοί τις οὐδὲν ἔξω τοῦ εἰκότως ἀξιοῦν, καὶ ἔτι ἐκεῖνα εἰπών· ὅτι μειράκιον μὲν ὄντα, καὶ νεωστὶ τοῦ μαθήματος ἁπτόμενον αὐτὸν, οὐκ ἄλογον πάντα περισκοπεῖν, ὅσα δυνατὰ ἦν εἰς ἐπιτήδευσιν ἀνθρωπίνην ἐλθεῖν· ἐπειδὴ δὴ ἡ χρόνιος ἄσκησις, ἰσχὺν πολλὴν λαβοῦσα, τύπους τινὰς ἐν τῇ διανοίᾳ παντὸς τοῦ μελετωμένου καὶ σφραγῖδας ἐνεποίησεν, ἐκ τοῦ ῥᾴστου τε καὶ ἀπὸ τῆς ἕξεως αὐτὰ ἤδη ποιεῖν. Οἷόν τι γίνεται κἀν ταῖς ἄλλαις τέχναις, ὧν ἐνέργειά τις ἡ ποίησις τὸ τέλος. Αὐτίκα οἱ κιθαρίζειν τε καὶ ψάλλειν, καὶ αὐλεῖν ἄκρως εἰδότες, ὅταν κρούσεως ἀκούσωσιν ἀσυνήθους, οὐ πολλὰ πραγματευθέντες ἀπαριθμοῦσιν αὐτὴν εὐθὺς ἐπὶ τῶν ὀργάνων, ἀλλὰ καὶ νοήσει, μανθάνοντες δέ γε χρόνῳ πολλῷ καὶ πόνῳ τὰς δυνάμεις τῶν φθόγγων, ἀναλαμβάνουσι· καὶ οὐκ εὐθὺς αἱ χεῖρες αὐτῶν ἐν ἕξει τοῦ δρᾶν τὰ παραγγελλόμενα ἦσαν, ὀψὲ δέ ποτε, καὶ ὅτε ἡ πολλὴ ἄσκησις αὐταῖς εἰς φύσεως ἰσχὺν κατέστησε τὸ ἔθος, τότε τῶν ἔργων ἐγένοντο ἐπιτυχεῖς. Καὶ τί δὴ περὶ τῶν ἄλλων λέγειν; Ὃ γὰρ ἅπαντες ἴσμεν, ἀπόχρη καὶ πᾶσαν αὐτῶν διακόψαι τὴν φλυαρίαν. Τί δ' ἔστι τοῦτο; Τὰ γράμματα ὅταν παιδευώμεθα, πρῶτον μὲν τὰ ὀνόματα αὐτῶν ἐκμανθάνομεν, ἔπειτα τοὺς τύπους καὶ τὰς

δυνάμεις· εἶθ' οὕτω τὰς συλλαβὰς, καὶ τὰ ἐν ταύταις πάθη· καὶ μετὰ τοῦτο ἤδη τὰς λέξεις, καὶ τὰ συμβεβηκότα αὐταῖς, ἐκτάσεις τε λέγω καὶ συστολὰς, καὶ προσῳδίας, καὶ τὰ παραπλήσια τούτοις· ὅταν δὲ τὴν τούτων ἐπιστήμην λάβωμεν, τότε ἀρχόμεθα γράφειν τε καὶ ἀναγινώσκειν κατὰ συλλαβὴν, καὶ βραδέως τὸ πρῶτον· ἐπεὶ δὲ ὁ χρόνος ἀξιόλογος προσελθὼν τύπους ἰσχυροὺς αὐτῶν ἐν ταῖς ψυχαῖς ἡμῶν ποιήσει, τότε ἀπὸ τοῦ ῥᾴστου δρῶμεν αὐτὰ, καὶ πᾶν ὅ τι ἂν ἐπιδῷ τις βιβλίον, ἀπταίστως διερχόμεθα ἕξει τε καὶ τάχει ἀπίστῳ. Τοιοῦτον δὴ καὶ περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, καὶ περὶ τὴν εὐέπειαν τῶν κώλων ὑποληπτέον γίνεσθαι παρὰ τοῖς ἀθληταῖς τοῦ ἔργου· τοῖς δὲ τούτου ἀπείροις, ἢ ἀτριβέσιν ἔργου ὁτουοῦν, θαυμάζειν καὶ ἀπιστεῖν, εἴ τι κεκροτημένως ὑφ' ἑτέρου γίνεται διὰ τέχνης, οὐκ ἄλογον. Πρὸς μὲν οὖν τοὺς εἰωθότας χλευάζειν τὰ παραγγέλματα τῶν τεχνῶν ταῦτα εἰρήσθω.

DENYS D'HALICARNASSE, *de l'Arrangement des mots*, ch. XXV.

Du Style épistolaire.

Ἀρτέμων (37), ὁ τὰς Ἀριστοτέλους ἀναγράψας ἐπιστολὰς, φησὶν, ὅτι δὴ ἐν τῷ αὐτῷ τρόπῳ διάλογόν τε γράφειν καὶ ἐπιστολάς· εἶναι γὰρ τὴν ἐπιστολὴν οἷον τὸ ἕτερον μέρος τοῦ διαλόγου. Καὶ λέγει μέν τι ἴσως, οὐ μὴν ἅπαν· δεῖ γὰρ ὑποκατεσκευάσθαι πως μᾶλλον τοῦ διαλόγου τὴν ἐπιστολήν· ὁ μὲν γὰρ μιμεῖται αὐτοσχεδιάζοντα· ἡ δὲ γράφεται, καὶ δῶρον πέμπεται τρόπον τινά. Τίς γοῦν οὕτως ἂν διαλεχθῇ πρὸς φίλον, ὥσπερ ὁ Ἀριστοτέλης πρὸς Ἀντίπατρον, ὑπὲρ τοῦ φυγάδος γράφων τοῦ γέροντος, φησίν· « Εἰ δὲ πρὸς ἁπάσας οἴχεται τὰς φυγὰς οὗ» τος (38), ὥστε μὴ κατάγειν, δῆλον ὡς τοῖς γε εἰς ᾅδου κατ» ελθεῖν βουλομένοις, οὐδεὶς φθόνος. » Ὁ γὰρ οὕτω διαλεγόμενος ἐπιδεικνυμένῳ ἔοικε μᾶλλον, οὐ λαλοῦντι. Καὶ λύσεις συχναὶ οὐ πρέπουσιν ἐπιστολαῖς· ἀσαφὲς γὰρ ἐν γραφῇ ἡ λύσις·

καὶ τὸ μιμητικὸν, οὐ γραφῆς οὕτως οἰκεῖον, ὡς ἀγῶνος· οἷον ὡς ἐν τῷ Εὐθυδήμῳ (39)· « Τίς ἦν, ὦ Σώκρατες, ᾧ χθὲς ἐν Λυκείῳ » διελέγου; ἦ πολὺς ὑμᾶς ὄχλος περιειστήκει. » Καὶ μικρὸν προσελθὼν ἐπιφέρει· « Ἀλλά μοι ξένος τις φαίνεται εἶναι ᾧ διελέ- » γου· τίς ἦν; » Ἡ γὰρ τοιαύτη πᾶσα ἑρμηνεία καὶ μίμησις ὑποκριτῇ πρέπει μᾶλλον, οὐ γραφομέναις ἐπιστολαῖς. Πλεῖστον δὲ ἐχέτω τὸ ἠθικὸν ἡ ἐπιστολὴ, ὥσπερ καὶ ὁ διάλογος· σχεδὸν γὰρ εἰκόνα ἕκαστος τῆς ἑαυτοῦ ψυχῆς γράφει τὴν ἐπιστολήν· καὶ ἔστι μὲν καὶ ἐξ ἄλλου λόγου παντὸς ἰδεῖν τὸ ἦθος τοῦ γράφοντος, ἐξ οὐδενὸς δὲ οὕτως, ὡς ἐπιστολῆς. Τὸ δὲ μέγεθος συνεστάλθω τῆς ἐπιστολῆς, ὥσπερ καὶ ἡ λέξις· αἱ δὲ ἄγαν μακραὶ, καὶ προσέτι κατὰ τὴν ἑρμηνείαν ὀγκωδέστεραι, οὐ μὰ τὴν ἀλήθειαν ἐπιστολαὶ γένοιντο ἂν, ἀλλὰ συγγράμματα, τὸ χαίρειν ἔχοντα προσγεγραμμένον· καθάπερ τὰ Πλάτωνος πολλὰ, καὶ ἡ Θουκυδίδου. Καὶ τῇ συντάξει μέντοι λελύσθω μᾶλλον· γελοῖον γὰρ περιοδεύειν, ὥσπερ οὐκ ἐπιστολὴν, ἀλλὰ δίκην γράφοντα· καὶ οὐδὲ γελοῖον μόνον, ἀλλ' οὐδὲ φιλικόν· τὸ γὰρ δὴ κατὰ τὴν παροιμίαν « Τὰ σῦκα σῦκα » λεγόμενον, ἐπιστολαῖς ταῦτα ἐπιτηδεύειν. Εἰδέναι δὲ χρὴ, ὅτι οὐχ ἑρμηνεία μόνον, ἀλλὰ καὶ πράγματά τινα ἐπιστολικά ἐστιν. Ἀριστοτέλης γοῦν ὡς μάλιστα ἐπιτετευχέναι δοκεῖ τοῦ ἐπιστολικοῦ τύπου (40)· « Τοῦτο δὲ οὐ » γράφω σοι, φησίν· οὐ γὰρ ἦν ἐπιστολικόν. » Εἰ γάρ τις ἐν ἐπιστολῇ σοφίσματα γράφει καὶ φυσιολογίας (41), γράφει μὲν, οὐ μὴν ἐπιστολὴν γράφει· φιλοφρόνησις γάρ τις βούλεται εἶναι ἡ ἐπιστολὴ, σύντομος, καὶ περὶ ἁπλοῦ πράγματος ἔκθεσις, καὶ ἐν ὀνόμασιν ἁπλοῖς. Κάλλος μέντοι αὐτῆς αἵ τε φιλικαὶ φιλοφρονήσεις, καὶ πυκναὶ παροιμίαι ἐνοῦσαι· καὶ τοῦτο γὰρ μόνον ἐνέστω αὐτῇ σοφὸν, διότι δημοτικόν τί ἐστιν ἡ παροιμία καὶ κοινόν· ὁ δὲ γνωμολογῶν καὶ προτρεπόμενος, οὐ δι' ἐπιστολῆς ἔτι λαλοῦντι ἔοικεν, ἀλλὰ μηχανῆς (42). Ἀριστοτέλης μέντοι καὶ ἀποδείξεσί που χρῆται ἐπιστολικαῖς· οἷον, διδάξαι βουλόμενος, ὅτι ὁμοίως χρὴ εὐεργετεῖν τὰς μεγάλας πόλεις καὶ τὰς μικρὰς, φησίν· « Οἱ

» γὰρ θεοὶ ἀμφοτέραις ἴσοι· ὥστ', ἐπεὶ αἱ Χάριτες θεαὶ, ἴσαι » ἀποκείσονταί σοι παρ' ἀμφοτέραις. » καὶ γὰρ τὸ ἀποδεικνύμενον αὐτὸ ἐπιστολικὸν, καὶ ἡ ἀπόδειξις αὐτή. Ἐπεὶ δὲ καὶ πόλεσί ποτε καὶ βασιλεῦσι γράφομεν, ἔστωσάν τοι αὗται αἱ ἐπιστολαὶ, μικρὸν ἐξηρμέναι πως· στοχαστέον γὰρ καὶ τοῦ προσώπου, ᾧ γράφεται· ἐξηρμένη μέντοι, καὶ οὐχ ὥστε σύγγραμμα εἶναι ἀντ' ἐπιστολῆς· ὥσπερ αἱ Ἀριστοτέλους πρὸς Ἀλέξανδρον, καὶ πρὸς τοὺς Δίωνος οἰκείους ἡ Πλάτωνος. Καθόλου δὲ, μεμίχθω ἡ ἐπιστολὴ κατὰ τὴν ἑρμηνείαν ἐκ δυοῖν χαρακτήροιν τούτοιν, τοῦ τε χαρίεντος καὶ τοῦ ἰσχνοῦ.

DÉMÉTRIUS, *de l'Élocution*, 231—244.

Comment il faut écrire l'Histoire.

Φημὶ τοίνυν τὸν ἄριστα ἱστορίαν συγγράφοντα, δύο μὲν ταῦτα κορυφαιότατα οἴκοθεν ἔχοντα ἥκειν, σύνεσίν τε πολιτικὴν, καὶ δύναμιν ἑρμηνευτικήν· τὴν μὲν, ἀδίδακτόν τι τῆς φύσεως δῶρον· ἡ δύναμις δὲ, πολλῇ τῇ ἀσκήσει, καὶ συνεχεῖ τῷ πόνῳ, καὶ ζήλῳ τῶν ἀρχαίων προσγεγενημένη ἔστω. Ταῦτα μὲν οὖν ἄτεχνα, καὶ οὐδὲν ἐμοῦ συμβούλου δεόμενα. Οὐ γὰρ συνετοὺς καὶ ὀξεῖς ἀποφαίνειν τοὺς μὴ παρὰ τῆς φύσεως τοιούτους φησὶ τοῦτο ἡμῖν τὸ βιβλίον· ἐπεὶ πολλοῦ ἂν, μᾶλλον δὲ τοῦ παντὸς, ἦν ἄξιον, εἰ μεταπλάσαι καὶ μετακοσμῆσαι τὰ τηλικαῦτα ἐδύνατο, ἢ ἐκ μολίβδου χρυσὸν ἀποφῆναι, ἢ ἄργυρον ἀπὸ κασσιτέρου (43), ἢ ἀπὸ Κόνωνος Τίτορμον (44), ἢ ἀπὸ Λεωτροφίδου (45) Μίλωνα ἐξεργάσασθαι.

Ἀλλὰ ποῦ τὸ τῆς τέχνης, καὶ τὸ τῆς συμβουλῆς χρήσιμον; Οὐκ ἐς ποίησιν τῶν προσόντων, ἀλλ' ἐς χρῆσιν αὐτῶν τὴν προσήκουσαν· οἷόν (46) τι ἀμέλει καὶ Ἴκκος, καὶ Ἡρόδικος, καὶ Θέων, καὶ εἴ τις ἄλλος γυμναστὴς, οὐχ ὑπόσχοιντο ἄν σοι τοῦτον Περδίκκαν παραλαβόντες (εἰ δὴ οὗτός ἐστιν ὁ τῆς μητρυιᾶς ἐρασθεὶς, καὶ διὰ ταῦτα κατεσκληκὼς, ἀλλὰ μὴ Ἀντίοχος ὁ τοῦ Σελεύκου Στρατονίκης ἐκείνης) ἀποφαίνειν Ὀλυμπιονίκην, καὶ

Θεαγένει τῷ Θασίῳ, ἢ Πολυδάμαντι τῷ Σκοτουσσαίῳ ἀντίπαλον, ἀλλὰ τὴν δοθεῖσαν ὑπόθεσιν εὐφυᾶ πρὸς ὑποδοχὴν τῆς γυμναστικῆς παραπολὺ ἀμείνω ἀποφαίνειν μετὰ τῆς τέχνης. Ὥστε ἐπέστω καὶ ἡμῶν τὸ ἐπίφθονον τοῦτο τῆς ὑποσχέσεως, εἰ τέχνην φαμὲν ἐφ' οὕτω μεγάλῳ καὶ χαλεπῷ τῷ πράγματι ἐφευρηκέναι. Οὐ γὰρ ὁντινοῦν παραλαβόντες, ἀποφαίνειν συγγραφέα φαμὲν, ἀλλὰ τῷ φύσει συνετῷ, καὶ ἄριστα πρὸς λόγους ἠσκημένῳ ὑποδείξειν ὁδούς τινας ὀρθὰς, εἰ δὴ τοιαῦται φαίνονται, αἷς χρώμενος, θᾶττον ἂν καὶ εὐμαρέστερον τελέσειεν ἄχρι καὶ πρὸς τὸν σκοπόν.

Καίτοι, οὐ γὰρ ἂν φαίης ἀπροσδεῆ τὸν συνετὸν εἶναι τῆς τέχνης, καὶ διδασκαλίας ὧν ἀγνοεῖ· ἐπεὶ κἂν ἐκιθάριζε μὴ μαθὼν, καὶ ηὔλει, καὶ πάντα ἂν ἠπίστατο· νῦν δὲ μὴ μαθὼν, οὐκ ἄν τι αὐτῶν χειρουργήσειεν· ὑποδείξαντος δέ τινος, ῥᾷστά τε ἂν μάθοι, καὶ εὖ μεταχειρίσαιτο ἐφ' αὑτοῦ.

Καὶ τοίνυν καὶ ἡμῖν τοιοῦτός τις ὁ μαθητὴς νῦν παραδεδόσθω, συνιέναι τε καὶ εἰπεῖν οὐκ ἀγεννὴς, ἀλλ' ὀξὺ δεδορκὼς, οἷος καὶ πράγμασι χρήσασθαι ἂν, εἰ ἐπιτραπείη, καὶ γνώμην στρατιωτικὴν, ἀλλὰ μετὰ τῆς πολιτικῆς, καὶ ἐμπειρίαν στρατηγικὴν ἔχειν, καὶ, νὴ Δία, καὶ ἐν στρατοπέδῳ γεγονώς ποτε, καὶ γυμναζομένους ἢ ταττομένους στρατιώτας ἑωρακὼς, καὶ ὅπλα εἰδὼς, καὶ μηχανήματα ἔνια, καὶ τί ἐπὶ κέρως, καὶ τί ἐπὶ μετώπου, πῶς οἱ λόχοι, πῶς οἱ ἱππεῖς, καὶ πόθεν (47), καὶ τί ἐξελαύνειν ἢ περιελαύνειν, καὶ ὅλως, οὐ τῶν κατοικιδίων τις, οὐδ' οἷος πιστεύειν μόνον τοῖς ἀπαγγέλλουσι.

Μάλιστα δὲ καὶ πρὸ τῶν πάντων, ἐλεύθερος ἔστω τὴν γνώμην, καὶ μήτε φοβείσθω μηδένα, μηδὲ ἐλπιζέτω μηδέν. Ἐπεὶ ὅμοιος ἔσται τοῖς φαύλοις δικασταῖς, πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἐπὶ μισθῷ δικάζουσιν. Ἀλλὰ μὴ μελέτω αὐτῷ μήτε Φίλιππος ἐκκεκομμένος τὸν ὀφθαλμὸν ὑπὸ Ἀστέρος τοῦ Ἀμφιπολίτου τοῦ τοξότου ἐν Ὀλύνθῳ, ἀλλὰ τοιοῦτος οἷος ἦν δειχθήσεται· μήτε Ἀλέξανδρος ἀνιάσεται ἐπὶ τῇ Κλείτου σφαγῇ ὠμῶς ἐν τῷ συμποσίῳ

γενομένη, εἰ σαφῶς ἀναγράφοιτο· οὐδὲ Κλέων αὐτὸν φοβήσει, μέγα ἐν τῇ ἐκκλησίᾳ δυνάμενος, καὶ κατέχων τὸ βῆμα, ὡς μὴ εἰπεῖν ὅτι ὀλέθριος καὶ μανικὸς ἄνθρωπος οὗτος ἦν· οὐδὲ ἡ σύμπασα πόλις τῶν Ἀθηναίων, ἢν τὰ ἐν Σικελίᾳ κακὰ ἱστορῇ, καὶ τὴν Δημοσθένους λῆψιν, καὶ τὴν Νικίου τελευτὴν (48), καὶ ὡς ἐδίψων, καὶ οἷον τὸ ὕδωρ ἔπινον, καὶ ὡς ἐφονεύοντο πίνοντες οἱ πολλοί. Ἡγήσεται γὰρ, ὅπερ δικαιότατον, ὑπ' οὐδενὸς τῶν νοῦν ἐχόντων αὐτὸς ἕξειν τὴν αἰτίαν, ἢν τὰ δυστυχῶς ἢ ἀνοήτως γεγενημένα, ὡς ἐπράχθη, διηγῆται. Οὐ γὰρ ποιητὴς αὐτῶν, ἀλλὰ μηνυτὴς ἦν. Ὥστε κἂν καταναυμαχῶνται, τότε οὐκ ἐκεῖνος ὁ καταδύων ἐστί· κἂν φεύγωσιν, οὐκ ἐκεῖνος ὁ διώκων· ἐκτὸς εἰ μὴ, εὔξασθαι δέον, μή τι παρέλιπεν. Ἐπείτοιγε, εἰ σιωπήσας αὐτὰ, ἢ πρὸς τοὐναντίον εἰπὼν ἐπανορθώσασθαι ἐδύνατο, ῥᾷστον ἦν ἑνὶ καλάμῳ λεπτῷ τὸν Θουκυδίδην ἀνατρέψαι μὲν τὸ ἐν ταῖς Ἐπιπολαῖς παρατείχισμα (49), καταδῦσαι δὲ τὴν Ἑρμοκράτους τριήρη, καὶ τὸν κατάρατον Γύλιππον διαπεῖραι μεταξὺ ἀποτειχίζοντα, καὶ ἀποταφρεύοντα τὰς ὁδούς· καὶ τέλος, Συρακουσίους μὲν εἰς τὰς λιθοτομίας ἐμβαλεῖν, τοὺς δ' Ἀθηναίους περιπλεῖν Σικελίαν καὶ Ἰταλίαν, μετὰ τῶν πρώτων τοῦ Ἀλκιβιάδου ἐλπίδων. Ἀλλ', οἶμαι, τὰ μὲν πραχθέντα, οὐδὲ Κλωθὼ ἂν ἔτι ἀνακλώσειεν, οὐδ' Ἄτροπος μετατρέψειε.

Τοῦ δὴ συγγραφέως ἔργον ἓν, ὡς ἐπράχθη εἰπεῖν. Τοῦτο δ' οὐκ ἂν δύναιτο, ἄχρις ἂν ἢ φοβῆται Ἀρταξέρξην, ἰατρὸς αὐτοῦ ὢν (50), ἢ ἐλπίζῃ κάνδυν πορφυροῦν, καὶ στρεπτὸν χρυσοῦν, αἱ ἵππον τῶν Νισαίων λήψεσθαι μισθὸν τῶν ἐν τῇ γραφῇ ἐπαίνων (51). Ἀλλ' οὐ Ξενοφῶν αὐτὸ ποιήσει δίκαιος συγγραφεὺς, ὐδὲ Θουκυδίδης (52), ἀλλὰ κἂν ἰδίᾳ μισῇ τινας, πολὺ ἀναγκαιότερον ἡγήσεται τὸ κοινὸν, καὶ τὴν ἀλήθειαν περὶ πλείονος ποιήσεται τῆς ἔχθρας· κἂν φιλῇ, ὅμως οὐκ ἀφέξεται ἁμαρτάνοντος. Ἓν γὰρ, ὡς ἔφην, ἴδιον ἱστορίας, καὶ μόνῃ θυτέον τῇ ἀληθείᾳ, εἴ τις ἱστορίαν γράψων ἴοι· τῶν δ' ἄλλων ἁπάντων ἀμελητέον αὐτῷ. Καὶ ὅλως, πῆχυς εἷς, καὶ μέτρον ἀκριβὲς,

ἀποβλέπειν μὴ εἰς τοὺς νῦν ἀκούοντας, ἀλλ' εἰς τοὺς μετὰ ταῦτα συνεσομένους τοῖς συγγράμμασιν.

Εἰ δὲ τὸ παραυτίκα τις θεραπεύοι, τῆς τῶν κολακευόντων μερίδος εἰκότως ἂν νομισθείη, οὓς πάλαι ἡ ἱστορία ἐξ ἀρχῆς εὐθὺς ἀπέστραπτο οὐ μεῖον ἢ κομμωτικὴν ἡ γυμναστική. Ἀλεξάνδρου γοῦν καὶ τοῦτο ἀπομνημονεύουσιν· ὅς « Ἡδέως ἄν, ἔφη, πρὸς » ὀλίγον ἀνεβίουν, ὦ Ὀνησίκριτε (53), ἀποθανὼν, ὡς μάθοιμι » ὅπως ταῦτα οἱ ἄνθρωποι τότε ἀναγινώσκουσιν. Εἰ δὲ νῦν » αὐτὰ ἐπαινοῦσι καὶ ἀσπάζονται, μὴ θαυμάσῃς. Οἴονται γὰρ » οὐ μικρῷ τινι τῷ δελέατι τούτῳ ἀνασπάσειν ἕκαστος τὴν παρ' » ἡμῶν εὔνοιαν. » Ὁμήρῳ γοῦν, καίτοι πρὸς τὸ μυθῶδες τὰ πλεῖστα συγγεγραφότι ὑπὲρ τοῦ Ἀχιλλέως, ἤδη καὶ πιστεύειν τινὲς ὑπάγονται, μόνον τοῦτο εἰς ἀπόδειξιν τῆς ἀληθείας μέγα τεκμήριον τιθέμενοι, ὅτι μὴ περὶ ζῶντος ἔγραφεν. Οὐ γὰρ εὑρίσκουσιν, οὗτινος ἕνεκα ἐψεύδετ' ἄν.

Τοιοῦτος οὖν μοι ὁ συγγραφεὺς ἔστω ἄφοβος, ἀδέκαστος, ἐλεύθερος, παῤῥησίας καὶ ἀληθείας φίλος (54), ὡς ὁ Κωμικός φησι, « Τὰ σῦκα σῦκα, τὴν σκάφην δὲ σκάφην » ὀνομάζων, οὐ μίσει, οὐδὲ φιλίᾳ νέμων, οὐδὲ φειδόμενος, ἢ ἐλεῶν, ἢ αἰσχυνόμενος, ἢ δυσωπούμενος· ἴσος δικαστὴς, εὔνους ἅπασιν, ἄχρι τοῦ μὴ θατέρῳ τι ἀπονεῖμαι πλεῖον τοῦ δέοντος, ξένος ἐν τοῖς βιβλίοις, καὶ ἄπολις, αὐτόνομος, ἀβασίλευτος, οὐ τί τῷδε ἢ τῷδε δόξει λογιζόμενος, ἀλλὰ τί πέπρακται λέγων.

Ὁ δ' οὖν Θουκυδίδης εὖ μάλα τοῦτο ἐνομοθέτησε, καὶ διέκρινεν ἀρετὴν καὶ κακίαν συγγραφικὴν, ὁρῶν μάλιστα θαυμαζόμενον τὸν Ἡρόδοτον, ἄχρι τοῦ καὶ Μούσας κληθῆναι αὐτοῦ τὰ βιβλία. « Κτῆ- » μά τε γάρ φησι μᾶλλον ἐς ἀεὶ συγγράφειν, ἤπερ ἐς τὸ παρὸν » ἀγώνισμα· καὶ μὴ τὸ μυθῶδες ἀσπάζεσθαι, ἀλλὰ τὴν ἀλήθειαν » τῶν γεγενημένων ἀπολείπειν τοῖς ὕστερον (55). » Καὶ ἐπάγει τὸ χρήσιμον, καὶ ὃ τέλος ἄν τις εὖ φρονῶν ὑπόθοιτο ἱστορίας· « ὡς εἴ ποτε καὶ αὖθις τὰ ὅμοια καταλάβοι, ἔχοιεν, φησὶ, πρὸς » τὰ προγεγραμμένα ἀποβλέποντες, εὖ χρῆσθαι τοῖς ἐν ποσί. »

Καὶ τὴν μὲν γνώμην τοιαύτην ἔχων ὁ συγγραφεὺς ἡκέτω μοι· τὴν δὲ φωνὴν, καὶ τὴν τῆς ἑρμηνείας ἰσχὺν, τὴν μὲν σφοδρὰν ἐκείνην, καὶ κάρχαρον, καὶ συνεχῆ ταῖς περιόδοις, καὶ ἀγκύλην ταῖς ἐπιχειρήσεσι, καὶ τὴν ἄλλην τῆς ῥητορείας δεινότητα, μὴ κομιδῇ τεθηγμένος ἀρχέσθω τῆς γραφῆς, ἀλλ' εἰρηνικώτερον διακείμενος (56). Καὶ ὁ μὲν νοῦς σύστοιχος ἔστω καὶ πυκνὸς, ἡ λέξις δὲ σαφὴς καὶ πολιτικὴ, οἷα ἐπισημότατα δηλοῦν τὸ ὑποκείμενον.

Ὡς γὰρ τῇ γνώμῃ τοῦ συγγραφέως σκοποὺς ὑπεθέμεθα, παῤῥησίαν καὶ ἀλήθειαν, οὕτω δὲ καὶ τῇ φωνῇ αὐτοῦ, εἷς σκοπὸς ὁ πρῶτος, σαφῶς δηλῶσαι, καὶ φανώτατα ἐμφανίσαι τὸ πρᾶγμα, μήτε ἀποῤῥήτοις, καὶ ἔξω πάτου ὀνόμασι, μήτε τοῖς ἀγοραίοις τούτοις καὶ καπηλικοῖς, ἀλλ' ὡς μὲν τοὺς πολλοὺς συνιέναι, τοὺς δὲ πεπαιδευμένους ἐπαινέσαι. Καὶ μὴν καὶ σχήμασι κεκοσμήσθω ἀνεπαχθέσι, καὶ τὸ ἀνεπιτήδευτον μάλιστα ἔχουσιν, ἐπεὶ τοῖς κατηρτυμένοις τῶν ζωμῶν ἐοικότας ἀποφαίνει τοὺς λόγους.

Καὶ ἡ μὲν γνώμη κοινωνείτω καὶ προσαπτέσθω τι καὶ ποιητικῆς, παρ' ὅσον μεγαλήγορος, καὶ διηρμένη καὶ ἐκείνη, καὶ μάλισθ' ὁπόταν παρατάξεσι, καὶ μάχαις, καὶ ναυμαχίαις, συμπλέκηται. Δεήσει γὰρ τότε ποιητικοῦ τινος ἀνέμου ἐπουριάσοντος τὰ ἀκάτια, καὶ συνδιοίσοντος ὑψηλὴν καὶ ἐπ' ἄκρων τῶν κυμάτων τὴν ναῦν. Ἡ λέξις δὲ ὅμως ἐπὶ γῆς βεβηκέτω, τῷ μὲν κάλλει, καὶ τῷ μεγέθει τῶν λεγομένων συνεπαιρομένη, καὶ ὡς ἔνι μάλιστα ὁμοιουμένη, μὴ ξενίζουσα δὲ, μηδ' ὑπὲρ τὸν καιρὸν ἐνθουσιῶσα. Κίνδυνος γὰρ αὐτῇ, τό τε μέγιστον παρακινῆσαι, καὶ κατενεχθῆναι ἐς τὸν τῆς ποιητικῆς κορύβαντα. Ὥστε μάλιστα πειστέον τηνικαῦτα τῷ χαλινῷ, καὶ σωφρονητέον, εἰδότας ὡς ἱπποτυφία τις (57) καὶ ἐν λόγοις, πάθος οὐ μικρὸν γίγνεται. Ἄμεινον οὖν ἐφ' ἵππου ὀχουμένῃ τότε τῇ γνώμῃ, τὴν ἑρμηνείαν πεζῇ συμπαραθεῖν ἐχομένην τοῦ ἐφιππίου, ὡς μὴ ἀπολείποιτο τῆς φορᾶς (58).

Καὶ μὴν, καὶ συνθήκῃ τῶν ὀνομάτων εὐκράτῳ καὶ μέσῃ χρηστέον, οὔτε ἄγαν ἀφιστάντα καὶ ἀπαρτῶντα, τραχὺ γὰρ, οὔτε

ῥυθμῷ παρ' ὀλίγον, ὡς οἱ πολλοὶ, συνάπτοντα. Τὸ μὲν γὰρ ἐπαίτιον, τὸ δ' ἀηδὲς τοῖς ἀκούουσι.

Τὰ δὲ πράγματα αὐτὰ, οὐχ ὡς ἔτυχε, συντακτέον (59), ἀλλὰ φιλοπόνως καὶ ταλαιπώρως πολλάκις περὶ τῶν αὐτῶν ἀνακρίνοντα, καὶ μάλιστα μὲν παρόντα καὶ ἐφορῶντα· εἰ δὲ μὴ, τοῖς ἀδεκαστότερον ἐξηγουμένοις προσέχοντα, καὶ οὓς εἰκάσειεν ἄν τις, ἥκιστα πρὸς χάριν ἢ ἀπέχθειαν ἀφαιρήσειν ἢ προσθήσειν τοῖς γεγονόσι. Κἀνταῦθα ἤδη καὶ στοχαστικός τις καὶ συνθετικὸς τοῦ πιθανωτέρου ἔστω.

LUCIEN.

Harmonie d'Homère.

Ὁ δὴ πολυφωνότατος ἁπάντων τῶν ποιητῶν Ὅμηρος, ὅταν μὲν ὥραν ὄψεως εὐμόρφου καὶ κάλλος ἡδονῆς ἐπαγωγὸν ἐπιδείξασθαι βούληται, τῶν τε φωνηέντων τοῖς κρατίστοις χρήσεται, καὶ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις, καὶ οὐ καταπυκνώσει τοῖς ἀφώνοις τὰς συλλαβὰς, οὐδὲ συγκόψει τοὺς ἤχους, παρατιθεὶς ἀλλήλοις τὰ δυσέκφορα, ποικίλην δέ τινα ποιήσει τὴν ἁρμονίαν τῶν γραμμάτων καὶ ῥέουσαν ἀλύπως διὰ τῆς ἀκοῆς, ὡς ἔχει ταυτί·

Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ.

καὶ,

Δήλῳ δήποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ
Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.

καὶ,

Καὶ Χλῶριν εἶδον περικαλλέα, τήν ποτε Νηλεὺς
Γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα.

Ὅταν δὲ οἰκτρὰν, ἢ φοβερὰν, ἢ ἀγέρωχον ὄψιν εἰσάγῃ, τῶν τε φωνηέντων οὐ τὰ κράτιστα θήσει, ἀλλὰ τῶν ψοφοειδῶν, ἢ

ἀφώνων τὰ δυσεκφορώτατα λήψεται, καὶ καταπυκνώσει τούτοις τὰς συλλαβὰς, οἷά ἐστι ταυτί·

Σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ.
Τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο,
Δεινὸν δερκομένη, περὶ δὲ Δεῖμός τε Φόβος τε.

Ποταμῶν δέ γε σύῤῥησιν εἰς χωρίον ἓν, καὶ πάταγον ὑδάτων ἀναμισγομένων ἐκμιμήσασθαι τῇ λέξει βουλόμενος, οὐκ ἔτι λείας συλλαβὰς, ἀλλ' ἰσχυρὰς καὶ ἀντιτύπους θήσει·

Ὡς δ' ὅτε χείμαῤῥοι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες,
Ἐς μισγάγκειαν συμβάλλετον ὄμβριμον ὕδωρ.

Βιαζόμενον δέ τινα πρὸς ἐναντίον ῥεῦμα ποταμοῦ μετὰ τῶν ὅπλων, καὶ τὰ μὲν ἀντέχοντα, τὰ δὲ ὑποφερόμενον εἰσάγων, ἐγκοπάς τε ποιήσει συλλαβῶν, καὶ ἀναβολὰς χρόνων, καὶ ἀντιστηριγμοὺς γραμμάτων·

Δεινὸν δ' ἀμφ' Ἀχιλλῆα κυκώμενον ἵστατο κῦμα,
Ὦθει δ' ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
Εἶχε στηρίζεσθαι.

Ἀραττομένων δὲ περὶ πέτρας ἀνθρώπων, ψόφον τε καὶ μόρον οἰκτρὸν ἐνδεικνύμενος, ἐπὶ τῶν ἀηδεστάτων τε καὶ κακοφωνοτάτων χρονιεῖ γραμμάτων, οὐδαμῇ λεαίνων τὴν κατασκευὴν, οὐδ' ἰδύνων·

Σὺν δὲ δύω μάρψας, ὥστε σκύλακας, ποτὶ γαίῃ
Κόπτ'· ἐκ δ' ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.

Denys d'Halicarnasse, *de l'Arrangement des mots*, ch. xvi.

Mouvement oratoire de Démosthène.

Ἀπόδειξιν (60) ὁ Δημοσθένης ὑπὲρ τῶν πεπολιτευμένων εἰσφέρει. Τίς δ' ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; « Οὐχ ἡμάρτετε,

» ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας καὶ » σωτηρίας κίνδυνον ἀράμενοι· ἔχετε δὲ οἰκεῖα τούτου παραδείγ- » ματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον, οὐδ' οἱ ἐν Σαλαμῖνι, » οὐδ' οἱ ἐν Πλαταιαῖς. » Ἀλλ' ἐπειδὴ καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ, καὶ οἱονεὶ φοιϐόληπτος γενόμενος, τὸν κατὰ τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν· « Οὐκ ἔστιν ὅπως » ἡμάρτετε, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας » φαίνεται δι' ἑνὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ἐγὼ καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας· ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων· τοῖς δὲ κρίνουσι, τὸ τῶν ἐκεῖ προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθιστὰς εἰς ὑπερϐάλλον ὕψος, καὶ πάθος, καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνιόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων, μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον, ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρονεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας ᾤχετο. Καίτοι παρὰ τῷ Εὐπόλιδι (61) τοῦ ὅρκου τὸ σπέρμα φασὶν εὑρῆσθαι·

Οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην,
Χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

Ἔστι δ' οὐ τὸ ὁπωσοῦν τινὰ ὀμόσαι μέγα, τὸ δὲ ποῦ, καὶ πῶς, καὶ ἐφ' ὧν καιρῶν, καὶ τίνος ἕνεκα· ἀλλ' ἐκεῖ μὲν οὐδέν ἐστιν εἰ μὴ ὅρκος, καὶ πρὸς εὐτυχοῦντας ἔτι, καὶ οὐ δεομένους παρηγορίας, τοὺς Ἀθηναίους. Ἔτι δ' οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ ποιητὴ ὤμοσεν, ἵνα τῆς ἐκείνων ἀρετῆς τοῖς ἀκούουσιν ἐντέκῃ λόγον ἄξιον, ἀλλ' ἀπὸ τῶν προκινδυνευσάντων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην· παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος, ὡς μὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι. Καὶ κατὰ ταὐτόν, ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι, καὶ παράδειγμα, ὅρκων πίστις, ἐγκώμιον, προτροπή. Κἀπειδὴ

περ ὑπήντα τῷ ῥήτορι « Λέγεις ἥτταν πολιτευσάμενος, εἶτα νίκας » ὀμνύεις », διὰ ταῦθ' ἑξῆς κανονίζει, καὶ δι' ἀσφαλείας ἄγει καὶ ὀνόματα· διδάσκων, ὅτι κἂν βακχεύμασι νήφειν ἀναγκαῖον· « Τοὺς » προκινδυνεύσαντας, φησίν, ἐν Μαραθῶνι τῶν προγόνων, καὶ » τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας, καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ, καὶ » τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, οὐδαμοῦ νικήσαντας εἶπεν », ἀλλὰ πάντη τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυχὲς, καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον. Διόπερ καὶ τὸν ἀκροατὴν φθάνων εὐθὺς ὑποφέρει· « Οὓς ἅπαντας ἔθαψε δημοσίᾳ, φη- » σὶν, ἡ πόλις, Αἰσχύνη, οὐ τοὺς κατορθώσαντας μόνους. »

LONGIN, *du Sublime*, ch. XVI.

Caractère des principaux Écrivains grecs.

Ἔτι δεῖ τοῖς τῶν παλαιῶν ἐντυγχάνειν συγγράμμασιν, ἵν' ἐντεῦθεν μὴ μόνον τῆς ὑποθέσεως τὴν ὕλην, ἀλλὰ καὶ τὸν τῶν ἰδιωμάτων ζῆλον χορηγηθῶμεν. Ἡ γὰρ ψυχὴ τοῦ ἀναγινώσκοντος, ὑπὸ τῆς συνεχοῦς παρατηρήσεως, τὴν ὁμοιότητα τοῦ χαρακτῆρος ἐφέλκεται.

(62) Οὕτω καὶ λόγων μιμήσεων ὁμοιότης τίκτεται, ἐπὰν ζηλώσῃ τις ὃ παρ' ἑκάστῳ τῶν πολλῶν βέλτιον εἶναι δοκεῖ· καθάπερ ἐκ πολλῶν ναμάτων εἴ τις κομίσας ῥεῦμά τι, εἰς τὴν ψυχὴν μετοχετεύσει.

DENYS D'HALICARNASSE.

POETES.

HOMÈRE.

Τῆς μὲν Ὁμηρικῆς ποιήσεως οὐ μίαν τινὰ τοῦ σώματος μοῖραν, ἀλλ' ἐκτύπωσαι τὸ σύμπαν, καὶ λάβε ζῆλον ἠθῶν τε τῶν ἐκεῖ καὶ παθῶν (63), καὶ μεγέθους, καὶ τῆς οἰκονομίας, καὶ τῶν ἄλλων

ἀρετῶν ἁπασῶν εἰς ἀληθῆ τὴν παρὰ σοὶ μίμησιν ἠλλαγμένων. Τοὺς δὲ ἄλλους, ἐν οἷς ἀλλήλων πλέον ἔχουσι, χρὴ μιμεῖσθαι.

Denys d'Halicarnasse.

HÉSIODE, ANTIMAQUE, PANYASIS.

Ἡσίοδος μὲν γὰρ ἐφρόντισεν ἡδονῆς (64) καὶ ὀνομάτων λειότητος, καὶ συνθέσεως ἐμμελοῦς.

Ἀντίμαχος δὲ εὐτονίας (65), καὶ ἀγωνιστικῆς τραχύτητος, καὶ τοῦ συνήθους τῆς ἐξαλλαγῆς.

Πανύασις δὲ τάς τε ἀμφοῖν ἀρετὰς ἠνέγκατο, καὶ αὐτῶν πραγματείᾳ καὶ τῇ κατ' αὐτὸν οἰκονομίᾳ διήνεγκεν.

Idem.

PINDARE.

(66) Ζηλωτὸς δὲ καὶ Πίνδαρος ὀνομάτων καὶ νοημάτων εἵνεκα, καὶ μεγαλοπρεπείας, καὶ τόνου, καὶ περιουσίας, καὶ κατασκευῆς, καὶ δυνάμεως, καὶ πικρίας μετὰ ἡδονῆς, καὶ πυκνότητος, καὶ σεμνότητος, καὶ γνωμολογίας, καὶ ἐνεργείας, καὶ σχηματισμῶν, καὶ ἠθοποιίας, καὶ αὐξήσεως καὶ δεινώσεως, μάλιστα δὲ τῶν εἰς σωφροσύνην, καὶ εὐσέβειαν, καὶ μεγαλοπρέπειαν ἠθῶν.

Idem.

SIMONIDE.

Σιμωνίδου δὲ παρατήρει τὴν ἐκλογὴν τῶν ὀνομάτων (67), καὶ τῆς συνθέσεως τὴν ἀκρίβειαν· πρὸς τούτοις, καθ' ὃ βελτίων εὑρίσκεται καὶ Πινδάρου, τὸ οἰκτίζεσθαι (68), μὴ μεγαλοπρεπῶς, ἀλλ' ὡς ἐκεῖνος, παθητικῶς.

Idem.

STÉSICHORE.

Ὅρα δὲ καὶ Στησίχορον ἔν τε τοῖς ἑκατέρου τῶν προειρημένων πλεονεκτήμασι κατορθοῦντα, οὐ μὴν ἀλλὰ καὶ ὧν ἐκεῖνοι

λείπονται, κρατοῦντα· λέγω δὲ τῆς μεγαλοπρεπείας τῶν κατὰ τὰς ὑποθέσεις πραγμάτων, ἐν οἷς τὰ ἤθη καὶ τὰ ἀξιώματα τῶν προσώπων τετήρηκεν (69).

DENYS D'HALICARNASSE.

ALCÉE.

Ἀλκαίου δὲ σκόπει τὸ μεγαλοφυὲς, καὶ βραχὺ, καὶ ἡδὺ μετὰ δεινότητος, ἔτι δὲ καὶ τοὺς σχηματισμοὺς μετὰ σαφηνείας, ὅσον αὐτῆς μὴ τῇ διαλέκτῳ τι κεκάκωται, καὶ, πρὸ ἁπάντων, τὸ τῶν πολιτικῶν πραγμάτων ἦθος. Πολλαχοῦ γοῦν, τὸ μέτρον τις εἰ περιέλοι, ῥητορικὴν ἂν εὕροι πολιτείαν.

Ἴωμεν ἐπὶ τοὺς τραγῳδοὺς, οὐκ ἐπειδὴ μὴ προσήκει πᾶσι τοῖς ποιηταῖς ἐντυγχάνειν, ἀλλ' ἐπεὶ μὴ πάντων καιρὸς ἐν τῷ παρόντι μεμνῆσθαι· τὸ δὲ τῶν ἐξαιρέτων, ἱκανόν ἐστι.

Idem.

ESCHYLE.

Ὁ δ' οὖν Αἰσχύλος, πρῶτος καὶ τῆς μεγαλοπρεπείας ἐχόμενος, καὶ ἠθῶν καὶ παθῶν τὸ πρέπον εἰδὼς, καὶ τῇ τροπικῇ καὶ τῇ κυρίᾳ λέξει διαφερόντως κεκοσμημένος· πολλαχοῦ δὲ καὶ αὐτὸς δημιουργὸς καὶ ποιητὴς ἰδίων ὀνομάτων καὶ πραγμάτων (70). Εὐριπίδου δὲ καὶ Σοφοκλέους καὶ ποικιλώτερος ταῖς τῶν προσώπων ἐπεισαγωγαῖς.

Idem.

SOPHOCLE ET EURIPIDE.

Σοφοκλῆς δὲ ἐν τοῖς πάθεσι διήνεγκε, τὸ τῶν προσώπων ἀξίωμα τηρῶν (71). Εὐριπίδης μέν γε οὐ τὸ ὅλον ἀληθὲς καὶ προσεχὲς τῷ βίῳ νῦν ἥρμοσεν (72)· ὅθεν τὸ πρέπον αὐτὸν καὶ κόσμιον πολλαχοῦ διέφυγε. Καὶ οὐχὶ τὰ γενικὰ καὶ μεγαλοφυῆ τῶν προσώπων ἤθη καὶ πάθη, καθάπερ Σοφοκλῆς, κατώρθωσεν· εἰ δέ τι ἄσεμνον, καὶ ἄνανδρον, καὶ ταπεινὸν, σφόδρα ἰδεῖν ἔστιν αὐτὸν ἠκριβωκότα

Καὶ Σοφοκλῆς μὲν οὐ περιττὸς ἐν τοῖς λόγοις, ἀλλ' ἀναγκαῖος· ὁ δὲ Εὐριπίδης πολὺς ἐν ταῖς ῥητορικαῖς εἰσαγωγαῖς. Καὶ ὁ μὲν, ποιητικός ἐστιν ἐν τοῖς ὀνόμασι, καὶ πολλάκις ἐκ πολλοῦ τοῦ μεγέθους εἰς διάκενον κόμπον ἐκπίπτων, οἷον εἰς ἰδιωτικὴν παντάπασι ταπεινότητα κατέρχεται· ὁ δὲ Εὐριπίδης, οὔτε ὑψηλός ἐστιν, οὔτε μὴν λιτός, ἀλλὰ κεκραμένῃ τῆς λέξεως μεσότητι κέχρηται (73).

Τῶν δὲ κωμῳδῶν μιμεῖσθαι τὰς λεκτικὰς ἀρετὰς ἁπάσας· εἰσὶ γὰρ καὶ τοῖς νοήμασι καθαροὶ, καὶ σαφεῖς, καὶ βραχεῖς, καὶ μεγαλοπρεπεῖς, καὶ δεινοὶ, καὶ ἠθικοί. Μενάνδρου δὲ καὶ τὸ πρακτικὸν θεωρητέον.

Denys d'Halicarnasse.

HISTORIENS.

HÉRODOTE ET THUCYDIDE.

Τῶν μέντοι συγγραφέων Ἡρόδοτος μὲν ἐξείργασται τὸ βέλτιον τὸ πραγματικὸν εἶδος· τῷ δὲ λεκτικῷ ποτὲ μὲν πλεονεκτεῖ Θουκυδίδης, ποτὲ δὲ ἔμπαλιν ἔστι δ' ἐν οἷς ἐξισοῦνται. Τῇ μὲν ἀκριβείᾳ τῶν ὀνομάτων, ἐν οἷς ἑκάτεροι προῄρηνται διαλόγοις, ἀποσώζουσι τὸ ἴδιον· τῆς δὲ σαφηνείας ἀναμφισβητήτως Ἡροδότῳ τὸ κατόρθωμα δέδοται· καὶ τὸ μὲν σύντομόν ἐστι παρὰ Θουκυδίδῃ, τὸ δὲ ἐναργὲς παρ' ἀμφοτέροις. Ἐν μέντοι τοῖς ἠθικοῖς κρατεῖ Ἡρόδοτος, ἐν δὲ τοῖς παθητικοῖς ὁ Θουκυδίδης. Πάλιν καλλιλογίᾳ καὶ μεγαλοπρεπείᾳ διαφέρουσιν οὐδὲν ἀλλήλων, ἀλλ' ἑκάτεροι τούτων τε καὶ τῶν τοιούτων ἀρετῶν κρατοῦσι. Ῥώμῃ δὲ, καὶ ἰσχύϊ, καὶ τόνῳ, καὶ τῷ περιττῷ, καὶ πολυσχηματίστῳ παρηυδοκίμησε Θουκυδίδης· ἡδονῇ δὲ, καὶ πειθοῖ, καὶ χάριτι, καὶ τῷ ἀφελεῖ αὐτοφυεῖ ἀβασανίστῳ, μακρῷ διενεγκόντα τὸν Ἡρόδοτον εὑρίσκομεν (74), καὶ μετὰ τοῦτο τὸν τρόπον, πραγματείαν καὶ προσωποποιΐαν μᾶλλον οὐ ἐτήρησε.

Idem.

PHILISTE ET XÉNOPHON.

Φιλίστου δὲ καὶ Ξενοφῶντος, ὁ μὲν Ξενοφῶν Ἡροδότου ζηλωτὴς ἐγένετο κατά τε τὰς πραγματικὰς ἀρετὰς καὶ τὰς οἰκονομικὰς, καὶ τὰς ἠθικάς. Τῷ δὲ λεκτικῷ, πῆ μὲν ὅμοιος, πῆ δὲ ἐλάττων. Ἐλεγκτικὸς μὲν γὰρ καὶ καθαρὸς τοῖς ὀνόμασι, καὶ σαφὴς, καὶ ἐναργὴς, καὶ κατὰ τὴν σύνθεσιν ἡδὺς καὶ εὔχαρις ὡς καὶ πλεῖον ἐκείνου· ὕψους δὲ καὶ μεγαλοπρεπείας καθόλου τοῦ ἱστορικοῦ πράγματος οὐκ ἐπέτυχεν· ἀλλ' οὐδὲ τοῦ πρέποντος τοῖς προσώποις πολλάκις ἐστοχάσατο, περιτιθεὶς ἀνδράσιν ἰδιώταις καὶ βαρβάροις ἔσθ' ὅτε λόγους φιλοσόφους (75), λέξει χρώμενος λόγοις πρεπούσῃ μᾶλλον ἢ στρατιωτικοῖς κατορθώμασι.

Φίλιστος δὲ μιμητής ἐστι Θουκυδίδου (76), ἔξω τοῦ ἤθους· τὸ μὲν γὰρ, ἐλεύθερον καὶ φρονήματος μεστόν· τοῦτο δὲ, θεραπευτικὸν τῆς τυράννων καὶ ἄλλων πλεονεξίας (77). Ἐζήλωκε δὲ πρῶτον μὲν τὸ τὴν ὑπόθεσιν ἀτελῆ καταλιπεῖν, τὸν αὐτὸν ἐκείνῳ τρόπον (78)· οὐ μὴν ἀλλὰ καὶ τὴν ἀταξίαν αὐτοῦ τῆς οἰκονομίας καὶ δυσπαρακολούθητον τὴν πραγματείαν τῇ συγχύσει τῶν εἰρημένων πεποίηκε. Τῆς δὲ λέξεως τὸ μὲν γλωσσηματικὸν καὶ περίεργον οὐκ ἐζήλωκε Θουκυδίδου· τὸ δὲ στρογγύλον, καὶ πυκνὸν, καὶ εὔτονον, καὶ ἐναγώνιον, πάνυ ἀκριβῶς ἀπεμάξατο. Οὐ μὴν ὁμοίως τὴν καλλιλογίαν, καὶ τὴν σεμνότητα, καὶ τὴν ἀφθονίαν τῶν ἐνθυμημάτων, καὶ τὰ βάρη, καὶ τὰ πάθη, καὶ τοὺς σχηματισμούς. Μικρὸς δέ ἐστι καὶ ταπεινὸς κομιδῇ ταῖς ἐκφράσεσιν, ἤτοι τόπων, ἢ ναυμαχιῶν, ἢ πεζῶν παρατάξεων, ἢ οἰκισμοῦ πόλεων. Οὐδὲ ὁ λόγος τῷ μεγέθει τοῦ πράγματος ἐξισοῦται. Συνετὸς μέντοι, καὶ, κατὰ τὴν ἑρμηνείαν, Θουκυδίδου πρὸς τοὺς ἀληθεῖς ἀγῶνας ὠφελιμώτερος (79).

DENYS D'HALICARNASSE.

THÉOPOMPE.

Θεόπομπος δὲ ὁ Χῖος πρῶτον μὲν ἐν τῷ προελέσθαι τοιαύτης ἱστορίας ὑποθέσεις (80), ἄξιος ζήλου· μετὰ δὲ, οἰκονομίας·

ἔχει οὖν τὸ εὐπαρακολούθητον καὶ σαφὲς ἡ γραφή· ἔτι δὲ καὶ τῆς ποικιλίας τῆς ἐν τοῖς πράγμασιν· οὐ μὴν ἀλλὰ καὶ τῆς ἐφ' ἑκάστοις παῤῥησίας· καὶ μὴν οὐδὲ τοῦ τὰς ἀποῤῥήτους τῶν γενομένων ἢ λεχθέντων αἰτίας ἐγκρύψασθαι, στοχάσασθαι δ' ἀκριβῶς τῆς τῶν εἰπόντων ἢ πεποιηκότων γνώμης. Τὸ λεκτικὸν αὐτῷ τῷ Ἰσοκρατικῷ παραπλήσιον, πλὴν ὅσον πικρόν ἐστι καὶ σφόδρα εὔτονον, τὰ δ' ἄλλα ὁμοία ἡ λέξις· καὶ γὰρ κοινὴ, καὶ σαφὴς, καὶ μεγαλοπρεπὴς, καὶ σεμνὴ, καὶ πομπικὴ, συνθέσεως τετυχηκυῖα πρὸς ἡδονήν. Πονηρὰ δὲ καὶ πολλή τις τῶν φωνηέντων ἡ σύγκρουσις, καὶ κατ' ἐπιτήδευμα μὲν αἱ κυκλικαὶ περίοδοι, καὶ ὁμοιοειδεῖς τῶν σχηματισμῶν. Διήμαρτε δὲ καὶ, ὁ μάλιστα ἐντὸς πρακτικῆς, κατὰ τὰς τῶν παρεκβάσεων ἐπεισαγωγάς (81)· καὶ γὰρ ψυχρῶς ἔνιαι καὶ ἀκαίρως λέγονται· καθάπερ τὰ περὶ τὸν ἐν Μακεδονίᾳ Σειληνὸν ἱστορηθέντα (82), καὶ τὰ περὶ τὸν δράκοντα τὸν πρὸς τῇ τριήρει ναυμαχοῦντα.

DENYS D'HALICARNASSE.

PHILOSOPHES.

Τῶν φιλοσόφων δ' ἀναγνωστέον τούς τε Πυθαγορικοὺς, τῆς σεμνότητος, καὶ τῶν ἠθῶν, καὶ τῶν δογμάτων εἵνεκεν, οὐ μὴν ἀλλὰ καὶ τῆς ἀπαγγελίας· μεγαλοπρεπεῖς γὰρ τῇ λέξει καὶ ποιητικοί. Καὶ οὐδὲ παραλείπουσι τὴν σαφήνειαν, ἀλλὰ κεκραμένῃ τῇ διαλέκτῳ χρώμενοι. Μιμητέον δὲ μάλιστα Ξενοφῶντα καὶ Πλάτωνα, τῶν τε ἠθῶν χάριν, καὶ τῆς ἡδονῆς καὶ τῆς μεγαλοπρεπείας. Παραληπτέον δὲ καὶ Ἀριστοτέλη εἰς μίμησιν τῆς τε περὶ τὴν ἑρμηνείαν δεινότητος καὶ τῆς σαφηνείας, καὶ τοῦ ἡδέος καὶ πολυμαθοῦς. Τοῦτο γὰρ ἔστι μάλιστα παρὰ τοῦ ἀνδρὸς λαβεῖν. Φιλοτιμώμεθα δ' αὐτοῦ καὶ τοῖς μαθηταῖς ἐντυγχάνειν, οὐδὲ ἐλάττονος οὖσι σπουδῆς ἀξίοις.

Ἐπειδὴ τοίνυν τὰ περὶ τῶν ἄλλων ἀναγνωσμάτων ἐστὶν ἡμῖν

κεφαλαιωδῶς ἐξειργασμένα, ῥητέον λοιπὸν καὶ ὃ παρὰ τῶν ῥητορικῶν ἐστὶν ἑκάστου λαβεῖν· ὃ δὴ καὶ μᾶλλον ἡμῖν ἀναγκαῖον.

DENYS D'HALICARNASSE.

ORATEURS.

LYSIAS.

Ὁ Λυσιακὸς λόγος πρὸς τὸ χρήσιμον καὶ ἀναγκαῖόν ἐστιν αὐτάρκης, καὶ τὸ μὲν αὐχμηρὸν ἐκπεφευγὼς, πάνυ δὲ οὗτος καὶ στενὸς κατὰ τὴν ἀπαγγελίαν, ἔτι δὲ καὶ κομψὸς, καὶ ἀληθὴς, καὶ τῶν ἀττικισμῶν εὔχαρις (83)· οὐ μὴν συνεχῶς αὐξητικὸς, πλὴν τοῦ σκοποῦ λεληθότως ἐπιτυγχάνων, μετὰ κεκραμένης τῆς κατὰ τὴν χάριν ἡδονῆς· ὡς ἀναγινωσκόμενον μὲν, οὐχ ὁλὸν νομίζεσθαι, χαλεπὸν δὲ εὑρίσκεσθαι ζηλοῦν πειρωμένοις. Μάλιστα δὲ ἐπιτευκτικὸς ἐν ταῖς διηγήσεσιν· ἰσχνότητι γὰρ τῆς φράσεως σαφῆ καὶ ἀπηκριβωμένην ἔχουσι τὴν τῶν πραγμάτων ἔκθεσιν.

Idem.

ISOCRATE.

Ὁ δὲ Ἰσοκρατικὸς, κομψεύεται μὲν, ἀλλὰ μετὰ σεμνότητος, καὶ πανηγυρικώτερός ἐστι μᾶλλον ἢ δικανικώτερος. Ἔχει δὲ τὸν κόσμον μετὰ ἐνεργείας, καὶ πομπικός ἐστι μετὰ τοῦ ἀνυστικοῦ καὶ χρησίμου, οὐ μὴν ἀγωνιστικός· περιγράφων δὲ τὴν ἀπαγγελίαν ταῖς περιόδοις (84), καὶ ὅλως μεσότητα σωφρονίζων λιτότητι, τὸ δὲ λιτὸν ἐξαίρων. Καὶ αὐτοῦ μάλιστα ζηλωτέον τήν τε τῶν ὀνομάτων συνέχειαν, καὶ τὸ τῆς ὅλης ἰδέας ἐπιδεικτικόν.

Idem.

LYCURGUE.

Ὁ δὲ Λυκοῦργος ἐστὶ διὰ παντὸς αὐξητικὸς, καὶ διηρημένος, καὶ σεμνὸς, καὶ ὅλως κατηγορικὸς, καὶ φιλαλήθης, καὶ παρρησιαστικός. Οὐ μὴν ἀστεῖος, οὐδὲ ἡδὺς, ἀλλ' ἀναγκαῖος. Τούτου χρὴ ζηλοῦν μάλιστα τὰς δεινώσεις.

Idem.

DÉMOSTHÈNE.

Ὁ δὲ Δημοσθενικὸς, εὔτονος τῇ φράσει, κεκραμένος τοῖς ἤθεσι, καὶ λέξεως ἐκλογῇ κεκοσμημένος· καὶ χρώμενος τάξει τῇ κατὰ τὸ συμφέρον, καὶ μετὰ τοῦ σεμνοῦ τὴν χάριν ἔχων, καὶ συνεχής· οἷς μάλιστα δικασταὶ κατέχονται.

DENYS D'HALICARNASSE.

ESCHINE.

Ὁ δὲ Αἰσχύνης, ἀτονώτερος μὲν τοῦ Δημοσθένους, ἐν δὲ τῇ τῶν λέξεων ἐκλογῇ πομπικὸς ἅμα καὶ δεινός· καὶ οὐ πάνυ μὲν ἔντεχνος, τῇ δὲ παρὰ τῆς φύσεως εὐχερείᾳ κεχορηγημένος· καὶ σφόδρα ἐναργὴς, καὶ βαρὺς, καὶ αὐξητικὸς, καὶ πικρός· καὶ ἡδὺς μὲν αὐτόθεν ἐντυχόντι, σφοδρὸς δὲ, ἐξετασθείς.

Idem.

HYPÉRIDE.

Ὁ δὲ Ὑπερίδης, εὔστοχος μὲν, σπάνιον δ' αὐξητικός· καὶ τῇ μὲν τῆς φράσεως κατασκευῇ Λυσίαν ὑπερηρκὼς, τῇ δὲ τῆς εἰρωνείας (85) πανουργίᾳ πάντας. Ἔτι δὲ τοῦ κρινομένου διὰ παντὸς ἔχεται, καὶ ταῖς ἀνάγκαις τοῦ πράγματος πέφυκε, καὶ συνέσει πολλῇ κεχορήγηται, καὶ χάριτος μεστὸς ἐστί· καὶ δοκῶν ἁπλοῦς, οὐκ ἀπήλλακται δεινότητος. Τούτου ζηλωτέον μάλιστα τῶν διηγήσεων τὸ λεπτὸν καὶ σύμμετρον, ἔτι δὲ καὶ τὰς ἐφόδους αἷς ἐπὶ τὰ πράγματα βαδίζει.

Καί μοι καὶ τῶν ῥητόρων οὗτοι κεχαρακτηρισμένοι, καὶ δε δειγμένοι τίνος ἀρετῆς ἐπειλημμένος εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων καὶ αὐτὸς συνεισφέρει. Τούτου δὲ ἕνεκα τὰς τῶν προειρημένων ἁπάντων ἰδέας διεξῆλθον, ὥστε δεδεῖχθαι τὸν τρόπον τῆς ἐπιμελοῦς ἀναγνώσεως, ἐξ ἧς ὑπάρξει τὸ παρ' ἑκάστοις κατορθούμενον αἱρουμένοις (86), μήτε παρέργως τοῖς παλαιοῖς ἐντυγχάνειν, μήτε λεληθότως τὴν ὠφέλειαν προσγινομένην περιμέ-

νειν, ἀλλ' ἐπιστημόνως, ἄλλως τε καὶ κοσμήσειν μέλλουσι τὸν λόγον τοῖς παρὰ πάντων πλεονεκτήμασιν· ἃ καὶ κατ' αὐτὰ μὲν οἰκείᾳ φύσει τέρπει· εἰ δὲ καὶ κερασθείη διὰ τέχνης εἰς ἑνὸς τύπον λογικοῦ σώματος, βελτίων ἡ φράσις τῇ μίξει γίνεται.

Idem.

Comparaison de Démosthène et d'Hypéride.

Εἰ δ' ἀριθμῷ, μὴ τῷ ἀληθεῖ, κρίνοιτο τὰ κατορθώματα, οὕτως ἂν καὶ Ὑπερίδης τῷ παντὶ προέχοι Δημοσθένους. Ἔστι γὰρ αὐτοῦ πολυφωνότερος, καὶ πλείους ἀρετὰς ἔχων, καὶ σχεδὸν ὕπακρος ἐν πᾶσιν, ὡς ὁ πένταθλος (87), ὅς γε τῶν μὲν πρωτείων ἐν ἅπασι τῶν ἄλλων ἀγωνιστῶν λείπεται, πρωτεύει δὲ τῶν ἰδιωτῶν. Ὁ μὲν γὰρ Ὑπερίδης πρὸς τῷ πάντα, ἔξω γε τῆς συνθέσεως, μιμεῖσθαι τὰ Δημοσθένεια κατορθώματα, καὶ τὰς Λυσιακὰς ἐκ περιττοῦ περιείληφεν ἀρετάς τε καὶ χάριτας. Καὶ γὰρ μαλακίζεται, ἀφελείας ἔνθα χρὴ, καὶ οὐ πάντα ἑξῆς καὶ μονοτόνως, ὡς ὁ Δημοσθένης, λέγει· τό τε ἠθικὸν ἔχει μετὰ γλυκύτητος ἡδὺ, λιτῶς ἐφηδυνόμενον· ἄφατοί τε περὶ αὐτόν εἰσιν ἀστεϊσμοὶ, μυκτὴρ πολιτικώτατος, εὐγένεια, τὸ κατὰ τὰς εἰρωνείας εὐπάλαιστρον, σκώμματα οὐκ ἄμουσα, οὐδ' ἀνάγωγα κατὰ τοὺς Ἀττικοὺς ἐκείνους, ἀλλ' ἐπικείμενα· διασυρμός τε ἐπιδέξιος, καὶ πολὺ τὸ κωμικὸν, καὶ μετὰ παιδιᾶς εὐστόχου κέντρον, ἀμίμητον δὲ εἰπεῖν τὸ ἐν πᾶσι τούτοις ἐπαφρόδιτον· οἰκτίσασθαί ποτε προσφυέστατος, ἔτι δὲ μυθολογῆσαι κεχυμένος, καὶ ἐν ὑγρῷ πνεύματι διεξοδεῦσαι ἔτι εὐκαμπὴς ἄκρως (88)· ὥσπερ ἀμέλει τὰ μὲν περὶ τὴν Λητὼ ποιητικώτερα, τὸν δ' ἐπιτάφιον ἐπιδεικτικῶς, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος, διέθετο. Ὁ δὲ Δημοσθένης ἀνηθοποίητος, ἀδιάχυτος, ἥκιστα ὑγρὸς ἢ ἐπιδεικτικὸς, ἁπάντων ἑξῆς τῶν προειρημένων κατὰ τὸ πλέον ἄμοιρος. Ἔνθα μέντοι γελοῖος εἶναι βιάζεται, καὶ ἀστεῖος, οὐ γέλωτα κινεῖ μᾶλλον, ἢ καταγελᾶται· ὅταν δὲ ἐγγίζειν θέλῃ τῷ ἐπιχαρὴς εἶναι, τότε πλέον ἀφίσταται. Ἀλλ' ἐπειδήπερ οἶμαι τὰ μὲν θατέρου καλὰ, καὶ εἰ πολλὰ, ὅμως ἀμεγέθη καὶ καρ-

διῃ νήφοντος (89), ἀργά, καὶ τὸν ἀκροατὴν ἠρεμεῖν ἐῶντα (οὐδεὶς γοῦν Ὑπερίδην ἀναγινώσκων φοβεῖται), ὁ δὲ ἔνθεν λαβὼν τὸν τοῦ μεγαλοφυεστάτου, καὶ ἐπ' ἄκρον ἀρετὰς συντετελεσμένας ὑψηγορίας τόνον, ἔμψυχα πάθη, περιουσίαν, ἀγχίνοιαν, τάχος, ἔνθεν δ', ὁ κύριον, τὴν ἅπασιν ἀπρόσιτον δεινότητα, καὶ δύναμιν· ἐπείτοι ταῦτα, φημὶ, ὡς θεόπεμπτά τινα δωρήματα (οὐ γὰρ εἰπεῖν θεμιτὸν ἀνθρώπινα), ἀθρόα ἐς ἑαυτὸν ἔσπασε, διὰ τοῦτο οἷς ἔχει καλοῖς ἅπαντας ἀεὶ νικᾷ, καὶ ὑπὲρ ὧν οὐκ ἔχει, ὡσπερεὶ καταβροντᾷ, καὶ καταφέγγει τοὺς ἀπ' αἰῶνος ῥήτορας. Καὶ θᾶττον ἂν τις κεραυνοῖς φερομένοις ἀντανοῖξαι τὰ ὄμματα δύναιτο, ἢ ἀντοφθαλμῆσαι τοῖς ἐπαλλήλοις ἐκείνου πάθεσιν.

LONGIN, *du Sublime*, ch. XXVII.

Comparaison de Démosthène et de Cicéron (90).

Οὐ κατ' ἄλλα δέ τινα ἢ ταῦτα, ἐμοὶ δοκεῖ, φίλτατε Τερεντιανὲ (λέγω δὲ, εἰ καὶ ἡμῖν ὡς Ἕλλησιν ἐφεῖταί τι γινώσκειν), καὶ ὁ Κικέρων τοῦ Δημοσθένους ἐν τοῖς μεγέθεσι παραλλάττει. Ὁ μὲν γὰρ ἐν ὕψει τῷ πλέον ἀποτόμῳ, ὁ δὲ Κικέρων ἐν χύσει· καὶ ὁ μὲν ἡμέτερος διὰ τὸ μετὰ βίας ἕκαστα, ἔτι δὲ τάχους, ῥώμης, δεινότητος, οἷον καίων τε ἅμα καὶ διαρπάζων, σκηπτῷ τινι παρεικάζοιτ' ἂν, ἢ κεραυνῷ· ὁ δὲ Κικέρων ὡς ἀμφιλαφής τις ἐμπρησμὸς, οἶμαι, πάντῃ νέμεται, καὶ ἀνειλεῖται, πολὺ ἔχων καὶ ἐπίμονον ἀεὶ τὸ καῖον, διακληρονομούμενον ἄλλοτ' ἄλλως ἐν αὐτῷ, καὶ κατὰ διαδοχὰς, ἀνατρεφόμενον. Ἀλλὰ ταῦτα μὲν ὑμεῖς ἂν ἄμεινον ἐπικρίνοιτε· καιρὸς δὲ τοῦ Δημοσθενικοῦ μὲν ὕψους, καὶ ὑπερτεταμένου, ἔν τε ταῖς δεινώσεσι, καὶ τοῖς σφοδροῖς πάθεσι, καὶ ἔνθα δεῖ τὸν ἀκροατὴν τὸ σύνολον ἐκπλῆξαι· τῆς δὲ χύσεως, ὅπου χρὴ καταντλῆσαι (91). Τοπηγορίαις τε γὰρ, καὶ ἐπιλόγοις κατὰ τὸ πλέον, καὶ παραβάσεσι, καὶ τοῖς φραστικοῖς ἅπασι, καὶ ἐπιδεικτικοῖς, ἱστορίαις τε, καὶ φυσιολογίαις, καὶ οὐκ ὀλίγοις ἄλλοις μέρεσιν ἁρμόδιος.

LONGIN, *du Sublime*, ch. XII.

NOTES

DE LA RHÉTORIQUE.

(1) Aristote (liv. 1, ch. 2) définit la rhétorique, la faculté de voir dans chaque sujet ce qu'il renferme de propre à persuader. Cicéron (*de Inv.*, *Rhet.*, liv. 1, art. 5) l'appelle la faculté de parler d'une manière persuasive, et Quintilien (liv. 2, ch. 25), la science de bien dire. Or, pour persuader, il faut instruire, plaire et toucher, c'est-à-dire, que dans l'éloquence (Fénélon, Dial. 1[er].) tout consiste à ajouter à la preuve solide les moyens d'intéresser l'auditeur et à employer les passions pour le dessein qu'on se propose.

(2) « Cette division, dit Blair, observée dans tous » les anciens traités de rhétorique, est bien conçue, » et comprend presque toutes les matières qui peuvent » être le sujet d'un discours public. »

(3) Ces diverses parties se trouvent dans les deux autres genres. L'auteur parle du genre judiciaire plutôt que d'un autre, sans doute parce que c'est celui auquel les anciens Rhéteurs attachaient le plus d'importance et qu'ils ont traité avec le plus de soin.

Selon Aristote (liv. 3, ch. 13), tout discours peut être réduit à deux parties, *la proposition* et *la preuve*. Cependant il ne prescrit pas de s'en tenir rigoureusement à cette division, et propose de reconnaître dans chaque discours quatre parties principales; les mêmes que celles qu'indique ici Rufus. Les modernes en admettent un plus grand nombre.

(4) Souvent aussi, dit Aristote (liv. 3, ch. 14), on

doit dans l'exorde rendre les auditeurs inattentifs; et il en donne aussitôt la raison : « Car il n'est pas tou» jours utile qu'ils écoutent avec attention. »

(5) Ces divers chefs d'où l'exorde peut se tirer, Aristote les réduit à quatre, savoir 1°. la personne de l'Orateur; 2°. celle de l'auditeur; 3°. le sujet qu'on traite; 4°. la personne de l'adversaire. (*Rhét.*, liv. 3, ch. 14.)

(6) Tiré de l'exorde du discours de Démosthène pour la couronne.

(7) Tiré de l'exorde du discours de Démosthène contre Midias. Pendant que cet orateur présidait, au nom de sa tribu, les fêtes consacrées à Bacchus, un de ses ennemis, appelé Midias, l'avait maltraité. Démosthène l'accusait d'impiété; Midias, de son côté, prétendait n'être coupable que d'avoir frappé un simple citoyen.

(8) Tiré de l'exorde du discours de Démosthène pour Phormion. Un certain Phasion avait laissé en mourant deux enfans, Apollodore et Pasicle, et donné pour tuteur à celui-ci Phormion, ancien esclave qu'il avait affranchi. Les biens du père furent divisés entre les deux fils. De même, à la mort de la mère, ils se partagèrent les biens qu'elle laissait; mais Apollodore, mécontent de son lot, accusa Phormion de s'être emparé d'une partie de ce qui lui revenait. Démosthène le justifie contre cette accusation.

(9) Tiré de l'exorde de la seconde Olynthienne. Démosthène dissipe les craintes des Athéniens en leur rappelant les preuves éclatantes qu'ils ont reçues de la protection des dieux.

(10) Tiré de l'exorde du discours de Démosthène contre Aristocrate. Les Athéniens avaient accordé le

droit de bourgeoisie à Charidème, général de Cersoblepte, roi de Thrace. Aristocrate rendit à ce sujet un décret qui établissait les peines les plus sévères contre ceux qui attenteraient aux jours de ce Charidème. Eutyclès s'éleva contre ce décret, et dans ce discours, composé par Démosthène, l'attaqua comme contraire à toutes les lois. Il s'attacha surtout à montrer que ce décret amènerait nécessairement la perte de la Chersonnèse.

La citation commence par la conjonction ἀλλά, qui marque une opposition avec un antécédent. Pour qu'on la saisisse mieux, voici la proposition toute entière : « Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ, μήτε ἰδίας » ἔχθρας ἐμὲ μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκράτους κατηγορή- » σαντα τουτονὶ, μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα, » ἑτοίμως ἐπὶ τούτῳ προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν· ἀλλ' » εἴπερ, etc. »

(11) Tiré du discours de Démosthène sur la Chersonnèse. Il cherche à se rendre les juges favorables, et blâme les motifs qui faisaient agir la plupart de ceux qui avaient parlé avant lui.

(12) Tiré de l'exorde de la première Olynthienne. Démosthène cherche à gagner les Athéniens, tout en leur adressant adroitement un reproche. La phrase entière est : « Ἀντὶ πολλῶν ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημά- » των ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συν- » οίσειν τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε. »

(13) Tiré du discours de Démosthène contre Midias. L'orateur expose les trois chefs d'accusation qu'il dirige contre son adversaire.

(14) Tiré du même discours. C'est l'endroit qui précède immédiatement le récit que fait Démosthène de

tout ce qu'il a eu à souffrir de la part de Midias dans plusieurs circonstances.

(15) Tiré de la première Olynthienne. Voyez la dixième ligne de l'exorde.

(16) Tiré du discours de Démosthène contre Néæra. D'après une loi, on devait vendre toute femme étrangère qui épousait un Athénien. C'est en vertu de cette loi que Théomnustus accusa Néæra d'avoir contracté un mariage avec Stéphanus, elle qui avait été servante de Nicérate et qui avait prostitué son honneur.

(17) C'est aussi l'opinion de Cicéron : « Thucydide, » dit-il, est si abondant de choses, que chez lui le » nombre des pensées est presque égal à celui des » paroles ; et ses expressions sont si justes et si pres» sées, qu'on ne sait point si c'est la diction qui donne » de l'éclat aux choses, ou les pensées à la diction. » (*De Orat.*, liv. II, art. 13.) Le passage de Cicéron est remarquable : « *Qui* (Thucydides) *ità creber est rerum » frequentiâ, ut verborum propè numerum sententiarum » numero consequatur; ità porrò verbis aptus et pressus, » ut nescias, utrùm res oratione, an verba sententiis » illustrentur.* »

(18) L'auteur tombe ici dans le défaut qu'Aristote reprochait à Théodore et à ses disciples (l. III, ch. 3) : Ὅπερ ἐποίουν οἱ περὶ Θεόδωρον, διήγησις ἕτερον καὶ ἐπιδιήγησις, καὶ προδιήγησις, etc. Διήγησις signifie *narration*; παραδιήγησις, *narration accessoire*; προδιήγησις, *narration préparatoire*; ὑποδιήγησις, *narration raisonnée* ou *sous-narration*.

(19) Tiré du discours de Démosthène contre Midias. C'est l'endroit où l'orateur fait l'exposition de la conduite de Midias à son égard.

(20) Tiré du discours de Démosthène *sur les Prévarications de l'ambassade.* L'orateur, pour noircir davantage Eschine, met sa conduite envers une femme d'Olynthe en parallèle avec celle d'un histrion appelé Satyrus.

Le passage cité renferme les paroles adressées par Philippe à ce Satyrus. Celui-ci répondit que la seule grâce qu'il demanderait, s'il ne craignait pas un refus, ce serait qu'on laissât entre ses mains la fille d'un certain Apollophane de Pydne, son ancien hôte et ami, qui avait péri victime d'une atroce perfidie. C'est à ce trait touchant que Démosthène compare ce qui se passa dans un autre repas qui eut lieu chez Xénophon, et auquel Eschine assista. « Il amène une femme d'une rare » beauté, dit l'orateur; on la force à boire, à manger, » et même à chanter. Elle refuse, on croit que c'est par » mépris; et aussitôt on appelle un esclave, on la fait » dépouiller de ses vêtemens, et déchirer de coups. »

(21) Tiré du discours de Démosthène contre Timocrate. Androtion, Mélanope, et Glaucétas, envoyés en ambassade dans la Carie, pour se plaindre à Mausole de ce qu'il inquiétait plusieurs îles, rencontrent, durant le trajet, un vaisseau chargé de marchandises égyptiennes, et s'en emparent. Malgré les réclamations des Égyptiens, on déclara, en vertu du décret qui avait été rendu, que le vaisseau était confisqué au profit du trésor public. D'un autre côté, les trois ambassadeurs gardèrent entre leurs mains le produit de la vente des objets qu'ils avaient pris. Euctémon dénonça Archébius et Lysithide (les deux commandans du vaisseau qui avait transporté en Carie les ambassadeurs) comme coupables de retenir une somme qui

appartenait au trésor public. Après de longs débats entre ces deux commandans et les ambassadeurs, ceux-ci furent condamnés, et ils devaient être conduits en prison, s'ils ne payaient l'amende que les lois imposaient à ceux qui se servaient des fonds publics. Ce fut alors que Timocrate proposa la loi suivante : « Un » citoyen condamné à la prison pour une dette envers » l'état pourra conserver sa liberté, en garantissant » lui-même ou en faisant garantir par un autre qu'il » paiera l'amende prescrite ; pourvu toutefois que sa » caution soit agréée. Si, au jour fixé, la dette n'est » point acquittée, il sera mis en prison, et les biens » des répondans seront vendus. » Diodore accusait Timocrate d'avoir fait cette loi en faveur d'Androtion et de ses collègues. Timocrate soutenait le contraire.

(22) Tiré du discours de Démosthène pour la couronne. Il reproche à Eschine d'être l'auteur de la guerre contre les Amphissiens.

(23) Tiré du discours de Démosthène contre Leptines. Les Athéniens avaient coutume d'accorder des droits particuliers à tous ceux qui avaient bien mérité de leur république. Leptines demandait qu'il n'y eût plus à l'avenir de privilége pour personne. De vives réclamations s'élevèrent contre cette proposition. Phormion, Cratippe et beaucoup d'autres citoyens s'y opposèrent avec force. Démosthène leur servit d'interprète.

Ce Leucon, dont il est ici question, régnait non loin du Bosphore. Il avait rendu aux Athéniens d'importans services.

(24) Tiré de la deuxième Olynthienne. Après avoir fait voir aux Athéniens que c'est par la ruse que Philippe s'est agrandi, Démosthène les engage à faire

tous leurs efforts pour détruire la puissance de ce prince, puisque ses impostures sont découvertes.

(25) Il établit ces lieux communs dans le livre 1er., ch. 9.

(26) Voyez, livre II, le chapitre 29 sur la manière d'agrandir ou de diminuer les choses.

(27) Voyez ces lieux communs dans le livre II, aux douze premiers chapitres.

(28) Victorius propose de supprimer la préposition ἐκ. Le sens, pour être clair, ne l'exige pas.

(29) C'est à peu près ainsi que finit le discours de Lysias contre Eratosthène.

(30) « La première et la plus essentielle des qualités » d'un orateur, dit Fénélon (Dial. 1er.), c'est la vertu. » Et Laharpe, en parlant de l'orateur, homme de bien : « Sa voix, au moment où elle s'élève dans le temple » de la justice, est comme un premier jugement. »

(31) « Quand une fois, dit Quintilien (liv. IV, » ch. 2), l'auditeur commence à partager nos senti- » mens, à être porté de haine ou d'amitié, d'indi- » gnation ou de crainte, il fait de notre affaire la » sienne propre, il n'examine plus : le torrent l'en- » traîne, et il se laisse aller. »

(32) Antiphon mourut la seconde année de la 92e. olympiade. Il nous reste encore de lui seize oraisons. « Accusé d'un crime capital, dit Cicéron (*de Claris* » *Orat.*, art. 12), il se défendit, suivant le témoignage » du grave Thucydide, avec une éloquence merveil- » leuse : *Quo neminem unquàm meliùs ullam oravisse* » *capitis causam, cùm se ipse defenderet, etc.* »

(33) C'est ainsi qu'il faut lire, et non ὑπερέβαλλον,

comme l'a cru Langbaine. Cette pensée se trouve dans l'*Art poétique* d'Horace :

Hic meret æra liber Sosiis, hic et mare transit,
Et longum noto *scriptori prorogat* ævum.

Elle est aussi dans Phèdre :

Si Phryx Æsopus potuit, si Anacharsis Scytha,
Æternam famam condere ingenio suo.

(34) Langbaine propose de lire τὸ σὺν ἐκπλήξει. Cette leçon, comme l'a dit Tollius, ne doit pas être suivie ; puisque le passage, tel qu'il est, ne présente pas de difficulté, lorsqu'on place les mots dans leur ordre naturel : « Τὸ θαυμάσιον πάντη κρατεῖ τοῦ πιθανοῦ καὶ τοῦ πρὸς χάριν, κρατεῖ δὲ καὶ σὺν ἐκπλήξει. »

(35) Lefèvre croit qu'on doit lire πάντως. Cette correction, comme l'a dit Boileau, n'est pas nécessaire pour l'intelligence du sens.

(36) On trouve dans certains manuscrits ἐκφαινομένως (voyez *Cod. vat.* 2) pour ἐκφαινομένας, comme le croit Tollius.

(37) Henri de Valois, dans ses notes sur Nicolas de Damas, assure que cet Artémon a vécu après Démétrius de Phalère. C'est même une des raisons qu'il donne pour soutenir que le *Traité de l'Élocution* ne doit pas être attribué à ce dernier, mais à Denys d'Halicarnasse.

(38) Victorius est d'avis qu'on lise οὕτως. Gale, qui explique très-bien ce passage, s'est conformé à cette leçon dans la version latine qu'il en a donnée : « *Si » exilium pati debet*, ità ut *in patriam nunquàm resti- » tuatur, quidni et liceat ad inferos rectà abire ?* » ou

plus littéralement : « *Si autem ad omnes fugas hic abit,* » *ut non reducere liceat, planum est non esse invidendum* » *his, qui apud inferos sunt, redire volentibus.* » (Voy. dans *les Rhéteurs* de Gale, les notes sur Démétrius.) Ces deux sens paraissent assez raisonnables. J'ai suivi ces deux interprétations dans la traduction française que j'ai publiée chez le même libraire.

(39) C'est Criton qui adresse ces paroles à Socrate, dans le dialogue de Platon, intitulé *Euthydème.*

(40) Photius (lettre 207[e].) met Platon avant Aristote. (Voyez les notes de Gale.)

(41) On peut appliquer ce reproche à Épicure. Ce philosophe, dans ses lettres, parlait souvent des matières qu'il avait étudiées avec le plus grand soin. Diogène de Laërce nous en a conservé trois dans ce genre : la première adressée à Hérodote (*de Reb. nat.*), la deuxième à Pythoclès (*de Reb. superis*), et la troisième à Ménécée (*de Reb. bonis ac malis.*) (Voyez Diog. Laër., *Vie d'Épicure*, p. 396 et suiv., édit. d'Henri Etienne.)

(42) Allusion aux machines dont les anciens se servaient pour faire descendre sur la scène les personnages qui représentaient les héros et les dieux.

Sur la manière d'écrire les lettres, consultez la lettre de saint Grégoire de Nazianze à Nicobulus ; elle renferme d'excellentes instructions.

(43) D'autres lisent ἐκ κασσιτέρου. (Voyez *Bourdeloti notæ.*)

(44) Titormus, né en Étolie, avait une force incroyable. C'est lui qui vainquit le fameux athlète Milon. (Voyez Ælien, liv. XXIII.)

(45) Ce Léotrophide, poëte athénien de la tribu de Cécrops, était d'une extrême maigreur. De là le pro-

verbe, plus maigre que Léotrophide; et ce qu'Hermippus, cité dans Athénée (liv. XII, ch. 13), fait dire à Bacchus par un acteur :

> Νῦν οἱ γὰρ πενόμενοι
> Ἀνάπηρά σοι θύουσιν ἤδὲ βοΐδια
> Λεωτροφίδου λεπτότερα καὶ Θυμάντιδος.

Aristophane fait aussi mention de ce Léotrophide dans sa comédie *des Oiseaux* (v. 1405).

(46) « Quelle faute pourrait-on reprocher à Iccus, à » Hérodicus, à Théon, ou à tout autre gymnaste, si, » ayant choisi ce Perdiccas (dans le cas où ce serait » lui, etc.), ils ne s'engageaient pas à lui faire rem» porter le prix aux jeux olympiques, ou à le rendre » semblable à Théagène de l'île de Thase, ou à Poly» damas de Scotuse, mais qu'ils s'engageassent, etc.? » On ne sait pas quel est ce Perdiccas. Au lieu de Ἡρόδικος, Macyllus lit (Voyez *Interp. lat.*) Ἡροδίζης.

(47) Ce πόθεν est très-obscur, comme l'observe le traducteur français. Voici de quelle manière il rend ce passage : « Qu'il sache (l'historien) ce que c'est que l'*aile* » et le *front* d'une armée, les bataillons et les cavaliers, » et quelles sont leurs différentes manœuvres; ce que » c'est que marcher à l'ennemi ou l'envelopper. »

(48) Sur les événemens dont il est ici question, voyez Thucydide (liv. VII, p. 500—503).

(49) Voyez Thucydide (liv. VI et VII).

(50) Il s'agit de l'historien Ctésias. (Voyez Diod. de Sic., liv. VI; Strabon, liv. XIV.) Plutarque l'accuse d'avoir souvent trahi la vérité; mais Henri Étienne le justifie. (Voyez H. Steph., *Disquisitio de Ctesiâ.*)

(51) Les chevaux de Nisée (dans la Parthienne propre) étaient d'une rare beauté et d'une agilité étonnante. (Voyez Strab., liv. XII; Oppien, liv. I, v. 310; et Pline, liv. VI, ch. 25.)

(52) Thucydide n'ayant pu secourir la ville d'Amphipolis, assiégée par les Lacédémoniens, fut condamné à l'exil. Il consacra le temps de sa disgrâce, qui dura vingt ans, à composer des mémoires et à rassembler tous les matériaux de son histoire. (Voyez Cic. *de Orat.*, liv. II, art. 4.)

(53) Amiral de la flotte d'Alexandre; il composa l'histoire de ce prince. Strabon (liv. XIV) lui reproche d'avoir surpassé toutes les merveilles qu'on avait écrites sur ce conquérant. Diogène de Laërte (p. 229, édit. d'Étienne), dit en parlant d'Onésicrite et de Xénophon : « Ὁ μὲν ἐγκώμιον Κύρου, ὁ δὲ, Ἀλεξάνδρου πεποίηκε. »

(54) « Il faut, dit Cicéron (*de Orat.*, liv. II), que » l'historien soit affranchi de toute crainte; qu'il sache » parler librement, et qu'il soit l'ami de la vérité. »

(55) Lucien ne cite pas Thucydide exactement. Voici le passage tel qu'il est dans l'historien : « Ὅσοι δὲ βου- » λήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελ- » λόντων ποτὲ αὖθις, κατὰ τὸ ἀνθρώπειον, τοιούτων [ὄντων] » καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ, ἀρκούντως » ἕξει. Κτῆμά τε ἐς ἀεὶ, μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα » ἀκούειν, ξύγκειται. »

(56) Ce passage est altéré, et, par suite, obscur et embarrassé. Il n'a été éclairci ni par le scoliaste ni par le traducteur français. La version latine présente un sens assez plausible : « *Quantùm verò ad linguam, et* » *eloquendi facultatem* attinet, *vehementi quidem illâ* » *atque asperâ, et periodis continuâ et argumentis con-*

» *tortâ, cæterâque vi oratoriâ, non admodùm acutus et* » *inhorrescens, sed placidè magis affectus, ad scriben-* » *dum accedat.* » (*Luciani Opp.*, tom. II, p. 56. édit d'Amsterdam.)

(57) *Fierté* ou *faste porté à l'excès*, formé de ἵππος, augmentatif dans la composition, et τύφος.

(58) C'est par une métaphore du même goût que Boileau a dit :

« Le chagrin monte en croupe et galope avec lui. »

(59) D'autres lisent συνακτέον.

(60) Plutarque parle de ce serment dans son traité (*de Gloriâ Atheniensium*), et Quintilien regarde ce morceau comme l'un de ceux où la vivacité et l'élévation d'âme de Démosthène éclatent avec le plus de force.

(61) Poëte comique d'Athènes, dont les ouvrages ne sont point parvenus jusqu'à nous.

(62) L'auteur, après avoir rapporté une ancienne fable concernant un villageois qui désirait avoir de beaux enfans, ajoute : « De même qu'il crut que le plus sûr » moyen, pour arriver à l'accomplissement de ses vœux, » était d'accoutumer sa femme à avoir sans cesse sous » les yeux des images d'une rare beauté; de même, » pour acquérir la véritable éloquence, rien ne doit » nous paraître plus efficace que d'avoir nos regards » toujours attachés sur les grands orateurs, etc. »

(63) « Je ne suis plus maître de mon admiration, dit » Anacharsis (Voyez Barthélemy), quand je vois ce » génie altier planer, pour ainsi dire, sur l'univers, » lançant de toutes parts ses regards embrasés, etc... » *sondant les replis du cœur humain;* et bientôt, riche » de ses découvertes, ivre des beautés de la nature, et

» ne pouvant plus supporter l'ardeur qui le dévore, la » répandre avec profusion dans ses tableaux et dans ses » expressions... » Et Delille :

« Que tu m'offres du cœur des peintures savantes ! »
(*Imagination*, ch. IV.)

(64) « Les vers d'Hésiode sont remarquables par la » plus molle douceur », dit Velléïus Paterculus (liv. I).

(65) Quintilien (liv. X) loue la force et la gravité de ce poëte ; mais il lui reproche de manquer de pathétique, de grâce, d'ordre et d'art.

(66) On sait avec quel enthousiasme Horace (liv. IV, od. 1re.) décrit l'élévation et l'abondance du style de Pindare, la grandeur de ses images, la noblesse de ses sentences, et ce souffle vigoureux qui soutient toujours le cygne de Thèbes, lorsque dans son vol hardi, il s'élève dans les nues :

« *Multa Dircæum levat aura Cycnum, etc.* »

(67) « Son style, plein de douceur, est simple, har- » monieux, admirable pour le choix et l'arrangement » des mots. » (Barthélemy.)

(68) « Personne, dit encore Barthélemy, n'a peint » avec plus de vérité les situations et les infortunes » qui excitent la pitié. »

(69) « Stésichore, soit dans les actions, soit dans » les discours, conserve à chaque personnage la di- » gnité qui lui convient » (Quintilien, liv. X.)

(70) Aussi, comme le remarque Barthélemy, il règne dans quelques-uns de ses ouvrages une obscurité qui provient non-seulement de son extrême précision

et de la hardiesse des figures, mais encore *des termes nouveaux dont il affecte d'enrichir la langue.*

(71) « Jusque dans les peintures les plus violentes, » il s'assortit heureusement avec la dignité des person- » nages. » (Barthélemy)

(72) Au lieu d'ἤρεσεν que donnent les anciennes éditions et les manuscrits, on peut lire avec Sylburg ἥρμοσεν, de ἁρμόζειν, adapter, accommoder.

(73) C'est ce juste tempérament entre la bassesse et l'élévation, qui rend, dit Barthélemy, le style enchanteur d'Euripide, harmonieux, coulant et si flexible, qu'il semble se prêter sans effort à tous les besoins de l'âme.

(74) Sainte-Croix porte le même jugement sur ces deux historiens. (Voyez *Examen crit. des Hist. d'Alexandre.*)

(75) Ce reproche regarde principalement la *Cyropédie*, dans laquelle Xénophon s'est plu à donner des leçons de philosophie aux dépens de la vérité et des convenances. (Sainte-Croix, *ibidem.*)

(76) Cicéron dit la même chose, *de Orat.*, liv. II, art. 13.

(77) Gendre, ministre, et parasite de Denys l'ancien. Il donna des prétextes honnêtes et des motifs louables aux actions les plus injustes; il chercha à justifier les mœurs dépravées, et parut aussi partisan de la tyrannie que des tyrans mêmes. (Sainte-Croix, *ibidem.*)

(78) L'auteur, dans sa réponse à Pompée, expose en détail (art. 12, 13 et 14) les raisons qui servent de fondement au reproche qu'il fait ici à Thucydide.

(79) Par ἀγῶνας, il faut entendre les débats judiciaires. Cicéron (*Orat.*, art. 9) remarque aussi que le genre de Thucydide n'est pas propre à l'éloquence du barreau.

(80) La continuation de l'histoire de Thucydide et de l'histoire de Philippe.

(81) Hudson pense que la leçon suivante, adoptée par Sylburg, est la véritable · « Διήμαρτε δὲ καὶ ἐν τοῖς » πραγματικοῖς (ou ἐν τῷ πραγματικῷ τύπῳ) καὶ μάλιστα κατὰ » τὰς τῶν παρεκβάσεων ἐπεισαγωγάς. »

(82) Sainte-Croix remarque, après Cicéron, que le premier historien qui répandit beaucoup d'anecdotes dans ses écrits, c'est Théopompe. (*Examen crit. des Hist. d'Alexandre.*)

(83) « Si nous trouvons de l'atticisme dans Lysias, » dit Cicéron (*Orat.*, art. 9), ce n'est pas que son » style soit faible; mais plutôt, parce que chez lui on » ne voit rien d'extraordinaire, rien de ridicule. »

(84) Selon Cicéron, Isocrate est le fondateur du nombre oratoire chez les Grecs. Fénélon lui reproche d'avoir porté beaucoup trop loin ce genre d'harmonie, et de ne présenter souvent que des périodes faites avec un travail infini pour amuser l'oreille. (Dial. 1er. *sur l'Éloq.*)

(85) David Heschelius pense qu'on peut mettre à la place du mot qui manque τάξεως. Sylburg supplée εἰρωνείας.

(86) D'autres lisent αἱρουμένην.

(87) Dacier observe que Boileau n'a pas saisi le sens du passage. La traduction qu'il propose lui-même paraît préférable : « Semblable, dit-il, à un athlète que l'on » appelle *Pentathle*, qui véritablement est vaincu par » tous les autres athlètes dans tous les combats qu'il » entreprend, mais qui est au-dessus de tous ceux qui » s'attachent comme lui à cinq sortes d'exercices. »

Dacier entre ensuite dans des détails, pour déve-

lopper la pensée de Longin. Tollius l'explique également; et sa remarque, quoique bien plus concise, est tout aussi claire. « Longin, dit-il, compare Démosthène à un *athlète* qui se mêle seulement d'une » sorte d'exercice et qui y excelle; et Hypéride à un » *pentathle* qui surpasse bien tous ceux qui sont de » son métier, mais doit céder le prix à l'autre, qui, » dans le sien, est le maître. »

(88) Boileau rend ainsi ce passage : « Il se détourne, » il reprend haleine, quand il veut, etc. » J'aimerais mieux traduire avec Tollius : « Il se remet en chemin, » quand il le trouve à propos, comme il fait voir dans » cette description de Latone, qui a toutes les beautés » de la poésie. »

(89) Dacier a raison de dire que Boileau, en traduisant, *on y voit, pour ainsi dire, un orateur toujours à jeun*, n'a pas bien rendu la pensée de Longin. Il valait mieux peut-être dire : *on y voit un orateur toujours sur ses gardes*, ou bien, *toujours sobre et circonspect*, par opposition avec cette espèce de délire qui enfante l'enthousiasme des orateurs sublimes.

(90) Tollius prétend que c'est le parallèle de Démosthène et de Platon. Cependant ce qui suit, εἰ καὶ ἡμῖν ὡς Ἕλλησιν, etc., semble indiquer qu'il va s'occuper d'un écrivain étranger.

(91) Boileau traduit : *Quand on veut répandre une rosée agréable dans les esprits*. La note de Dacier sur cette version est parfaitement juste. Καταντλῆσαι est opposé à ἐκπλῆξαι. Le sublime concis est pour frapper; cette heureuse abondance, pour guérir les coups que le sublime a portés.

POÉSIE.

POÉSIE ÉPIQUE.

Invocation.—Discours de Chrysès

Μῆνιν ἄειδε, Θεὰ, Πηληϊάδεω Ἀχιλῆος
Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,
Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν
Ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν
Οἰωνοῖσί τε πᾶσι· Διός δ' ἐτελείετο βουλή,
Ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρείδης τε, ἄναξ ἀνδρῶν, καὶ δῖος Ἀχιλλεύς.
Τίς τ' ἄρ σφῶε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός· ὁ γὰρ, βασιλῆϊ χολωθεὶς,
Νοῦσον ἀνὰ στρατὸν ὦρσε κακὴν, ὀλέκοντο δὲ λαοὶ,
Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα
Ἀτρείδης. Ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν,
Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα,
Στέμμα τ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος,
Χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας Ἀχαιοὺς,
Ἀτρείδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν.
« Ἀτρεῖδαί τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
Ὑμῖν μὲν θεοὶ δοῖεν ὀλύμπια δώματ' ἔχοντες,
Ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ' οἴκαδ' ἱκέσθαι·
Παῖδα δέ μοι λῦσαί τε φίλην, τὰ δ' ἄποινα δέχεσθαι,
Ἁζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα. »

Iliad I, v. 1—21.

Discours d'Achille à Agamemnon.

ARGUMENT.

alchas a déclaré que la contagion dont Apollon afflige l'armée ne cessera que lorsque Agamemnon aura rendu Chryséis à son père. Le fils d'Atrée se soumet à la volonté du Dieu; mais il éclate en menaces contre Achille, et jure d'aller dans sa tente enlever Briséis, ou de ravir à d'autres héros le prix de leur courage. A ces mots, Achille ne peut plus comprimer son indignation; il lance à Agamemnon des regards courroucés, et lui adresse ces sanglans reproches.

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
« Ὤμοι! ἀναιδείην ἐπιειμένε (1), κερδαλεόφρον,
Πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν,
Ἢ ὁδὸν ἐλθέμεναι (2), ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
Οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον αἰχμητάων
Δεῦρο μαχησόμενος· ἐπεὶ οὔτι μοι αἴτιοι εἰσιν.
Οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους·
Οὐδὲ ποτ' ἐν Φθίῃ ἐριβώλακι, βωτιανείρῃ
Καρπὸν ἐδηλήσαντ'· ἐπειὴ μάλα πολλὰ μεταξὺ
Οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα.
Ἀλλὰ σοὶ, ὦ μέγ' ἀναιδὲς, ἅμ' ἑσπόμεθ', ὄφρα σὺ χαίρῃς,
Τιμὴν ἀρνύμενοι Μενελάῳ, σοί τε, κυνῶπα,
Πρὸς Τρώων· τῶν οὔτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.
Καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
Ὧι ἔπι πόλλ' ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
Οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ' Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ' εὐναιόμενον πτολίεθρον.
Ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
Χεῖρες ἐμαὶ διέπουσ'· ἀτὰρ, ἤν ποτε δασμὸς ἵκηται,
Σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ' ὀλίγον τε, φίλον τε

Ἔρχομ' ἔχων ἐπὶ νῆας, ἐπὴν κεκάμω πολεμίζων.
Νῦν δ' εἶμι Φθίηνδ', ἐπειὴ πολὺ φέρτερόν ἐστιν,
Οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ' ὀΐω,
Ἐνθάδ', ἄτιμος ἐὼν, ἄφενος καὶ πλοῦτον ἀφύξειν. »

Ib. I, v. 149—171.

Réponse d'Agamemnon à Achille.

« Φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται· οὐδέ σ' ἔγωγε
Λίσσομαι εἵνεκ' ἐμεῖο μένειν· παρ' ἔμοιγε καὶ ἄλλοι,
Οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.
Ἔχθιστος δέ μοι ἐσσὶ διοτρεφέων βασιλήων·
Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε.
Εἰ μάλα καρτερός ἐσσι, θεός που σοι τόγ' ἔδωκεν.
Οἴκαδ' ἰὼν σὺν νηυσί τε σῇς καὶ σοῖς ἑτάροισι,
Μυρμιδόνεσσιν ἄνασσε· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω,
Οὐδ' ὄθομαι κοτέοντος. Ἀπειλήσω δέ τοι ὧδε·
Ὡς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων,
Τὴν μὲν ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισι
Πέμψω, ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον,
Αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας, ὄφρ' εὖ εἰδῇς
Ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος
Ἶσον ἐμοὶ φάσθαι, καὶ ὁμοιωθήμεναι ἄντην. »

Ib. I, v. 173—187.

Entrevue d'Andromaque et d'Hector.

ARGUMENT.

Hector, suivant les conseils d'Hélénus, court à Ilion engager les dames troyennes à faire à Pallas une offrande solennelle pour l'apaiser. Bientôt il s'apprête à retourner au milieu des Troyens; mais il voudrait auparavant embrasser sa chère Andromaque. Il la cherche en vain dans le palais; et perdant l'espérance de la revoir, il se dirige vers le lieu du combat. Arrivé à la porte de Scée, il aperçoit son épouse qui venait au-devant de lui, tenant Astyanax entre ses bras.

La description de cette entrevue peut être regardée comme un modèle de pathétique.

Εὖτε πύλας ἵκανε, διερχόμενος μέγα ἄστυ,
Σκαιάς (τῇ γὰρ ἔμελλε διεξίμεναι πεδίονδε),
Ἔνθ' ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος·
Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ (3),
Θήβῃ ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσιν ἀνάσσων·
Τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι χαλκοκορυστῇ·
Ἥ οἱ ἔπειτ' ἤντησ', ἅμα δ' ἀμφίπολος κίεν αὐτῇ,
Παῖδ' ἐπὶ κόλπῳ ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως,
Ἑκτορίδην ἀγαπητὸν, ἀλίγκιον ἀστέρι καλῷ.
Τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτ'· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.
Ἤτοι ὁ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δακρυχέουσα,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
« Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ' ἐλεαίρεις
Παῖδά τε νηπίαχον, καὶ ἔμ' ἄμμορον, ἣ τάχα χήρη
Σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ,

Πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη,
Σεῦ ἀφαμαρτούσῃ, χθόνα δύμεναι· οὐ γὰρ ἔτ' ἄλλη
Ἔσται θαλπωρὴ, ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς,
Ἀλλ' ἄχε'· οὐδέ μοι ἐστὶ πατὴρ καὶ πότνια μήτηρ.
Ἤτοι γὰρ πατέρ' ἀμὸν ἀπέκτανε δῖος Ἀχιλλεὺς,
Ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὐναιετάωσαν,
Θήβην ὑψίπυλον· κατὰ δ' ἔκτανεν Ἠετίωνα,
Οὐδέ μιν ἐξενάριξε (σεβάσσατο γὰρ τόγε θυμῷ),
Ἀλλ' ἄρα μιν κατέκηε (4) σὺν ἔντεσι δαιδαλέοισιν,
Ἠδ' ἐπὶ σῆμ' ἔχεεν· περι δὲ πτελέας ἐφύτευσαν
Νύμφαι Ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
Οἵ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν,
Οἱ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω·
Πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς,
Βουσὶν ἐπ' εἰλιπόδεσσι και ἀργεννῇς ὀΐεσσι·
Μητέρα δ', ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Τὴν ἐπεὶ ἄρ' δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσιν,
Ἂψ ὅγε τὴν ἀπέλυσε, λαβὼν ἀπερείσι' ἄποινα·
Πατρὸς δ' ἐν μεγάροισι βάλ' Ἄρτεμις ἰοχέαιρα.
Ἕκτορ, ἀτάρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ,
Ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης.
Ἀλλ' ἄγε νῦν ἐλέαιρε, καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ,
Μὴ παῖδ' ὀρφανικὸν θείῃς χήρην τε γυναῖκα·
Λαὸν δὲ στῆσον παρ' ἐρινεὸν, ἔνθα μάλιστα
Ἀμβατός ἐστι πόλις, καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
Τρὶς γὰρ τῇγ' ἐλθόντες ἐπειρήσανθ' οἱ ἄριστοι
Ἀμφ' Αἴαντε δύω, καὶ ἀγακλυτὸν Ἰδομενῆα,
Ἠδ' ἀμφ' Ἀτρείδας, καὶ Τυδέος ἄλκιμον υἱόν (5)·
Ἤ πού τίς σφιν ἔνισπε θεοπροπίων εὖ εἰδὼς,
Ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει. »
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
« Ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς

Αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
Αἴ κε, κακὸς ὣς, νόσφιν ἀλυσκάζω πολέμοιο·
Οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
Αἰεὶ, καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι,
Ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.
Εὖ μὲν γὰρ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
Ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
Ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
Οὔτ' αὐτῆς Ἑκάβης, οὔτε Πριάμοιο ἄνακτος,
Οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
Ἐν κονίῃσι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,
Ὅσσον σεῖ', ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
Δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀπούρας·
Καί κεν ἐν Ἄργει ἐοῦσα, πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
Καί κεν ὕδωρ φορέοις Μεσσηΐδος (6) ἢ Ὑπερείης,
Πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη,
Καί ποτέ τις εἴπῃσιν, ἰδὼν κατὰ δάκρυ χέουσαν·
« Ἕκτορος ἥδε γυνὴ, ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο. »
Ὥς ποτέ τις ἐρέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος,
Χήτει τοιοῦδ' ἀνδρὸς ἀμύνειν δούλιον ἦμαρ (7).
Ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
Πρίν γέ τι σῆς τε βοῆς, σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι! »
Ὣς εἰπὼν, οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ.
Ἂψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
Ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθεὶς,
Ταρβήσας χαλκόν τε, ἰδὲ λόφον ἱππιοχαίτην,
Δεινὸν ἀπ' ἀκροτάτης κόρυθος νεύοντα νοήσας·
Ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ.
Αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ,
Καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν.

Αὐτὰρ ὅγ', ὃν φίλον υἱὸν ἐπεὶ κῦσε πῆλέ τε χερσὶν,
Εἶπεν, ἐπευξάμενος Διΐ τ' ἄλλοισίν τε θεοῖσι·
« Ζεῦ, ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι
Παῖδ' ἐμὸν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
Ὧδε βίην τε ἀγαθὸν καὶ Ἰλίου ἶφι ἀνάσσειν.
Καί ποτέ τις εἴπησι « πατρὸς δ' ὅγε πολλὸν ἀμείνων »
Ἐκ πολέμου ἀνιόντα· φέροι δ' ἔναρα βροτόεντα,
Κτείνας δήϊον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ. »
Ὣς εἰπὼν, ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
Παῖδ' ἑόν· ἣ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ,
Δακρυόεν γελάσασα (8)· πόσις δ' ἐλέησε νοήσας,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
« Δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
Οὐ γάρ τις μ' ὑπὲρ αἶσαν ἀνὴρ ἄϊδι προϊάψει.
Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
Οὐ κακὸν, οὐδέ μεν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.
Ἀλλ', εἰς οἶκον ἰοῦσα, τὰ σαυτῆς ἔργα κόμιζε,
Ἱστόν τ', ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ἔργον ἐποίχεσθαι· πόλεμος δ' ἄνδρεσσι μελήσει
Πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ Ἰλίῳ ἐγγεγάασιν. »
Ὣς ἄρα φωνήσας, κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ
Ἵππουριν. Ἄλοχος δὲ φίλη οἶκον δὲ βεβήκει,
Ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
Αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὐναιετάοντας
Ἕκτορος ἀνδροφόνοιο· κιχήσατο δ' ἔνδοθι πολλὰς
Ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν.
Αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
Οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
Ἵξεσθαι, προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.

Il. VI. v. 392—502.

3.

Discours d'Achille à Ulysse.

ARGUMENT.

D'après l'avis du sage Nestor, on envoie des députés à Achille pour le fléchir. Ulysse, Ajax et Phénix, désignés pour cette ambassade, se rendent aussitôt à la tente du héros, qui les accueille avec tous les témoignages de l'amitié. Ulysse présente à Achille les vœux de la Gréce, et lui fait, au nom d'Agamemnon, les plus grandes promesses. Achille reste inexorable, et répond en ces termes :

« Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
Ἧπερ δὴ φρονέω τε, καὶ ὡς τετελεσμένον ἔσται,
Ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ.
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα·
Οὔτ' ἐμέ γ' Ἀτρεΐδην Ἀγαμέμνονα πεισέμεν οἴω,
Οὔτ' ἄλλους Δαναοὺς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν,
Μάρνασθαι δηΐοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί·
Ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
Ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός.
Κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ, ὅ τε πολλὰ ἐοργώς.
Οὐδέ τι μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ,
Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
Ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
Μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ·
Ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
Ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
Ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,

Πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον.
Τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
Ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρείδῃ· ὁ δ', ὄπισθε μένων παρὰ νηυσὶ θοῇσι,
Δεξάμενος, διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν.
Ἄλλα δ' ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσι.
Τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
Εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα· τῇ παριαύων
Τερπέσθω· τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
Ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεῖδαι; ἐπεὶ, ὅστις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων,
Τὴν αὐτοῦ φιλέει καὶ κήδεται· ὡς καὶ ἐγὼ τὴν
Ἐκ θυμοῦ φίλεον, δουρικτήτην περ ἐοῦσαν.
Νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο, καί μ' ἀπάτησε,
Μή μευ πειράτω, εὖ εἰδότος, οὐδέ με πείσει·
Ἀλλ', Ὀδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσι
Φραζέσθω, νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
Ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
Καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ
Εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν.
Ἀλλ' οὐδ' ὣς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
Ἴσχειν· ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσιν πολέμιζον,
Οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ,
Ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν·
Ἔνθά ποτ' οἶον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν.
Νῦν δ', ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν Ἕκτορι δίῳ,
Αὔριον, ἱρὰ Διῒ ῥέξας καὶ πᾶσι θεοῖσι,
Νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
Ὄψεαι, ἢν ἐθέλησθα, καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
Ἦρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας

Νῆας ἐμὰς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·
Εἰ δέ κεν εὐπλοΐην δώῃ κλυτὸς Ἐννοσίγαιος,
Ἤματί κε τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
Ἔστι δέ μοι μάλα πολλὰ, τὰ κάλλιπον, ἐνθάδε ἔῤῥων.
Ἄλλον δ' ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρὸν,
Ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον
Ἄξομαι, ἅσσ' ἔλαχόν γε· γέρας δέ μοι, ὅσπερ ἔδωκεν,
Αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης· τῷ πάντ' ἀγορευέμεν, ὡς ἐπιτέλλω,
Ἀμφαδὸν, ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοὶ,
Εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν,
Αἰὲν ἀναιδείην ἐπιειμένος· οὐδ' ἂν ἔμοιγε
Τετλαίη, κύνεός περ ἐὼν, εἰς ὦπα ἰδέσθαι·
Οὐδέ τί οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον.
Ἐκ γὰρ δή μ' ἀπάτησε, καὶ ἤλιτεν· οὐδ' ἂν ἔτ' αὖτις
Ἐξαπάφοιτ' ἐπέεσσιν· ἅλις δέ οἱ· ἀλλὰ ἕκηλος
Ἐῤῥέτω· ἐκ γάρ εὑ φρένας εἵλετο μητίετα Ζεύς.
Ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσῃ·
Οὐδ' εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη,
Ὅσσα τέ οἱ νῦν ἐστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
Οὐδ' ὅσ' ἐς Ὀρχομενὸν ποτινίσσεται, οὐδ' ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
Αἵ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην
Ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν·
Οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε,
Οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει Ἀγαμέμνων,
Πρίν γ' ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
Κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,
Οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
Ἔργα δ' Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι,
Οὐδέ μιν ὣς γαμέω· ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω,
Ὅστις οἷ τ' ἐπέοικε, καὶ ὃς βασιλεύτερός ἐστιν (9).

Ἢν γάρ δή με σόωσι θεοὶ, καὶ οἴκαδ' ἵκωμαι,
Πηλεύς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.
Πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν' Ἑλλάδα τε Φθίην τε,
Κοῦραι ἀριστήων, οἵτε πτολίεθρα ῥύονται·
Τάων, ἥν κ' ἐθέλοιμι, φίλην ποιήσομ' ἄκοιτιν.
Ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ,
Γήμαντι μνηστὴν ἄλοχον, εἰκυῖαν ἄκοιτιν,
Κτήμασι τέρπεσθαι, τὰ γέρων ἐκτήσατο Πηλεύς.
Οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον, οὐδ' ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι, εὐναιόμενον πτολίεθρον,
Τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν
Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσῃ.
Ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
Κτητοὶ δὲ τρίποδές τε, καὶ ἵππων ξανθὰ κάρηνα·
Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε ληϊστὴ,
Οὔθ' ἑλετὴ, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
Μήτηρ γάρ τέ μέ φησι θεὰ, Θέτις ἀργυρόπεζα,
Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε.
Εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφὶ μάχωμαι,
Ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
Εἰ δέ κεν οἴκαδ' ἵκωμαι ἐμὴν ἐς πατρίδα γαῖαν,
Ὤλετό μοι κλέος ἐσθλὸν, ἐπὶ δηρόν δέ μοι αἰὼν
Ἔσσεται, οὐδέ κε μ' ὦκα τέλος θανάτοιο κιχείη.
Καὶ δ' ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην,
Οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἕθεν εὐρύοπα Ζεὺς
Χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
Ἀλλ' ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
Ἀγγελίην ἀπόφασθε (τὸ γὰρ γέρας ἐστὶ γερόντων),
Ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
Ἥ κέ σφιν νῆάς τε σόῃ καὶ λαὸν Ἀχαιῶν

Νηυσὶν ἐπὶ γλαφυρῇς· ἐπεὶ οὔ σφίσιν ἥδε γ' ἑτοίμη,
Ἣν νῦν ἐφράσσαντο, ἐμεῦ ἀπομηνίσαντος.
Φοῖνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω,
Ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
Αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔτι μιν ἄξω. »

Ib. IX. v. 308—429.

Andromaque aperçoit Hector traîné par les coursiers d'Achille.

ARGUMENT.

Achille, après avoir donné le coup mortel à Hector, attacha à son char le cadavre de ce héros, et le traîna autour des remparts d'Ilion. Témoins de ce douloureux spectacle, Priam et Hécube font retentir les airs de leurs gémissemens. Andromaque entend ces cris plaintifs, pendant qu'au fond de son palais elle ignore encore le sort de son époux. Un sinistre présage jette l'effroi dans son cœur : elle s'élance au haut de la tour, d'où elle aperçoit son cher Hector traîné par des coursiers.

Il est peu de morceaux où la douleur parle un langage aussi vrai et aussi éloquent.

. . . . Ἄλοχος δ' οὔπω τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
Ἤγγειλ' ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων·
Ἀλλ' ἥγ' ἱστὸν ὕφαινε, μυχῷ δόμου ὑψηλοῖο,
Δίπλακα μαρμαρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε.
Κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοστήσαντι,
Νηπίη· οὐδ' ἐνόησεν, ὅ μιν μάλα τῆλε λοετρῶν
Χερσὶν Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη.
Κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου,

Τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς·
Ἡ δ' αὖτις δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα·
« Δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ', ὅτιν' ἔργα τέτυκται.
Αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον· ἐν δέ μοι αὐτῇ
Στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
Πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
Αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος! ἀλλὰ μάλ' αἰνῶς
Δείδω, μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς,
Μοῦνον ἀποτμήξας πόλιος, πεδίονδε δίηται,
Καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
Ἥ μιν ἔχεσκ'· ἐπεὶ οὔποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
Ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων. »
Ὣς φαμένη, μεγάροιο διέσσυτο, μαινάδι ἴση,
Παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
Αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον,
Ἔστη παπτήνασ' ἐπὶ τείχεϊ· τὸν δ' ἐνόησεν
Ἑλκόμενον πρόσθεν πόλιος, ταχέες δέ μιν ἵπποι
Ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν·
Ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε.
Τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
Ἄμπυκα, κεκρύφαλόν τ', ἠδὲ πλεκτὴν ἀναδέσμην,
Κρήδεμνόν θ', ὅ ῥά οἱ δῶκε χρυσὴ Ἀφροδίτη,
Ἤματι τῷ, ὅτε μιν κορυθαίολος ἠγάγεθ' Ἕκτωρ
Ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
Ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔσταν,
Αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
Ἡ δ' ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Ἀμβλήδην γοόωσα μετὰ Τρῳῇσιν ἔειπεν.

Ib. XXII. v. 437—476.

Neptune excite une tempête contre Ulysse.

ARGUMENT.

Ulysse, d'après l'ordre donné à Calypso par Jupiter, s'éloigne d'auprès de cette nymphe. Pendant dix sept jours il vogue heureusement sur les ondes; mais le dix-huitième jour son bâtiment est brisé par une horrible tempête que Neptune a excitée contre lui.

Ἑπτὰ δὲ καὶ δέκα μὲν πλέεν ἤματα ποντοπορεύων,
Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
Γαίης Φαιήκων, ὅθι τ' ἄγχιστον πέλεν αὐτῷ·
Εἴσατο δ', ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ πόντῳ.
Τὸν δ' ἐξ Αἰθιόπων ἀνιὼν κρείων Ἐνοσίχθων,
Τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ
Πόντον ἐπιπλείων· ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον·
Κινήσας δὲ κάρη, προτὶ ὃν μυθήσατο θυμόν·
« Ὢ πόποι! ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλοι
Ἀμφ' Ὀδυσσῆϊ, ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος·
Καὶ δὴ Φαιήκων γαίης σχεδὸν, ἔνθά οἱ αἶσα
Ἐκφυγέειν μέγα πεῖρας ὀϊζύος, ἥ μιν ἱκάνει.
Ἀλλ' ἔτι μέν μιν φημὶ ἄδην ἐλάαν κακότητος. »
Ὣς εἰπὼν, σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον
Χερσὶ τρίαιναν ἑλών, πάσας δ' ὀρόθυνεν ἀέλλας
Παντοίων ἀνέμων, σὺν δὲ νεφέεσσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαὴς
Καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
« Ὤμοι ἐγὼ δειλός! τί νυ μοι μήκιστα γένηται;
Δείδω μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
Ἥ μ' ἔφατ' ἐν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,

Ἄλγε' ἀναπλήσειν· τάδε δὴ νῦν πάντα τελεῖται.
Οἵοισιν νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν
Ζεύς, ἐτάραξε δὲ πόντον! ἐπισπέρχουσι δ' ἄελλαι
Παντοίων ἀνέμων· νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, χάριν Ἀτρείδῃσι φέροντες!
Ὡς δὴ ἔγωγ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν,
Ἤματι τῷ, ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέῤῥιψαν περὶ Πηλείωνι θανόντι·
Τῷ κ' ἔλαχον κτερέων, καί μευ κλέος ἦγον Ἀχαιοί·
Νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι. »
Ὣς ἄρα μιν εἰπόντ' ἔλασεν μέγα κῦμα κατ' ἄκρης,
Δεινὸν ἐπεσσύμενον, περὶ δὲ σχεδίην ἐλέλιξε.
Τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
Ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἱστὸν ἔαξε
Δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα.
Τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ.
Τὸν δ' ἄρ' ὑπόβρυχα θῆκε πολὺν χρόνον· οὐδὲ δυνάσθη
Αἶψα μάλ' ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ὁρμῆς·
Εἵματα γάρ ῥ' ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Ὀψὲ δὲ δή ῥ' ἀνέδυ, στόματος δ' ἐξέπτυσεν ἅλμην
Πικρήν, ἥ οἱ πολλὴ ἀπὸ κρατὸς κελάρυζεν.
Ἀλλ' οὐδ' ὣς σχεδίης ἐπελήθετο, τειρόμενός περ·
Ἀλλὰ μεθορμηθεὶς ἐν κύμασιν, ἐλλάβετ' αὐτῆς·
Ἐν μέσσῃ δὲ κάθιζε, τέλος θανάτου ἀλεείνων.
Τὴν δ' ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα.
Ὣς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας
Ἂμ πεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται·
Ὣς τὴν ἂμ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα.
Ἄλλοτε μέν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
Ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
Τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ καλλίσφυρος Ἰνώ,

Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
Νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξέμμορε τιμῆς·
Ἥ ῥ' Ὀδυσῆ' ἐλέησεν ἀλώμενον, ἄλγε' ἔχοντα·
Αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης (10),
Ἷζε δ' ἐπὶ σχεδίης πολυδέσμου, εἶπέ τε μῦθον·
« Κάμμορε, τίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
Ὠδύσατ' ἐκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει;
Οὐ μὲν δή σε καταφθίσει, μάλα περ μενεαίνων.
Ἀλλὰ μάλ' ὧδ' ἔρξαι (δοκέεις δέ μοι οὐκ ἀπινύσσειν),
Εἵματα ταῦτ' ἀποδὺς, σχεδίην ἀνέμοισι φέρεσθαι
Κάλλιπ'· ἀτὰρ χείρεσσι νέων, ἐπιμαίεο νόστου
Γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
Τῆ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσαι
Ἄμβροτον· οὐδέν τοι παθέειν δέος, οὐδ' ἀπολέσθαι.
Αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
Ἂψ ἀποδυσάμενος βαλέειν εἰς οἴνοπα πόντον,
Πολλὸν ἀπ' ἠπείρου, αὐτὸς δ' ἀπὸ νόσφι τραπέσθαι. »
Ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
Αὐτὴ δ' ἂψ ἐς πόντον ἐδύσατο κυμαίνοντα,
Αἰθυίῃ εἰκυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
Αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεὺς,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
« Ὤμοι ἐγώ! μή τις μοι ὑφαίνῃσιν δόλον ἄλλον
Ἀθανάτων, ὅτε με σχεδίης ἀποβῆναι ἀνώγει.
Ἀλλὰ μάλ' οὔπω πείσομ'· ἐπεὶ ἑκὰς ὀφθαλμοῖσι
Γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοι φάτο φύξιμον εἶναι·
Ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέει δέ μοι εἶναι ἄριστον·
Ὄφρ' ἂν μέν κεν δούρατ' ἐν ἁρμονίῃσιν ἀρήρῃ,
Τόφρ' αὐτοῦ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων·
Αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα τινάξῃ,
Νήξομ'· ἐπεὶ οὐ μέν τοι πάρα προνοῆσαι ἄμεινον. »
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν.

Ὦρσε δ' ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
Δεινόν τ' ἀργαλέον τε, κατηρεφές, ἤλασε δ' αὐτόν.
Ὡς δ' ἄνεμος ζαὴς ἠίων θημῶνα τινάξει
Καρφαλέων, τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλη·
Ὣς τῆς δούρατα μακρὰ διεσκέδασ'· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφ' ἑνὶ δούρατι βαῖνε, κέληθ' ὡς ἵππον ἐλαύνων,
Εἵματα δ' ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Αὐτίκα δὲ κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσεν·
Αὐτὸς δὲ πρηνὴς ἁλὶ κάππεσε χεῖρε πετάσσας,
Νηχέμεναι μεμαώς· ἴδε δὲ κρείων Ἐνοσίχθων,
Κινήσας δὲ κάρη ποτὶ ὃν μυθήσατο θυμόν.
« Οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
Εἰσόκεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης·
Ἀλλ' οὐδ' ὣς σε ἔολπα (11) ὀνόσσεσθαι κακότητος »

Odyssée v. v. 278—379.

Chant de Démodocus.

Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν,
Οἴμης, τῆς τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε·
Νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος,
Ὥς ποτε δηρίσαντο, θεῶν ἐν δαιτὶ θαλείῃ,
Ἐκπάγλοις ἐπέεσσιν· ἄναξ δ' ἀνδρῶν Ἀγαμέμνων
Χαῖρε νόῳ ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο.
Ὣς γάρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων
Πυθοῖ ἐν ἠγαθέῃ, ὅθ' ὑπέρβη λάϊνον οὐδὸν
Χρησόμενος· τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
Τρωσί τε καὶ Δαναοῖσι, Διὸς μεγάλου διὰ βουλάς.
Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
Πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι,
Κὰκ κεφαλῆς εἴρυσσε, κάλυψε δὲ καλὰ πρόσωπα.

Αἴδετο γὰρ Φαίηκας, ὑπ' ὀφρύσι δάκρυα λείβων.
Ἤτοι ὅτε λήξειεν ἀείδων θεῖος ἀοιδὸς,
Δάκρυ' ὀμορξάμενος, κεφαλῆς ἀπὸ φᾶρος ἕλεσκε,
Καὶ, δέπας ἀμφικύπελλον ἑλὼν, σπείσασκε θεοῖσιν·
Αὐτὰρ ὅτ' ἂψ ἄρχοιτο, καὶ ὀτρύνειαν ἀείδειν
Φαιήκων οἱ ἄριστοι (ἐπεὶ τέρποντ' ἐπέεσσιν),
Ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος γοάασκεν.
Ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων,
Ἀλκίνοος δέ μιν οἶος ἐπεφράσατ' ἠδὲ νόησεν,
Ἥμενος ἄγχ' αὐτοῦ· βαρὺ δὲ στενάχοντος ἄκουσεν·
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα·
« Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης,
Φόρμιγγός θ', ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ·
Νῦν δ' ἐξέλθωμεν, καὶ ἀέθλων πειρηθῶμεν
Πάντων, ὥς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν,
Οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων,
Πύξ τε, παλαισμοσύνῃ τε, καὶ ἅλμασιν, ἠδὲ πόδεσσιν. »
Ib. VIII. v. 71—103.

Pénélope reconnaît Ulysse.

ARGUMENT.

Pénélope refuse d'ajouter foi au récit d'Euryclée, qui vient lui annoncer le retour d'Ulysse : sa défiance est cause de la froideur de sa première entrevue avec son époux. En vain Minerve lui a-t-elle rendu son ancienne beauté et l'éclat de la jeunesse, Pénélope ne le reconnaît pas encore. Mais à peine a-t-il donné sur une couche, ouvrage de ses mains, des détails que lui seul pouvait connaître, qu'elle se jette dans ses bras et lui prodigue des marques du plus sincère attachement et de la plus tendre amitié.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
« Τέκνον ἐμὸν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν·

Οὐδέ τι προσφάσθαι δύναμαι ἔπος, οὐδ' ἐρέεσθαι,
Οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον· εἰ δ' ἐτεὸν δὴ
Ἔστ' Ὀδυσεύς, καὶ οἶκον ἱκάνεται, ἦ μάλα νῶϊ
Γνωσόμεθ' ἀλλήλων καὶ λώϊον· ἔστι γὰρ ἡμῖν
Σήμαθ', ἃ δεῖ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων. »
Ὣς φάτο· μείδησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
« Τηλέμαχ', ἤτοι μητέρ' ἐνὶ μεγάροισιν ἔασον
Πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
Νῦν δ' ὅττι ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἷμαι,
Τοὔνεκ' ἀτιμάζει με, καὶ οὔπω φησὶ τὸν εἶναι.
Ἡμεῖς δὲ φραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται.
Καὶ γάρ τις θ' ἕνα φῶτα κατακτείνας ἐνὶ δήμῳ,
Ὧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,
Φεύγει, πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
Ἡμεῖς δ' ἕρμα πόληος ἀπέκταμεν, οἳ μέγ' ἄριστοι
Κούρων εἰν Ἰθάκῃ· τάδε σε φράζεσθαι ἄνωγα. »
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
« Αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην
Μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, οὐδέ κέ τίς τοι
Ἄλλος ἀνὴρ ἐρίσειε κατὰ θνητῶν ἀνθρώπων.
Ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
Ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι. »
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
« Τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα·
Πρῶτα μὲν ἂρ λούσασθε, καὶ ἀμφιέσασθε χιτῶνας,
Δμωὰς τ' ἐν μεγάροισιν ἀνώγετε εἵμαθ' ἑλέσθαι.
Αὐτὰρ θεῖος ἀοιδός, ἔχων φόρμιγγα λίγειαν,
Ἡμῖν ἡγείσθω φιλοπαίγμονος ὀρχηθμοῖο,
Ὥς κέν τις φαίη γάμον ἔμμεναι, ἐκτὸς ἀκούων,
Ἢ ἂν' ὁδὸν στείχων, ἢ οἳ περιναιετάουσιν·
Μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται

Ἀνδρῶν μνηστήρων, πρίν γ' ἡμέας ἐλθέμεν ἔξω
Ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ' ἔπειτα
Φρασσόμεθ', ὅττι κε κέρδος Ὀλύμπιος ἐγγυαλίξῃ. »
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο
Πρῶτα μὲν οὖν λούσαντο, καὶ ἀμφιέσαντο χιτῶνας·
Ὅπλισθεν δὲ γυναῖκες· ὃ δ' εἵλετο θεῖος ἀοιδὸς
Φόρμιγγα γλαφυρὴν, ἐν δὲ σφισιν ἵμερον ὦρσεν
Μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο.
Τοῖσιν δὲ μέγα δῶμα περιστοναχίζετο ποσσὶν
Ἀνδρῶν παιζόντων, καλλιζώνων τε γυναικῶν.
Ὧδε δέ τις εἴπεσκε, δόμων ἔκτοσθεν ἀκούων·
« Ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν·
Σχετλίη, οὐδ' ἔτλη πόσιος οὗ κουριδίοιο
Εἴρυσθαι μέγα δῶμα διαμπερὲς, ὄφρ' ἂν ἵκοιτο. »
Ὣς ἄρα τις εἴπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
Αὐτὰρ Ὀδυσσῆα μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
Εὐρυνόμη ταμίη λοῦσεν, καὶ χρῖσεν ἐλαίῳ·
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα.
Αὐτὰρ κὰκ κεφαλῆς χεῦεν πολὺ κάλλος Ἀθήνη,
Μείζονά τ' εἰσιδέειν καὶ πάσσονα· κὰδ δὲ κάρητος
Οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.
Ὡς δ' ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
Ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
Τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει·
Ὣς μὲν τῷ περίχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.
Ἐκ δ' ἀσαμίνθου βῆ, δέμας ἀθανάτοισιν ὁμοῖος·
Ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη
Ἀντίον ἧς ἀλόχου, καί μιν πρὸς μῦθον ἔειπε·
« Δαιμονίη, περὶ σοί γε γυναικῶν θηλυτεράων
Κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ' ἔχοντες.
Οὐ μέν κ' ἄλλη ὧδε γυνὴ τετληότι θυμῷ
Ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας

Ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
Λέξομαι· ἦ γὰρ τῇγε σιδήρεος ἐν φρεσὶ θυμός. »
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
« Δαιμόνι', οὔτ' ἄρ τι μεγαλίζομαι, οὐδ' ἀθερίζω,
Οὐδὲ λίην ἄγαμαι· μάλα δ' εὖ οἶδ', οἷος ἔησθα,
Ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
Ἀλλ' ἄγέ οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
Ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ' αὐτὸς ἐποίει.
Ἔνθά οἱ ἐκθεῖσαι πυκινὸν λέχος, ἔμβαλέ τ' εὐνὴν,
Κώεα, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα. »
Ὣς ἄρ' ἔφη, πόσιος πειρωμένη· αὐτὰρ Ὀδυσσεὺς
Ὀχθήσας ἄλοχον προσεφώνεε κέδν' εἰδυῖαν·
« Ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες.
Τίς δέ μοι ἄλλοσε θῆκε λέχος; χαλεπὸν δέ κεν εἴη
Καὶ μάλ' ἐπισταμένῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
Ῥηϊδίως ἐθέλων θείη ἄλλη ἐνὶ χώρῃ.
Ἀνδρῶν δ' οὐκ ἄν τις ζωὸς βροτὸς, οὐδὲ μάλ' ἡβῶν,
Ῥεῖα μετοχλίσσειεν· ἐπεὶ μέγα σῆμα τέτυκται
Ἐν λέχει ἀσκητῷ· τὸ δ' ἐγὼ κάμον, οὐδέ τις ἄλλος.
Θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντὸς,
Ἀκμηνὸς, θαλέθων· πάχετος δ' ἦν, ἠΰτε κίων·
Τῷ δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ' ἐτέλεσσα
Πυκνῇσιν λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα·
Κολλητὰς δ' ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
Καὶ τότ' ἔπειτ' ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης·
Κορμὸν δ' ἐκ ῥίζης προταμὼν, ἀμφέξεσα χαλκῷ
Εὖ καὶ ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνα,
Ἑρμῖν' ἀσκήσας· τέτρηνα δὲ πάντα τερέτρῳ.
Ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ' ἐτέλεσσα,
Δαιδάλλων χρυσῷ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι,
Ἐκ δ' ἐτάνυσσα ἱμάντα βοὸς, φοίνικι φαεινόν.

Οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,
Εἴ μοι ἔτ' ἔμπεδόν ἐστι, γύναι, λέχος, ἦέ τις ἤδη
Ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὕπο πυθμέν' ἐλαίης. »
Ὣς φάτο· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
Σήματ' ἀναγνούσης, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.
Odyss. XXIII. v. 104—206.

Description du bouclier d'Achille.

ARGUMENT.

Thétis, pour consoler Achille de la douleur que lui cause la mort de Patrocle, lui promet d'aller prier Vulcain de fabriquer pour lui de nouvelles armes. Aussitôt elle se rend dans le palais du dieu; et, embrassant ses genoux, elle le conjure de faire pour Achille un bouclier, un casque et une cuirasse. Vulcain se rend aux vœux de Thétis, et jure que le héros recevra bientôt de ses mains des armes qui seront l'étonnement et l'effroi des guerriers. Il rentre dans son atelier, et bientôt sous ses mains s'arrondit un immense bouclier. En voici la description.

Ποίει δὲ πρώτιστα σάκος μέγα τε, στιβαρόν τε,
Πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινὴν,
Τρίπλακα, μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.
Πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ
Ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν (12).
Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
Ἠέλιόν τ' ἀκάμαντα, Σελήνην τε πλήθουσαν,
Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ', Ὑάδας τε, τό τε σθένος Ὠρίωνος,
Ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
Ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει·
Οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο·
Ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων

Καλάς· ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν, εἰλαπίναι τε·
Νύμφας δ' ἐκ θαλάμων, δαΐδων ὑπολαμπομενάων,
Ηγίνεον ἀνὰ ἄστυ· πολύς δ' ὑμέναιος ὀρώρει·
Κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
Αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
Ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
Λαοί δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
Ὠρώρει· δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
Ἀνδρὸς ἀποφθιμένου· ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι,
Δήμῳ πιφαύσκων· ὃ δ' ἀναίνετο μηδὲν ἑλέσθαι.
Ἄμφω δ' ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι.
Λαοί δ' ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶς ἀρωγοί.
Κήρυκες δ' ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντες
Εἵατ' ἐπὶ ξεστοῖσι λίθοις, ἱερῷ ἐνὶ κύκλῳ·
Σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων·
Τοῖσιν ἔπειτ' ἤϊσσον, ἀμοιβηδὶς δ' ἐδίκαζον.
Κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
Τῷ δόμεν, ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴποι.
Τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ εἵατο λαῶν,
Τεύχεσι λαμπόμενοι· δίχα δὲ σφίσιν ἥνδανε βουλή,
Ηὲ διαπραθέειν, ἢ ἄνδιχα πάντα δάσασθαι
Κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
Οἳ δ' οὔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο·
Τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
Ῥύατ', ἐφεσταότες, μετὰ δ' ἀνέρες, οὓς ἔχε γῆρας.
Οἳ δ' ἴσαν· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
Ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
Καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥστε θεώ περ
Ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπολίζονες ἦσαν.
Οἳ δ', ὅτε δή ῥ' ἵκανον ὅθι σφίσιν εἶκε λοχῆσαι,
Ἐν ποταμῷ ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
Ἔνθ' ἄρα τοίγ' ἵζοντ', εἰλυμένοι αἴθοπι χαλκῷ.

Τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν,
Δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
Οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες,
Τερπόμενοι σύριγξι· δόλον δ' οὔτι προνόησαν.
Οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
Τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
Ἀργεννῶν οἰῶν· κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας.
Οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶν,
Εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
Βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
Στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ,
Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖϊν.
Εἶμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.
Ὡμίλευν δ', ὥστε ζωοὶ βροτοὶ, ἠδ' ἐμάχοντο,
Νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνηῶτας.

Ἐν δ' ἐτίθει νειὸν μαλακὴν, πίειραν ἄρουραν,
Εὐρεῖαν, τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
Ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
Οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
Τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδέος οἴνου
Δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν' ὄγμους,
Ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι.
Ἡ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δὲ ἐῴκει,
Χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμ' ἐτέτυκτο.

Ἐν δ' ἐτίθει τέμενος βαθυλήϊον· ἔνθα δ' ἔριθοι
Ἤμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·
Δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πίπτον ἔραζε,
Ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
Τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε

Παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες,
Ἀσπερχὲς πάρεχον· βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ
Σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
Βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες,
Δεῖπνον ἐρίθοισιν, λεῦκ' ἄλφιτα πολλὰ πάλυνον,
Ἐν δ' ἐτίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν,
Καλὴν, χρυσείην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν·
Ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
Ἀμφὶ δὲ, κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε
Κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτὴν,
Τῇ νίσσοντο φορῆες, ὅτε τρυγόῳεν ἀλωήν.
Παρθενικαὶ δὲ καὶ ἠΐθεοι, ἀταλὰ φρονέοντες,
Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
Τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
Ἱμερόεν κιθάριζε· λίνον δ' ὑπὸ καλὸν ἄειδε
Λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ὁμαρτῇ
Μολπῇ τ' ἰΰγμῷ τε ποσὶ σκαίροντες ἕποντο·
Ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
Αἱ δὲ βόες χρυσοῖο τετεύχατο κασσιτέρου τε·
Μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε,
Πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα·
Χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσι
Τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
Σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
Ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ, μακρὰ μεμυκὼς
Ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον ἠδ' αἰζηοί.
Τὼ μὲν ἀναῤῥήξαντε βοὸς μεγάλοιο βοείην,
Ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες
Αὔτως ἐνδίεσαν, ταχέας κύνας ὀτρύνοντες·
Οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
Ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον, ἔκ τ' ἀλέοντο.

Ἐν δὲ νομὸν ποίησε περικλυτὸς Ἀμφιγυήεις (13),
Ἐν καλῇ βήσσῃ, μέγαν οἰῶν ἀργεννάων,
Σταθμούς τε, κλισίας τε κατηρεφέας, ἰδὲ σηκούς.
Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις,
Τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ·
Ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
Ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
Τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας
Εἵατ' εὐννήτους, ἦκα (14) στίλβοντας ἐλαίῳ.
Καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας
Εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
Οἱ δ' ὅτε μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσι
Ῥεῖα μάλ', ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσιν
Ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσιν·
Ἄλλοτε δ' αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι.
Πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος,
Τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς,
Μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσους.
Ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος ὠκεανοῖο,
Ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.

Iliad. XVIII. v. 478—607.

Description du bouclier d'Hercule.

ARGUMENT.

Hercule et Iolas rencontrent Cycnus dans un bois consacré à Apollon. A leur aspect, Cycnus se livre à la joie, espérant de vaincre le fils de Jupiter et de lui ravir ses armes. Apollon ranime le courage d'Hercule. Celui-ci s'apprête aussitôt au combat, et excite l'ardeur d'Iolas, qui se montre plein d'intrépidité. Hercule s'applaudit de le voir dans de pareils sentimens, et court chercher ses armes, parmi lesquelles se trouvait le bouclier dont on va lire la description.

Χερσί γε μὲν σάκος εἷλε πανaίολον· οὐδέ τις αὐτὸ
Οὔτ' ἔῤῥηξε βαλὼν, οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
Πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ, λευκῷ τ' ἐλέφαντι,
Ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην, χρυσῷ τε φαεινῷ
Λαμπόμενον· κυάνου δὲ διὰ πτύχες ἠλήλαντο (15).
Ἐν μέσσῳ δὲ δράκοντος ἔην φόβος, οὔτι φατειός,
Ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς.
Τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων,
Δεινῶν, ἀπλήτων· ἐπὶ δὲ βλοσυροῖο μετώπου
Δεινὴ Ἔρις πεπότητο, κορύσσουσα κλόνον ἀνδρῶν,
Σχετλίη, ἥ ῥα νόον τε καὶ ἐκ φρένας εἵλετο φωτῶν,
Οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν.
Τῶν καὶ ψυχαὶ μὲν χθόνα δύνουσ' ἄϊδος εἴσω
Αὐτῶν· ὀστέα δέ σφι, περὶ ῥινοῖο σαπείσης,
Σειρίου ἀζαλέοιο κελαινῇ πύθεται αἴῃ.
Ἐν δὲ Προΐωξίς τε Παλίωξίς τε τέτυκτο·
Ἐν δ' Ὅμαδός τε, Φόβος τ', Ἀνδροκτασίη τε δεδήει,
Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ Κὴρ (16),
Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν,

Δεινὸν δερκομένη, καναχῇσί τε βεβριθυῖα.
Ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν ὄντι φατειῶν
Δώδεκα, ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
Οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν.
Τῶν καὶ ὀδόντων καναχὴ πέλεν, εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης· τὰ δὲ δαίετο θαυτὰ (17) ἔργα.
Στίγματα δ' ὡς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι
Κυάνεα κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.
Ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν, ἠδὲ λεόντων
Ἐς σφέας δερκομένων, κοτεόντων τ' ἱεμένων τε,
Τῶν καὶ ὁμιληδὸν στίχες ἤϊσαν· οὐδέ νυ τώγε
Οὐδέτεροι τρεέτην· φρίσσον γε μὲν αὐχένας ἄμφω.
Ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
Δοιοὶ ἀπουράμενοι ψυχὰς, κατὰ δέ σφι κελαινὸν
Αἷμ' ἀπελείβετ' ἔραζ'· οἱ δ', αὐχένας ἐξεριπόντες,
Κείατο τεθνηῶτες ὑπὸ βλοσυροῖσι λέουσι.
Τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην κοτέοντε μάχεσθαι,
Ἀμφότεροι, χλοῦναί τε σύες, χαροποί τε λέοντες.
Ἐν δ' ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων (18),
Καινέα(19) τ' ἀμφὶ ἄνακτα, Δρύαντά τε (20), Πειρίθοόν τε(21),
Ὁπλέα τ', Ἐξάδιόν τε (22), Φάληρόν τε, Προλοχόν τε,
Μόψον τ' Ἀμπυκίδην, Τιταρήσιον (23), ὄζον Ἄρηος,
Θησέα τ' Αἰγείδην, ἐπιείκελον ἀθανάτοισιν·
Ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε' ἔχοντες.
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο,
Ἀμφὶ μέγαν Πετραῖον (24), ἰδ' Ἄσβολον (25) οἰωνιστὴν,
Ἄρκτον θ', Οὔρειόν τε, μελαγχαίτην τε Μίμαντα,
Καὶ δύο Πευκείδας, Περιμήδεά τε, Δρύαλόν τε (26).
Ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
Καί τε συναΐγδην, ὡσεὶ ζωοί περ ἐόντες,
Ἔγχεσιν ἠδ' ἐλάτης αὐτοσχεδὸν ὠριγνῶντο.
Ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι

Χρύσειοι· ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος οὔλιος Ἄρης,
Αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
Αἵματι φοινικόεις, ὡσεὶ ζωοὺς ἐναρίζων,
Δίφρῳ ἐμβεβαώς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
Ἕστασαν, ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
Ἐν δὲ Διὸς θυγάτηρ, Ἀγελείη Τριτογένεια,
Τῇ ἰκέλη, ὡσεί τε μάχην ἐθέλουσα κορύσσειν,
Ἔγχος ἔχουσ' ἐν χερσὶ χρυσείην τε τρυφάλειαν,
Αἰγίδα τ' ἀμφ' ὤμοις· ἐπὶ δ' ᾤχετο φύλοπιν αἰνήν.
Ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ' ἄρα μέσσῳ
Ἱμερόεν κιθάριζεν Λητοῦς καὶ Διὸς υἱὸς
Χρυσείῃ φόρμιγγι· θεῶν δ' ἕδος ἁγνὸν Ὄλυμπος·
Ἐν δ' ἀγορὴ, περὶ δ' ὄλβος ἀπείριτος ἐστεφάνωτο
Ἀθανάτων ἐν ἀγῶνι· θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομέναις εἰκυῖαι.
Ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης
Κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο
Κλυζομένῳ ἴκελος· πολλοί γε μὲν ἀμμέσον αὐτοῦ
Δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες,
Νηχομένοις ἴκελοι· δοιοὶ δ' ἀναφυσιόωντες,
Ἀργύρεοι δελφῖνες ἐθοίνων ἔλλοπας ἰχθῦς.
Τῶν ὑπὸ χάλκειοι τρέον ἰχθύες· αὐτὰρ ἐπ' ἀκταῖς
Ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος· εἶχε δὲ χερσὶν
Ἰχθύσιν ἀμφίβληστρον, ἀπορρίψοντι ἐοικώς.
Ἐν δ' ἦν ἠϋκόμου Δανάης τέκος ἱππότα Περσεὺς,
Οὔτ' ἄρ' ἐπιψαύων σάκεος ποσὶν, οὔθ' ἑκὰς αὐτοῦ,
Θαῦμα μέγα φράσσασθ', ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
Τὼς γάρ μιν παλάμαις τεῦξε κλυτὸς Ἀμφιγυήεις
Χρύσεον· ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα.
Ὤμοισιν δέ μιν ἀμφὶ μελάνδετον ἄορ ἔκειτο
Χάλκεον ἐκ τελαμῶνος· ὁ δ' ὥστε νόημ' ἐποτᾶτο·
Πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου

Γοργοῦς· ἀμφὶ δέ μιν κίβισις θέε, θαῦμα ἰδέσθαι,
Ἀργυρέη· θύσανοι δὲ κατηωρεῦντο φαεινοί,
Χρύσειοι· δεινὴ δὲ περὶ κροτάφοισιν ἄνακτος
Κεῖτ' Ἄϊδος κυνέη, νυκτὸς ζόφον αἰνὸν ἔχουσα.
Αὐτὸς δὲ σπεύδοντι καὶ ἐῤῥίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο· ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐῤῥώοντο,
Ἱέμεναι μαπέειν· ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
Βαινουσέων ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ
Ὀξέα καὶ λιγέως· ἐπὶ δὲ ζώνῃσι δράκοντε
Δοιὼ ἀπῃωρεῦντ', ἐπικυρτώοντε κάρηνα.
Λίχμαζον δ' ἄρα τώγε, μένει δ' ἐχάρασσον ὀδόντας,
Ἄγρια δερκομένω· ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείοις ἐδονεῖτο μέγας φόβος· οἱ δ' ὑπὲρ αὐτέων
Ἄνδρες ἐμαρνάσθην, πολεμήϊα τεύχε' ἔχοντες.
Τοὶ μὲν ἀπὸ σφετέρης πόλιος σφετέρων τε τοκήων
Λοιγὸν ἀμύνοντες· τοὶ δὲ πραθέειν μεμαῶτες.
Πολλοὶ μὲν κέατο, πλέονες δ' ἔτι δῆριν ἔχοντες,
Μάρναντ'· αἱ δὲ γυναῖκες, ἐϋδμήτων ἐπὶ πύργων,
Χάλκεον, ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειάς,
Ζωῇσιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίστοιο.
Ἄνδρες δ', οἳ πρεσβῆες ἔσαν, γῆράς τε μέμαρπον,
Ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν, ἂν δὲ θεοῖσι
Χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι
Δειδιότες. Τοὶ δ' αὖτε μάχην ἔχον· αἱ δὲ μετ' αὐτοὺς
Κῆρες κυάνεαι, λευκοὺς ἀραβεῦσαι ὀδόντας,
Δεινωποὶ, βλοσυροί τε, δαφοινοί τ', ἄπλητοί τε
Δῆριν ἔχον περὶ πιπτόντων· πᾶσαι δ' ἄρ' ἵεντο
Αἷμα μέλαν πιέειν. Ὃν δὲ πρῶτον μεμάποιεν
Κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
Βάλλ' ὄνυχας μεγάλους· ψυχὴ δ' Ἄϊδόσδε κατεῖεν
Τάρταρον ἐς κρυόενθ'. Αἱ δὲ φρένας εὖτ' ἀρέσαντο

Αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπτασκον ὀπίσσω,
Ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι.
Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν, ἡ μὲν ὑφήσσων
Ἄτροπος· οὔτι πέλεν μεγάλη θεὸς, ἀλλὰ καὶ ἔμπης
Τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν, πρεσβυτάτη τε.
Πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο.
Δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
Ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο.
Πὰρ δ' Ἀχλὺς (27) εἱστήκει ἐπισμυγερή τε καὶ αἰνὴ,
Χλωρὴ, ἀϋσταλέη, λιμῷ καταπεπτηυῖα,
Γουνοπαχής· μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν.
Τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
Αἷμ' ἀπελείβετ' ἔραζε· ἡ δὲ ἄπλητον σεσαρυῖα
Εἱστήκει· πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,
Δάκρυσι μυδαλέη. Πορὰ δ' εὔπυργος πόλις ἀνδρῶν.
Χρύσειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
Ἑπτὰ πύλαι· τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
Τέρψιν ἔχον· τοὶ μὲν γὰρ ἐϋσσώτρου ἐπ' ἀπήνης
Ἦγοντ' ἀνδρὶ γυναῖκα· πολὺς δ' ὑμέναιος ὀρώρει.
Τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
Χερσὶν ἐνὶ δμώων· ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
Πρόσθ' ἔκιον· τῇσιν δὲ χοροὶ παίζοντες ἕποντο.
Τοὶ μὲν ὑπαὶ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
Ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Αἳ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα·
Ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ,
Τοίγε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ,
Τοίγε μὲν αὖ γελόωντες· ὑπ' αὐλητῆρι δ' ἕκαστος
Πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε, χοροί τε,
Ἀγλαΐαι τ' εἶχον· τοὶ δ' αὖ προπάροιθε πόληος
Νῶθ' ἵππων ἐπιβάντες ἐθύνεον· οἳ δ' ἀροτῆρες
Ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας

Ἐστάλατ'. Αὐτὰρ ἔην βαθὺ λήϊον· οἵγε μὲν ἤμων
Αἰχμῇς ὀξείῃσι κορωνιόωντα πέτηλα,
Βριθόμενα σταχύων, ὡσεὶ Δημήτερος ἀκτήν.
Οἵ δ' ἄρ ἐν ἐλλεδανοῖσι δέον, καὶ ἔπιτνον ἀλωῇ·
Οἵ δ' ἐτρύγων οἴνας, δρεπάνας ἐν χερσὶν ἔχοντες
Οἵ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
Λευκοὺς καὶ μέλανας βότρυας, μεγάλων ἀπὸ ὄρχων
Βριθομένων φύλλοισι καὶ ἀργυρέης ἑλίκεσσιν·
Οἵ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν· παρὰ δέ σφισιν ὄρχος
Χρύσειος ἦν, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο,
Σειόμενος φύλλοισι καὶ ἀργυρέοισι κάμαξι.
Τῷ γε μὲν οὖν παίζονται ὑπ' αὐλητῆρι ἕκαστος
Βριθόμενος σταφυλῇσι· μελάνθησάν γε μὲν αἵδε.
Οἵγε μὲν ἐτράπεον, τοί δ' ἤρυον· οἵ δ' ἐμάχοντο
Πύξ τε καὶ ἑλκηδόν· τοί δ' ὠκύποδας λαγὸς ἧρευν
Ἄνδρες θηρευταὶ, καὶ καρχαρόδοντε κύνε πρὸ
Ἱέμενοι μαπέειν· οἵ δ' ἱέμενοι ὑπαλύξαι·
Πάρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἀέθλοις
Δῆριν ἔχον καὶ μόχθον· εὐπλεκέων δ' ἐπὶ δίφρων
Ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους,
Ῥυτὰ χαλαίνοντες· τὰ δ' ἐπικροτέοντα πέτοντο
Ἅρματα κολλήεντ', ἐπὶ δὲ πλῆμναι μέγ' ἄϋτευν.
Οἱ μὲν ἄρ' ἀΐδιον εἶχον πόνον· οὐδέ ποτέ σφιν
Νίκη ἐπηνύσθη, ἀλλ' ἄκριτον εἶχεν ἄεθλον.
Τοῖσι δὲ καὶ προὔκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,
Χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.
Ἀμφὶ δ' ἴτυν ῥέεν ὠκεανὸς πλήθοντι ἐοικώς·
Πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον· οἱ δὲ κατ' αὐτὸν
Κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον· οἵ ῥά γε πολλοὶ
Νῆχον ἐπ' ἄκρον ὕδωρ. Πάρ δ' ἰχθύες ἐκλονέοντο
Θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, οὗ διὰ βουλὰς
Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε.

Ἀρσάμενος παλάμῃσι, τὸ μὲν Διὸς ἄλκιμος υἱός
Πάλλεν ἐπικρατέως.

HÉSIODE, *Bouclier*, v. 139—321.

Combat d'Hercule et de Cycnus.

ARGUMENT.

Hercule, couvert de ses armes, s'élance dans son char, et aussitôt les coursiers, pressés par Iolas, précipitent leur course rapide. Des cris menaçans se font entendre des deux côtés. Hercule adresse quelques reproches à Cycnus. Bientôt ils descendent l'un et l'autre de leur char, et le combat s'engage.

Δὴ τότ' ἀπ' εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν
Παῖς τε Διὸς μεγάλου, καὶ Ἐνυαλίοιο ἄνακτος.
Ἡνίοχοι δ' ἔμπλην ἔλασαν καλλίτριχας ἵππους
Τῶν δ' ὑποσευομένων κανάχιζε πόσ' εὐρεῖα χθών.
Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
Πέτραι ἀποθρώσκωσιν, ἐπ' ἀλλήλαις δὲ πέσωσι,
Πολλαὶ δὲ δρῦς ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
Αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ' αὐτῶν,
Ῥίμφα κυλινδομένων, εἵως πεδίονδ' ἀφίκωνται·
Ὡς οἱ ἐπ' ἀλλήλοισι πέσον μέγα κεκληγόντες.
Πᾶσα δὲ Μυρμιδόνων τε πόλις, κλειτή τ' Ἰαωλκὸς,
Ἄρνη τ', ἠδ' Ἑλίκη, Ἄνθειά τε ποιήεσσα,
Φωνῇ ὑπ' ἀμφοτέρων μεγάλ' ἴαχον. Οἱ δ' ἀλαλητῷ
Θεσπεσίῳ σύνισαν· μέγα δ' ἔκτυπε μητιέτα Ζεὺς,
Κάδδ' ἄρ' οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας,
Σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέϊ παιδί.
Οἷος δ' ἐν βήσσῃς ὄρεος χαλεπὸς προϊδέσθαι
Κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι
Ἀνδράσι θηρευτῇς, θήγει δέ τε λευκὸν ὀδόντα
Δοχμωθεὶς, ἀφρὸς δὲ περὶ στόμα μαστιχόωντι

Λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην,
Ὀρθὰς δ' ἐν λοφιῇ φρίσσει τρίχας, ἀμφί τε δειρήν·
Τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου.
Ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ,
Ὄζῳ ἐφεζόμενος, θέρος ἀνθρώποισιν ἀείδειν
Ἄρχεται, ᾧ τε πόσις καὶ βρῶσις θῆλυς ἐέρση,
Καί τε πανημέριός τε καὶ ἠῷος χέει αὐδὴν
Ἴδει ἐν αἰνοτάτῳ, ὁπότε χρόα Σείριος ἄζει·
Ἦμος δὴ κέγχροισι περὶ γλῶχες τελέθουσι,
Τούς τε θέρει σπείρουσιν, ὅτ' ὄμφακες αἰόλλονται,
Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος·
Τὴν ὥρην μάρναντο, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
Ὡς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο,
Ἀλλήλοις κοτέοντε, ἐπὶ σφέας ὁρμήσωσι·
Δεινὴ δέ σφ' ἰαχὴ, ἄραβός θ' ἅμα γίνετ' ὀδόντων·
Ἠδ' ὡς αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι,
Πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μαχέσθην
Αἰγὸς ὀρεσσινόμου, ἢ ἀγροτέρης ἐλάφοιο
Πίονος, ἥν τ' ἐδάμασσε βαλὼν αἰζήϊος ἀνὴρ
Ἰῷ ὑπαὶ νευρῆς, αὐτός δ' ἀπαλήσεται ἄλλῃ,
Χώρου ἄϊδρις ἐών· οἳ δ' ὀτραλέως ἐνόησαν,
Ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
Ὣς οἱ κεκληγόντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Ἔνθ' ἤτοι Κύκνος μὲν ὑπερμενέος Διὸς υἱὸν
Κτεινέμεναι μεμαὼς, σάκει ἔμβαλε χάλκεον ἔγχος,
Οὐδ' ἔρρηξεν χαλκόν· ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδης δὲ, βίη Ἡρακληείη,
Μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ
Αὐχένα γυμνωθέντα θοῶς, ὑπένερθε γενείου,
Ἤλασ' ἐπικρατέως· ἀπὸ δ' ἄμφω κέρσε τένοντε
Ἀνδροφόνος μελίη· μέγα γὰρ σθένος ἔμπεσε φωτός.
Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ὅτε πέτρη

Ἠλίβατος, πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
Ὣς ἔριπ', ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.

HÉSIODE, *Bouclier*, v. 370—423.

Combat de Pollux et d'Amycus.

ARGUMENT.

Après l'arrivée des Argonautes chez les Bébryciens, Castor et Pollux pénètrent dans une forêt où ils trouvent un inconnu dont l'extérieur avait quelque chose de cruel et d'effrayant C'était Amycus, roi du pays. Pollux lui adresse plusieurs questions. Amycus répond avec dureté, et finit par lui proposer le combat du ceste.

Οἵ δ', ἐπεὶ οὖν σπείραισιν ἐκαρτύναντο βοείαις
Χεῖρας, καὶ περὶ γυῖα μακροὺς εἵλιξαν ἱμάντας,
Ἐς μέσσον σύναγον, φόνον ἀλλάλοισι πνέοντες.
Ἔνθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
Ὁππότερος κατὰ νῶτα λάβῃ φάος ἠελίοιο.
Ἀλλ' ἰδρίῃ μέγαν ἄνδρα παρήλυθες, ὦ Πολύδευκες·
Βάλλετο δ' ἀκτίνεσσιν ἅπαν Ἀμύκοιο πρόσωπον.
Αὐτὰρ ὅ γ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω,
Χερσὶ τιτυσκόμενος· τοῦ δ' ἄκρον τύψε γένειον
Τυνδαρίδης ἐπιόντος· ὀρίνθη δὲ πλέον ἢ πρὶν,
Σὺν δὲ μάχαν ἐτίναξε, πολὺς δ' ἐπέκειτο νενευκὼς
Ἐς γαῖαν. Βέβρυκες δ' ἐπαΰτευν· ἐκ δ' ἑτέρωθεν
Ἥρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
Δειδιότες μή πως μιν ἐπιβρίσας δαμάσειε
Χώρῳ ἐνὶ στεινῷ Τιτυῷ (28) ἐναλίγκιος ἀνήρ.
Ἤτοι ὅγ' ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱὸς
Ἀμφοτέραισιν ἄμυσσεν ἀμοιβαδίς· ἔσχεθε δ' ὁρμῆς
Παῖδα Ποσειδάωνος (29), ὑπερφίαλόν περ ἐόντα.
Ἔστη δὲ πληγαῖς μεθύων, ἐκ δ' ἔπτυσεν αἷμα
Φοίνιον· οἱ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν,

Ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε·
Ὄμματα δ' οἰδήσαντος ἀπεστείνωτο προσώπου.
Τὸν μὲν ἄναξ ἐτάραξεν, ἐτώσια χερσὶ προδεικνὺς
Πάντοθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,
Μέσσας ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμὴν,
Πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον· αὐτὰρ ὁ πληγεὶς,
Ὕπτιος ἐν φύλλοισι τεθαλόσιν ἐξετανύστη.
Ἔνθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
Ἀλλήλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
Ἀλλ' ὁ μὲν ἐς στῆθός τε καὶ ἔξω χεῖρας ἐνώμα
Αὐχένος ἀρχαγὸς Βεβρύκων· ὁ δ' ἀεικέσι πληγαῖς
Πᾶν συνέφυρε πρόσωπον ἀνίκατος Πολυδεύκης.
Σάρκες δ' οἱ μὲν ἱδρῶτι συνίζανον· ἐκ μεγάλου δὲ
Αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὁ δ' αἰεὶ μάσσονα γυῖα
Ἁπτόμενος φορέεσκε πόνου, καὶ χροιῇ ἀμείνω.
Πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν,
Εἰπὲ, θεὰ, σὺ γὰρ οἶσθα· ἐγὼ δ' ἑτέρων ὑποφήτης
Φθέγξομαι ὡς ἐθέλεις σὺ, καὶ ὅππως τοι φίλον αὐτῇ.
  Ἤτοι ὅγε ῥέξαι τι λιλαιόμενος μέγα ἔργον,
Σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα,
Δοχμὸς ἀπὸ προβολῆς κλινθείς· ἑτέρᾳ δ' ἐπιβαίνων,
Δεξιτερῆς ἤνεγκεν ἀπαὶ λαγόνος πλατὺ γυῖον.
Καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα·
Ἀλλ' ὅγ' ὑπεξανέδυ κεφαλῇ· στιβαρᾷ δ' ἄρα χειρὶ
Πλῆξεν ὑπὸ σκαιὸν κρόταφον, καὶ ἐπέμπεσεν ὤμῳ·
Ἐκ δὲ χύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος.
Λαιῇ δὲ στόμα τύψε, πυκνοὶ δ' ἀράβησαν ὀδόντες·
Αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δαλεῖτο πρόσωπον,
Μέχρι συνηλοίησε παρῆϊα. Πᾶς δ' ἐπὶ γαῖαν
Κεῖτ' ἀλλοφρονέων, καὶ ἀνέσχετε, νεῖκος ἀπαυδῶν,
Ἀμφοτέρας ἅμα χεῖρας· ἐπεὶ θανάτου σχεδὸν ἦεν.
Τὸν μὲν ἄρα, κρατέων περ, ἀτάσθαλον οὐδὲν ἔρεξας,

Ὦ πύκτα Πολύδευκες· ὄμοσσε δέ τοι μέγαν ὅρκον,
Ὃν πατέρ' ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
Μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.

THÉOCR. *Idyl.* XXII. v. 80—134.

Hercule vainqueur du lion de Némée.

ARGUMENT.

Phylée, fils d'Augias, dans un entretien avec Hercule, lui demande à quel animal il a enlevé la riche dépouille qui lui sert de vêtement et de bouclier. Hercule répond que c'est la peau du lion de Némée, et raconte de quelle manière il parvint à terrasser ce terrible adversaire, qui ravageait l'Argolide.

Πάντας γὰρ Πισῆας ἐπικλύζων ποταμὸς ὥς,
Λῖς ἄμοτον κεράϊζε· μάλιστα δὲ Βεμβινιαίους,
Οἳ ἔθεν ἀγχίμολοι ναῖον, ἄτλητα παθόντες.
Τὸν μὲν ἐμοὶ πρώτιστα τελεῖν ἐπέταξεν ἄεθλον
Εὐρυσθεύς (30), κτεῖναι δέ μ' ἐφίετο θηρίον αἰνόν.
Αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν, κοίλην τε φαρέτραν
Ἰῶν ἐμπλείην, νεόμην· ἑτέρηφι δὲ βάκτρον
Εὐπαγὲς, αὐτόφλοιον ἐπηρεφέος κοτίνοιο,
Εὔμετρον· τὸ μὲν αὐτὸς ὑπὸ ζαθέῳ Ἑλικῶνι
Εὑρὼν, σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασα ῥίζῃς.
Αὐτὰρ ἐπεὶ τὸν χῶρον, ὅπῃ λῖς ἦεν, ἵκανον,
Δὴ τότε τόξον ἑλὼν, στρεπτῇ ἐπέλασσα κορώνῃ
Νευρειὴν, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔθηκα.
Πάντῃ δ' ὄσσε φέρων, ὀλοὸν τέρας ἐσκοπίαζον,
Εἴ μιν ἐσαθρήσαιμι, πάρος γ' ἐμὲ κεῖνον ἰδέσθαι.
Ἤματος ἦν τὸ μεσηγύ· καὶ οὐδ' ὅπῃ ἴχνια τοῖο
Φρασθῆναι δυνάμην, οὐδ' ὠρυθμοῖο πυθέσθαι.
Οὐδὲ μὲν ἀνθρώπων τις ἔην ἐπὶ βουσὶ καὶ ἔργοις

Φαινόμενος σπορίμοιο δι' αὔλακος, ὅντιν' ἐροίμην·
Ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον.
Οὐ μὴν πρὶν πόδας ἔσχον, ὄρος τανύφυλλον ἐρευνῶν,
Πρὶν ἰδέειν, ἀλκῆς τε μεταυτίκα πειρηθῆναι.
Ἤτοι ὁ μὲν σήραγγα προδείελος ἔστιχεν εἰς ἥν,
Βεβρωκὼς κρειῶν τε καὶ αἵματος· ἀμφὶ δὲ χαίτας
Αὐχμηρὰς πεπάλακτο φόνῳ, χαλεπόν τε πρόσωπον,
Στήθεά τε· γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.
Αὐτὰρ ἐγὼ θάμνοισιν ἅμα σκιεροῖσιν ἐκρύφθην,
Ἐν ῥίῳ ὑλήεντι, δεδεγμένος ὁππόθ' ἵκοιτο·
Καὶ βάλον ἆσσον ἰόντος ἀριστερὸν εἰς κενεῶνα
Τηϋσίως· οὐ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν
Ὀκρυόεν, χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ.
Αὐτὰρ ὁ κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ' ἐπάειρεν
Θαμβήσας, πάντη δὲ διέδραμεν ὀφθαλμοῖσι
Σκεπτόμενος, λαμυροὺς δὲ χανὼν ὑπέδειξεν ὀδόντας.
Τῷ δ' ἐγὼ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆς προΐαλλον,
Ἀσχαλόων ὅτι μοι πρὶν ἐτώσιος ἔκφυγε χειρός.
Μεσσηγὺς δ' ἔβαλον στηθέων, ὅθι πνεύμονος ἕδρα·
Ἀλλ' οὐδ' ὣς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός,
Ἀλλ' ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιος αὔτως.
Τὸ τρίτον αὖ μέλλεσκον, ἀσώμενος ἐν φρεσὶν αἰνῶς,
Αὖ ἐρύειν· ὁ δέ μ' εἶδε περιγληνώμενος ὄσσοις
Θὴρ ἄμοτος· μακρὴν δὲ παρ' ἰγνύῃσιν ἕλιξε
Κέρκον, ἄφαρ δὲ μάχης ἐμνήσατο· πᾶς δέ οἱ αὐχὴν
Θυμοῦ ἐνεπλήσθη, πυρσαὶ δ' ἔφριξαν ἔθειραι
Σκυζομένῳ· κυρτὴ δὲ ῥάχις γένετ' ἠΰτε τόξον,
Πάντοθεν εἰλυσθέντος ὑπαὶ λαγόνας τε καὶ ἰξύν (31).
Ὡς δ' ὅταν ἁρματοπηγὸς ἀνὴρ, πολέων ἴδρις ἔργων,
Ὄρπηκας κάμπτῃσιν ἐρινεοῦ εὐκεάτοιο,
Θάλψας ἐν πυρὶ πρῶτον ἐπαξονίῳ κύκλα δίφρῳ,
Τοῦ μὲν ὑπ' ἐκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινὸς

Καμπτόμενος, τηλοῦ δὲ μιῇ πήδησεν ὑφ' ὁρμῇ·
Ὣς ἐπ' ἐμοὶ λῖς αἰνὸς ἀπόπροθεν ἀθρόος ἆλτο,
Μαιμώων χροὸς ἆσαι. Ἐγὼ δ' ἑτέρηφι βέλεμνα
Χειρὶ προεσχεθόμην, καὶ ἀπ' ὤμων δίπλακα λώπην,
Τῇ δ' ἑτέρῃ ῥόπαλον κόρσης ὕπερ αὖον ἀείρας,
Ἤλασα κακκεφαλῆς· διὰ δ' ἄνδιχα τρηχὺν ἔαξα
Αὐτοῦ ἐπὶ λασίοιο καρήατος ἀγριέλαιον
Θηρὸς ἀμαιμακέτοιο. Πέσεν δ' ὅ γε, πρὶν ἔμ' ἱκέσθαι,
Ὑψόθεν ἐν γαίῃ, καὶ ἐπὶ τρομεροῖς ποσὶν ἔστη,
Νευστάζων κεφαλῇ· περὶ γὰρ σκότος ὄσσε οἱ ἄμφω
Ἦλθε, βίῃ σεισθέντος ἐν ὀστέῳ ἐγκεφάλοιο.
Τὸν μὲν ἐγὼν ὀδύναισι παραιφρονέοντα βαρείαις
Νωσάμενος, πρὶν αὖθις ὑπότροπον ἀμπνευθῆναι,
Αὐχένος ἀῤῥήκτοιο παρ' ἰνίον ἦλασα προφθὰς,
Ῥίψας τόξον ἔραζε πολύῤῥαπτόν τε φαρέτρην.
Ἦγχον δ' ἐγκρατέως, στιβαρὰς σὺν χεῖρας ἐρείσας
Ἐξόπιθεν, μὴ σαρκὸς ἀποδρύψῃ ὀνύχεσσι.
Πρὸς δ' οὖδας πτέρνῃσι πόδας στερεῶς ἐπίεζον
Οὐραίους ἐπιβὰς, πλευρῇσί τε μῆρ' ἐφύλασσον,
Μέχρις οἱ ἐξετάνυσσα βραχίονας, ὀρθὸν ἀείρας
Ἄπνευστον· ψυχὴν δὲ πελώριον ἔλλαβεν ᾅδης.
Καὶ τότε δὴ βούλευον ὅπως λασιαύχενα βύρσαν
Θηρὸς τεθνειῶτος ἀπὸ μελέων ἐρύσαιμι·
Ἀργαλέον μάλα μόχθον· ἐπεὶ οὐκ ἔσκε σιδήρῳ
Τμητὴ, οὐδὲ λίθῳ, πειρωμένῳ, οὐδέ μεν ὕλῃ.
Ἔνθα μοι ἀθανάτων τις ἐπὶ φρεσὶ θῆκε νοῆσαι,
Αὐτοῖς δέρμα λέοντος ἀνασχίζειν ὀνύχεσσι.
Τοῖσι θοῶς ἀπέδειρα, καὶ ἀμφεθέμην μελέεσσιν,
Ἕρκος ἐνυαλίου ταμεσίχροος ὄφρα μοι εἴη.
Οὗτός τοι Νεμέου γένετ', ὦ φίλε, θηρὸς ὄλεθρος,
Πολλὰ πάρος μήλοισι καὶ ἀνδράσι πήματα θέντος.

THÉOCR. *Idyl.* XXV v. 201—281.

Discours de Jason à Médée.

ARGUMENT.

Jason s'était soumis aux conditions proposées par Éétès pour conquérir la toison d'or. Médée, craignant que le héros ne succombe dans cette terrible épreuve, se détermine à lui donner un charme qui augmente ses forces et le rende invulnérable. Elle se dirige aussitôt vers le temple d'Hécate, où Jason avait déjà été conduit par Argus. Resté seul avec Médée, il reconnaît, à son trouble, le trait dont une main divine l'a blessé, et lui dit :

Τίπτ' ἐμὲ, παρθενικὴ, τόσον ἅζεαι, οἶον ἐόντα;
Οὔ τοι ἐγὼν, οἷοί τε δυσαυχέες ἄλλοι ἔασιν
Ἀνέρες, οὐδ', ὅτε περ πάτρῃ ἔνι ναιετάεσκον,
Ἦα πάρος· τῷ μή με λίην ὑπεραίδεο, κούρη,
Ἤ τι παρεξερέεσθαι, ὅ τοι φίλον, ἠέ τι φάσθαι.
Ἀλλ' ἐπεὶ ἀλλήλοισιν ἱκάνομεν ἐμμενέοντες
Χώρῳ ἐν ἠγαθέῳ, ἵνα τ' οὐ θέμις ἔστ' ἀλιτέσθαι,
Ἀμφαδίην ἀγόρευε καὶ εἴρεο· μηδ' ἐμὲ τερπνοῖς
Φηλώσῃς ἐπέεσσιν, ἐπεὶ τὸ πρῶτον ὑπέστης
Αὐτοκασιγνήτῃ μενοεικέα φάρμακα δώσειν·
Πρός σ' αὐτῆς Ἑκάτης μειλίσσομαι (32), ἠδὲ τοκήων,
Καὶ Διὸς, ὃς ξείνοις ἱκέτῃσί τε χεῖρ' ὑπερίσχει·
Ἀμφότερον δ', ἱκέτης ξεῖνός τέ τοι ἐνθάδ' ἱκάνω,
Χρειοῖ ἀναγκαίῃ γουνούμενος· οὐ γὰρ ἄνευθεν
Ὑμείων στονόεντος ὑπέρτερος ἔσσομ' ἀέθλου.
Σοὶ δ' ἂν ἐγὼ τίσαιμι χάριν μετόπισθεν ἀρωγῆς,
Ἣ θέμις, ὡς ἐπέοικε διάνδιχα ναιετάοντας,
Οὔνομα καὶ καλὸν τεύχων κλέος· ὣς δὲ καὶ ὧλλοι
Ἥρωες κλήσουσιν ἐς Ἑλλάδα νοστήσαντες,
Ἡρώων τ' ἄλοχοι καὶ μητέρες, αἵ νύ ποτ' ἤδη

Ἡμέας ἠϊόνεσσιν ἐφεζόμεναι γοάασι,
Τάων ἀργαλέας κεν ἀποσκεδάσειας ἀνίας.
Δή ποτε καὶ Θησῆα κακῶν ὑπελύσατ' ἀέθλων
Παρθενικὴ Μινωῒς ἐΰφρονέουσ' Ἀριάδνη (33),
Ἥν ῥά τε Πασιφάη κούρη τέκεν Ἠελίοιο.
Ἀλλ' ἡ μὲν καὶ νηὸς, ἐπεὶ χόλον εὔνασε Μίνως,
Σὺν τῷ ἐφεζομένη, πάτρην λίπε (34)· τὴν δὲ καὶ αὐτοὶ
Ἀθάνατοι φίλαντο, μέσῳ δέ οἱ αἰθέρι τέκμαρ
Ἀστερόεις στέφανος, τόν τε κλείουσ' Ἀριάδνης,
Πάννυχος οὐρανίοισιν ἑλίσσεται εἰδώλοισιν·
Ὧς καὶ σοὶ θεόθεν χάρις ἔσσεται, εἴ κε σαώσαις
Τόσσον ἀριστήων ἀνδρῶν στόλον· ἦ γὰρ ἔοικας
Ἐκ μορφῆς ἀγανῇσιν ἐπητείῃσι κεκάσθαι.

Apollonius. *Argonautiques* iii.
v. 975—1007.

Mort de Léandre et de Héro.

ARGUMENT.

Depuis sept jours une tempête empêchait Léandre de se rendre auprès de Héro. Impatient, et ne pouvant plus attendre le retour du calme, il prend la résolution de traverser la mer à la nage. Ses forces l'abandonnent; il périt au milieu des flots, et les vagues portent son cadavre sur le rivage de Sestos, où se trouvait le temple dont son amante était prêtresse. Héro, désolée, ne veut point survivre au malheureux Léandre, et se précipite dans la mer, faisant ainsi le sacrifice d'une vie qui ne peut désormais avoir de charmes pour elle.

Νὺξ ἦν, εὖτε μάλιστα βαρυπνείοντες ἄηται,
Χειμερίῃς πνοιῇσιν ἀκοντίζοντες ἀέλλας,
Ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης·
Δὴ τότε Λείανδρός περ ἐθήμονος ἐλπίδι νύμφης

Δυσκελάδων πεφόρητο θαλασσαίων ἐπὶ νώτων.
Ἤδη κύματι κῦμα κυλίνδετο, σύγχυτο δ' ὕδωρ,
Αἰθέρι μίσγετο πόντος, ἀνέγρετο πάντοθεν ἠχὴ
Μαρναμένων ἀνέμων· Ζεφύρῳ δ' ἀντέπνεεν Εὖρος,
Καὶ Νότος ἐς Βορέην μεγάλας ἀφέηκεν ἀπειλάς·
Καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσσης·
Αἰνοπαθὴς δὲ Λέανδρος ἀκηλήτοις ἐνὶ δίναις
Πολλάκι μὲν λιτάνευσε θαλασσαίην Ἀφροδίτην,
Πολλάκι δ' αὐτὸν ἄνακτα Ποσειδάωνα θαλάσσης·
Ἀτθίδος οὐ Βορέην ἀμνήμονα κάλλιπε νύμφης (35)·
Ἀλλά οἱ οὔτις ἄρηγεν, Ἔρως δ' οὐκ ἤρκεσε Μοίρας.
Πάντοθι δ' ἀγρομένοιο δυσαντέϊ κύματος ὁρμῇ
Τυπτόμενος πεφόρητο, ποδῶν δέ οἱ ὤκλασεν ὁρμὴ,
Καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων·
Πολλὴ δ' αὐτόματος χύσις ὕδατος ἔῤῥεε λαιμῷ,
Καὶ ποτὸν ἀχρήϊστον ἀμαιμακέτου πίεν ἅλμης·
Καὶ δὴ λύχνον (36) ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης,
Καὶ ψυχὴν καὶ ἔρωτα πολυτλήτοιο Λεάνδρου.
Ἡ δ' ἔτι δηθύνοντος, ἐπ' ἀγρυπνοῖσιν ὀπωπαῖς
Ἵστατο, κυμαίνουσα πολυκλαύστοισι μερίμναις·
Ἤλυθε δ' Ἠριγένεια (37), καὶ οὐκ ἴδε νυμφίον Ἡρώ·
Πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Εἴπου ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην
Λύχνου σβεννυμένοιο· παρὰ κρηπῖδα δὲ πύργου
Θρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην,
Δαιδάλεον ῥήξασα περὶ στήθεσσι χιτῶνα,
Ῥοιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου·
Κάδδ' Ἡρὼ τέθνηκεν ἐπ' ὀλλυμένῳ παρακοίτῃ,
Ἀλλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

Musée. v. 309—341.

Les noces de Thétis et de Pélée

ARGUMENT.

Le poète, dans son invocation aux nymphes de la Troade, rappelle qu'autrefois elles firent éclater leur admiration à la vue de Pâris, et lorsque la mère des Grâces vint, avec les autres habitans de l'Olympe, assister aux noces de Thétis et de Pélée. De là il prend occasion de raconter avec quelle pompe et quelle allégresse elles furent célébrées sur les montagnes de l'antique Æmonie.

Ὡς ὁ μὲν ὑψιλόφοισιν ἐν οὔρεσιν Αἱμονιῆων (38)·
Νυμφιδίων Πηλῆος ἀειδομένων ὑμεναίων,
Ζηνὸς ἐφημοσύνῃσιν ἐῳνοχόει (39) Γανυμήδης·
Πᾶσα δὲ κυδαίνουσα θεῶν ἔσπευδε γενέθλη
Αὐτοκασιγνήτην λευκώλενον Ἀμφιτρίτης.
Ζεὺς μὲν ἀπ' Οὐλύμποιο, Ποσειδάων δὲ θαλάσσης,
Ἐκ δὲ μελισσήεντος ἀπεσσυμένων Ἑλικῶνος
Μουσάων λιγύφωνον ἄγων χορὸν ἦλθεν Ἀπόλλων·
Τὸν δὲ μέθ' ὡμάρτησε κασιγνήτη Διὸς Ἥρη.
Οὐδ' αὐτὴ βασίλεια καὶ Ἁρμονίης Ἀφροδίτη
Ἐρχομένη δήθυνεν ἐς ἄλσεα Κενταύροιο (40)·
Καὶ στέφος ἀσκήσασα γαμήλιον ἤλυθε Πειθὼ (41),
Τοξευτῆρος Ἔρωτος ἐλαφρίζουσα φαρέτρην·
Καὶ βριαρὴν τρυφάλειαν ἀπὸ κροτάφοιο μεθεῖσα,
Ἐς γάμον ὡμάρτησε γάμων ἀδίδακτος Ἀθήνη·
Οὐδὲ κασιγνήτη Λητωϊὰς Ἀπόλλωνος
Ἄρτεμις (42) ἠτίμησε, καὶ ἀγροτέρη περ ἐοῦσα·
Οἷος δ' οὐ κυνέην, οὐ δήϊον ἔγχος ἀείρων,
Ἐς δόμον Ἡφαίστοιο σιδήρεος ἤλυθεν Ἄρης,
Τῆνος ἄτερ θώρηκος, ἄτερ θηκτοῖο σιδήρου
Μειδιόων ἐχόρευεν. Ἔριν δ' ἀγέραστον ἐᾶσαι
Οὐ Χείρων ἀλέγιζε, καὶ οὐκ ἐμπάζετο Πηλεύς·

Χρυσείοις δ' ἑκάτερθε τινασσόμενος πλοκάμοισι,
Βότρυς Ἀκερσεκόμης Ζεφύρῳ στυφελίζετο χαίτην·
Ἡ δ', ἅτε ποιήεντος ἀποπλαγχθεῖσα νομοῖο
Πόρτις ἐρημαίῃσιν ἐνὶ ξυλόχοισιν ἀλᾶται,
Φοινήεντι μύωπι βοῶν ἐλατῆρι τυπεῖσα·
Τοῖα βαρυζήλοισιν Ἔρις πληγῇσι δαμεῖσα,
Πλάζετο, μαστεύουσα θεῶν πως δαῖτας ὀρίνοι.

. . . .

Ἀλλὰ καὶ ὁπλοτέρην δολίην ἐφράσσατο βουλὴν,
Ἄρεα δειμαίνουσα σιδήρεον ἀσπιδιώτην·
Ἤδη δ' Ἑσπερίδων χρυσέων ἐμνήσατο μήλων·
Ἔνθεν Ἔρις πολέμοιο προάγγελον ἔρνος ἑλοῦσα
Μῆλον, ἀριζήλων ἐφράσσατο δήνεα μόχθων·
Χειρὶ δὲ κινήσασα μόθου πρωτόσπορον ἀρχὴν
Ἐς θαλίην ἔῤῥιψε, χορὸν δ' ὤρινε θεάων·
Ἥρη μὲν παράκοιτις ἀγαλλομένη Διὸς εὐνῇ,
Ἵστατο θαμβήσασα, καὶ ἤθελε ληΐζεσθαι·
Πασάων δ' ἅτε Κύπρις ἀρειοτέρη γεγαυῖα,
Μῆλον ἔχειν ἐπόθησεν, ὅτι κτέρας ἐστὶν Ἐρώτων.

Coluthus, *Enlèvement d'Hélène*,
v. 17-45-56-66.

NOTES

DE LA POÉSIE ÉPIQUE.

---

(1) Parf. part. passif d'ἐπιέννυμι, ἐπιεννύω, formé de ἕω. Les verbes en νύω et νυμι, ou par deux ν, en ννύω, ννυμι, forment leurs temps de leur primitif, qui se peut facilement trouver en changeant ces syllabes en ω. (V. P.-R., p. 330, liv. 5.)

(2) Pour ἐλθεῖν. M. Gail (*Clav. Hom. Il.*, liv. 1, p. 47) dit que ὁδὸν ἐλθεῖν peut se rendre de deux manières, ou par *aller butiner*, ou bien par *aller à la découverte*. Cette dernière interprétation paraît la meilleure.

(3) Le mont *Platium*, au pied duquel Thèbes était bâtie.

(4) « La circonstance des armes qu'Achille avait laissées » à Éétion est bien remarquable, vu l'ardeur avec laquelle » les anciens enlevaient les dépouilles. C'était un trait de » générosité honorable au vainqueur et au vaincu, etc. » Cette remarque de M. Gail est parfaitement juste.

(5) Les deux Ajax, le célèbre Idoménée, les Atrides et le brave fils de Tydée. Remarquez l'emploi de la préposition ἀμφί avec l'accusatif.

(6) Messéis et Hypérée, fontaines de Thessalie et d'Argos.

(7) Τοιοῦδε signifie *capable de*, et doit être placé immédiatement avant ἀμύνειν.

(8) Quelle image! comme tous les sentimens sont ici bien exprimés!

(9) Certains substantifs, pris adjectivement, deviennent susceptibles des trois degrés de signification. On en

voit un exemple dans βασιλεύτερος, comparatif tiré de βασιλεύς.

(10) Dans Sophocle et dans Homère, λίμνη se prend pour θάλασσα, la mer.

(11) Pour ἧλπα, d'ἔλπω.

(12) *Avec un esprit fort industrieux*, c'est-à-dire, *avec une merveilleuse industrie.*

(13) *Qui boite des deux jambes*, surnom de Vulcain.

(14) Adv. *insensiblement*, *peu à peu.*

(15) Διά doit se joindre non pas à πτύχες, mais bien à ἠλήλαντο, dont il est séparé par *tmèse.*

(16) Ces quatre vers se trouvent dans le Bouclier d'Achille; ils ont été intercalés ici, selon toute apparence.

(17) Pour θωϋτά, dial. ion., au lieu de θαυμαστά.

(18) Les Lapithes, peuples de Thessalie, fameux par leur habileté à manier les chevaux, et surtout par leur combat contre les Centaures. (V. *Dict. Myth.* de M. Noël.)

(19) Cœnéus. Après avoir fait périr plusieurs Centaures, il fut accablé sous un monceau d'arbres. Mais on vit tout à coup s'envoler de dessous un oiseau couvert de plumes jaunes : c'était Cœnéus, que Neptune avait ainsi métamorphosé. (V. *ibid.*)

(20) Dryas. Il se couvrit de gloire en combattant contre les Centaures. C'est lui qui perça Orhœtus d'un pieu. (V. *Dict. Myth.* de M. Noël.)

(21) Pirithoüs, fils d'Ixion, roi des Lapithes. (V. *ibid.*)

(22) Exadius. Ce fut lui qui creva les yeux au Centaure Grynée. (V. *ibidem.*)

(23) Titarésius, vaillant Lapithe. (V. *ibidem.*)

(24) Pétrée, Centaure qui fut percé d'un javelot par Pirithoüs. (V. *ibidem.*)

(25) Arbolus, Centaure, habile devin. (V. *ibidem.*)

(26) Dryalus, fils du Centaure Peucéus. (V. *ibid.*)

(27) Achlys, déesse des ténèbres et de l'obscurité. (V. *ibidem.*)

(28) Tityus, fils de la Terre, dont le corps étendu couvrait neuf arpens. Ayant eu l'insolence de vouloir attenter à la pudeur de Latone, il fut tué par Apollon et par Diane à coups de flèches, et précipité dans le Tartare. Là, un insatiable vautour, attaché sur sa poitrine, lui dévore sans cesse le foie et les entrailles, qui renaissent éternellement pour son supplice. (V. *ibid.*)

(29) Le fils de Neptune, Amycus. Comparez avec ce morceau le combat d'Hercule et de Cycnus, d'Achille et d'Hector (*Il.* 22, v. 89 et suiv.), de Darès et d'Entelle (*Én.* 5, v. 375), d'Énée et de Turnus (*Én.* 12); et dans le Tasse le combat d'Othon contre Argant, et d'Argant contre Tancrède.

(30) Eurysthée, excité par Junon et jaloux de la réputation d'Hercule, le persécuta et exerça son courage dans plusieurs entreprises que l'on a appelées *les douze travaux d'Hercule.* Le premier fut le combat contre le lion de Némée. (V. *Dict. Myth.* de M. Noël.)

(31) L'image est vive et bien soutenue. On y voit la rage du lion à l'aspect de celui qui l'attaque, et les signes menaçans par lesquels elle se montre à découvert, dans tout son extérieur.

(32) Nom qu'on donnait à Diane sur la terre. On l'appelait *la Lune* dans le ciel, et *Proserpine* aux enfers. (V. *Dict. Myth.* de M. Noël.)

(33) Les Athéniens, vaincus par Minos, fils de Lycaste, s'étaient obligés à envoyer tous les sept ans sept jeunes garçons et autant de jeunes filles pour servir de pâture au minotaure. Thésée s'offrit pour affranchir sa

patrie de ce honteux tribut. Ariane lui donna un peloton de fil à la faveur duquel il sortit du labyrinthe et échappa à tous les dangers. (V. *ibidem.*)

(34) Ariane suivit hors de la Crète Thésée, qui eut l'ingratitude de l'abandonner dans l'île de Naxos. Bacchus y vint peu de temps après pour la consoler, et l'épousa. Dans la suite elle fut mise au rang des astres. (V. *ibidem.*)

(35) Atthis. On croit que c'est la même qu'Actæa ou Orythie, qui fut enlevée par le vent Borée. (V. *ibid.*)

(36) C'est le flambeau qui servait ordinairement de guide à Léandre dans sa route.

(37) Surnom de l'Aurore, *qui naît le matin.*

(38) La Thessalie fut ainsi appelée du nom d'Æmon, un de ses rois.

(39) Pour ἐῳνοχόει. Imparf. d'οἰνοχοέω. Remarquez l'augment temporel ῳ, quoique généralement les composés d'οἶνος ne le reçoivent pas. Remarquez aussi l'augment ε devant une voyelle.

(40) Centaurus, le Centaure proprement dit, c'est-à-dire le plus célèbre des Centaures, *Chiron.* Il avait sa grotte au pied du mont Pélion, où furent célébrées les noces de Thétis et de Pélée. (V. *Dict. Myth.* de M. Noël.)

(41) Pitho, déesse de la persuasion. On la regardait comme fille de Vénus, et elle se trouvait dans son cortége ou à ses côtés. Chez les Latins, on l'appelait *Suada* ou *Suadela.* (V. *ibidem.*)

(42) Diane, sœur d'Apollon. Latone, refugiée dans l'île de Délos, y accoucha de Diane et d'Apollon, à l'ombre d'un olivier. (V. *ibidem.*)

POÉSIE DIDACTIQUE.

PANDORE.

ἩΦΑΙΣΤΟΝ δ' ἐκέλευσε (1) περικλυτὸν ὅττι τάχιστα
Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν,
Καὶ σθένος, ἀθανάταις δὲ θεαῖς εἰς ὦπα ἐΐσκειν
Παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
Ἔργα διδασκέμεναι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
Καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσῆν Ἀφροδίτην,
Καὶ πόθον ἀργαλέον, καὶ γυιοβόρους μελεδῶνας·
Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε διάκτορον, Ἀργειφόντην (2).
Ὣς ἔφατ'· οἱ δ' ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι.
Αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ (3)
Ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήνγε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι·
Πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.
Ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
Ψεύδεά θ', αἱμυλίους τε λόγους, καὶ ἐπίκλοπον ἦθος
Τεῦξε, Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν
Θῆκε θεῶν κῆρυξ, ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες ὀλύμπια δώματ' ἔχοντες
Δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσιν·
Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,

Εἰς Ἐπιμηθέα (4) πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην
Δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον· οὐδ᾽ Ἐπιμηθεὺς
Ἐφράσαθ᾽ ὥς οἱ ἔειπε Προμηθεὺς, μήποτε δῶρον
Δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου, ἀλλ᾽ ἀποπέμπειν
Ἐξοπίσω, μήπου τι κακὸν θνητοῖσι γένοιτο·
Αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ᾽, ἐνόησε.
Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων
Νόσφιν ἄτερθε κακῶν, καὶ ἄτερ χαλεποῖο πόνοιο,
Νούσων τ᾽ ἀργαλέων, αἵ τ᾽ ἀνδράσι γῆρας ἔδωκαν·
Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.
Ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ᾽ ἀφελοῦσα
Ἐσκέδασ᾽· ἀνθρώποισι δ᾽ ἐμήσατο κήδεα λυγρά·
Μούνη δ᾽ αὐτόθι Ἐλπὶς ἐν ἀῤῥήκτοισι δόμοισιν
Ἔνδον ἔμεινε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
Ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο,
Αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο·
Ἄλλα δὲ μυρία λυγρὰ κατ᾽ ἀνθρώπους ἀλάληται.
Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
Νοῦσοι δ᾽ ἀνθρώποισιν ἐφ᾽ ἡμέρῃ ἠδ᾽ ἐπὶ νυκτὶ
Αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι
Σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς·
Οὕτως οὔ τι πη ἐστὶ Διὸς νόον ἐξαλέασθαι.

Hésiode, *les Œuvres et les Jours*
v. 60—105.

Les âges du monde.

Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ᾽ ἄνθρωποι,
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
Ἀθάνατοι ποίησαν ὀλύμπια δώματ᾽ ἔχοντες.
Οἱ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ᾽ οὐρανῷ ἐμβασίλευεν·
Ὡς δὲ θεοὶ ζώεσκον, ἀκηδέα θυμὸν ἔχοντες,

Νόσφιν ἄτερ τε πόνων καὶ οἰζύος· οὐδέ τι δειλὸν
Γῆρας ἐπῆν· αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων·
Θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
Ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν·
Αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
Οἱ μὲν δαίμονες ἁγνοὶ ἐπιχθόνιοι καλέονται,
Ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων,
Οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα
Ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ' αἶαν,
Πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.
Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
Ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
Χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον, οὔτε νόημα.
Ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
Ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ,
Ἀλλ' ὅτ' ἄρ' ἡβήσειε, καὶ ἥβης μέτρον ἵκοιτο,
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
Ἀφραδίαις· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
Ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
Ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
Ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. Τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε, χολούμενος οὕνεκα τιμὰς
Οὐκ ἐδίδουν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Τοὶ μὲν ἐπιχθόνιοι μάκαρες θνητοὶ καλέονται
Δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
Χάλκειον ποίησ', οὐκ ἀργυρῷ οὐδὲν ὁμοῖον,
Ἐκ μελιᾶν, δεινόν τε καὶ ὄβριμον· οἷσιν Ἄρηος

Ἔργ' ἔμελε στονόεντα, καὶ ὕβριες· οὐδέ τι σῖτον
Ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν
Ἄπλατοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσι·
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
Χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος·
Καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρησι δαμέντες
Βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ ἀΐδαο,
Νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
Εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
Αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
Ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
Ἡμίθεοι, προτέρῃ γενεῇ, κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ,
Τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
Ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο (5)·
Τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
Ἐς Τροίην ἀγαγὼν, Ἑλένης ἕνεκ' ἠϋκόμοιο·
Ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε·
Τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης·
Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
Ἐν μακάρων νήσοισι, παρ' ὠκεανὸν βαθυδίνην,
Ὄλβιοι ἥρωες· τοῖσιν μελιηδέα καρπὸν
Τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.
Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι·
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
Παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
Φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας·

Ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
Εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν·
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίϊος, οὐδέ τι παῖδες,
Οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ,
Οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
Μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντ' ἐπέεσσι,
Σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵ γε
Γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
Χειροδίκαι· ἕτερος ἑτέρου πόλιν ἐξαλαπάξει·
Οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
Οὔτ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν ῥεκτῆρα, καὶ ὕβριν
Ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσί, καὶ αἰδὼς
Οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα,
Μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται·
Ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασι
Δυσκέλαδος κακόχαρτος ὁμαρτήσει, στυγερώπης·
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
Ἀθανάτων μετὰ φῦλον ἴτην, προλιπόντ' ἀνθρώπους,
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
Θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

Ibid. v. 108—199.

Sur l'usage des richesses.

(6) Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
Ὄλβον ἐμοὶ πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων
Ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν,
Εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν (7)·

Τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν·
Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
Οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη·
Πλοῦτον δ' ὃν μὲν δῶσι θεοὶ, παραγίγνεται ἀνδρὶ
Ἔμπεδος ἐκ νεάτου πυθμένος εἰς κορυφήν·
Ὃν δ' ἄνδρες τιμῶσιν ὑφ' ὕβριος, οὐ κατὰ κόσμον,
Ἔρχεται· ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος,
Οὐκ ἐθέλων ἕπεται, ταχέως δ' ἀναμίσγεται ἄτῃ·
Ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται, ὥστε πυρὸς,
Φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ·
Οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
Ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος. Ἐξαπίνης δὲ
Ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
Ἠρινὸς, ὃς, πόντου πολυκύμονος ἀτρυγέτοιο
Πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
Δηώσας καλὰ ἔργα, θεῶν ἕδος, αἰπὺν ἱκάνει
Οὐρανὸν, αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν,
Λάμπει δ' ἠελίοιο μένος κατ' ἀπείρονα γαῖαν
Καλὸν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστιν ἰδεῖν·
Τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
Ὥσπερ θνητὸς ἀνὴρ, γίγνεται ὀξύχολος·
Αἰεὶ δ' οὔ τι λέληθε διαμπερὲς, ὅστις ἀλιτρὸν
Θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη.
Ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· ἣν δὲ φύγωσιν
Αὐτοὶ, μηδὲ θεῶν Μοῖρ' ἐπιοῦσα κίχῃ,
Ἤλυθε πάντως αὖτις, ἀναίτιοι ἔργα τίνουσιν
Ἢ παῖδες τούτων, ἢ γένος ἐξοπίσω.
Θνητοὶ δ' ὧδε νοεῦμεν, ὁμῶς ἀγαθός τε κακός τε,
Ἐσθλὴν, ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει,
Πρίν τι παθεῖν· τότε δ' αὖτις ὀδύρεται· ἄχρι δὲ τούτου
Χάσκοντες, κούφαις ἐλπίσι τερπόμεθα·
Χ' ὅστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃς ἐπιέσθη,

Ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·
Ἄλλος, δειλὸς ἐὼν, ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ,
Καὶ καλὸς, μορφὴν οὐ χαρίεσσαν ἔχων·
Εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
Κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ·
Σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
Ἐν νηυσὶ, χρήζων οἴκαδε κέρδος ἄγειν,
Ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
Φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος·
Ἄλλος γῆν τέμνων πολυδένδρεον, εἰς ἐνιαυτὸν
Λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει·
Ἄλλος, Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
Ἔργα δαεὶς, χειροῖν ξυλλέγεται βίοτον·
Ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθη,
Ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
Ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων.
Ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
Ὧι συνομαρτήσουσι θεοί· τὰ δὲ μόρσιμα πάντως
Οὔτε τις οἰωνὸς ῥύσεται, οὔθ' ἱερά·
Ἄλλοι, Παιῶνος (8) πολυφαρμάκου ἔργον ἔχοντες,
Ἰητροὶ, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·
Πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
Κοὐκ ἄν τις λύσαι ἤπια φάρμακα δούς·
Τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
Ἁψάμενος χειροῖν, αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει, ἠδὲ καὶ ἐσθλόν·
Δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων·
Πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε
Ἣ σχήσειν μέλλει, χρήματος ἀρχομένου·
Ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος, οὐ προορήσας,
Ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσε·
Τῷ δὲ καλῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσι

Ὅς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
Ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
  Τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους.
Ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
  Ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν,
Πραθέντες, δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες (12)·

. . . .

Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ·
  Αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι·
Ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,
  Εἴ κέ τις ἢ φεύγων ἐν μυχῷ ᾖ θαλάμῳ (13).
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
  Ὡς κακὰ πλεῖστα πόλει δυσνομία παρέχει,
Εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
  Καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
Τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
  Αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
Εὐθύνει δὲ δίκας σκολιὰς, ὑπερήφανά τ' ἔργα
  Πραΰνει, παύει δ' ἔργα διχοστασίης,
Παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
  Πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

Idem.

La brièveté et les incommodités de la vie.

Ἡμεῖς δ' οἷάτε φύλλα φύει πολυάνθεμος ὥρη
  Ἦρος, ὅτ' ἆψ αὐγῇ αὔξεται ἠελίου,
Τοῖς ἴκελοι, πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
  Τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν,
Οὔτ' ἀγαθόν. Κῆρες δὲ παρεστήκασι μέλαιναι,
  Ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
Ἡ δ' ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίγνεται ἥβης
  Καρπὸς, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος·

Αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
 Αὐτίκα δὴ τεθνάναι βέλτιον, ἢ βίοτος·
Πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε δ' οἶκος
 Τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει·
Ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧντε μάλιστα
 Ἱμείρων κατὰ γῆς ἔρχεται εἰς ἀίδην·
Ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἐστὶν
 Ἀνθρώπων, ᾧ Ζεὺς μὴ κατὰ πολλὰ διδοῖ (14).

MIMNERME.

La vie humaine

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί·
 Ἓν δὲ τὸ κάλλιστον Χῖος (15) ἔειπεν ἀνήρ·
« Οἵηπερ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν· »
 Παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
Στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
 Ἀνδρῶν ἥτε νέων στήθεσιν ἐμφύεται·
Θνητῶν δ' ὄφρα τις ἄνθος ἔχει πολυήρατον ἥβης,
 Κοῦφον ἔχων θυμὸν, πόλλ' ἀτέλεστα νοεῖ·
Οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασσέμεν, οὔτε θανεῖσθαι,
 Οὐδ', ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
Νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδέ τ' ἴσασιν,
 Ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
Θνητοῖς· ἀλλὰ σὺ, ταῦτα μαθὼν, βιότου ποτὶ τέρμα
 Ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

SIMONIDE.

L'amitié.

Πρῆξιν μηδὲ φίλοισιν ὅλως ἀνακοίνεο πᾶσι·
 Παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.
Παύροισιν πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει,
 Μή ποτ' ἀνήκεστον, Κύρνε, λάβῃς ἀνίην.

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
  Ἄξιος, ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.
Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
  Πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,
Οἵτινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
  Ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.
Τοὺς δ' οὐχ εὑρήσεις διζήμενος, οὐδ' ἐπὶ πάντας
  Ἀνθρώπους, οὓς ναῦς μὴ μία πάντας ἄγοι·
Οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
  Αἰδὼς, οὐδ' αἰσχρὸν χρῆμ' ἔπι κέρδος ἄγει.
Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ,
  Εἴ με φιλεῖς, καί σοι πιστὸς ἔνεστι νόος·
Ἤ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
  Ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
Ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
  Δεινὸς, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.
Εἴ τις ἐπαινήσῃ σε τόσον χρόνον ὅσσον ὁρῴης,
  Νοσφισθεὶς δ' ἄλλῃ γλῶσσαν ἵησι κακὴν,
Τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλὸς,
  Ὅς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονεῖ δ' ἕτερα.
Ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον
  Γιγνώσκων ὀργὴν καὶ βαρὺν ὄντα, φέρει
Ἀντὶ κασιγνήτου. Σὺ δέ μοι, φίλε, ταῦτ' ἐνὶ θυμῷ
  Φράζεο, καί ποτέ μου μνήσεαι ἐξοπίσω.
Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
  Κύρνε· τί δ' ἔστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
Οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
  Οὔτε κεν, ἐσθλὸν ἔχων, τοῦ μεταδοῦν' ἐθέλοι.
Δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν·
  Ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
Οὔτε γὰρ ἂν, πόντον σπείρων, βαθὺ λήϊον ἀμῷς.
  Οὔτε, κακοὺς εὖ δρῶν, εὖ πάλιν ἀντιλάβοις.

Ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον· ἢν δ' ἐν ἁμάρτῃς,
  Τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
Οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
  Μνῆμα δ' ἔχουσ' ἀγαθῶν, καὶ χάριν ἐξοπίσω.
Μήποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
  Ἀλλ' αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα.
Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
  Ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι·
Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδὲν,
  Κύρν', οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος.
Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἄνσχετος ἄτη,
  Κύρνε, καὶ ἐξευρεῖν ῥάδιον ἀνδρὶ σοφῷ.
Εἰ δὲ φίλου νοὸς ἀνδρὸς ἐνὶ στήθεσσι λέληθε
  Ψεδνὸς ἐὼν, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχει·
Τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσι,
  Καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
Οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὔτε γυναικὸς,
  Πρὶν πειρηθείης ὥσπερ ὑποζυγίου.
Οὐδέ κεν εἰκάσσαις, ὥσπερ ποτ' ἐς ὥριον ἐλθών·
  Πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.

Théognis.

Préceptes moraux.

Πρῶτα Θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
Πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
Μὴ ῥίψῃς πενίην· ἀδίκως μὴ κρῖνε πρόσωπον·
Ἢν σὺ κακῶς δικάσῃς, σὲ Θεὸς μετέπειτα δικάσσει.
Μαρτυρίην ψευδῆ φεύγειν· τὰ δίκαι' ἀγορεύειν.
Μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπιμέτρον ἅπασι.
Σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν.
Μήτ' ἐπιορκήσῃς, μήτ' ἀγνῶς, μήτε ἑκοντί·

Ψεύδορκον στυγέει Θεὸς ἄμβροτος ὅστις ὀμόσσῃ.
Μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
Γλώσσῃ νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
Μήτ' ἀδικεῖν ἐθέλῃς, μήτ' οὖν ἀδικοῦντα ἐάσῃς.
Πτωχῷ δ' εὐθὺ δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπῃς.
Πληρώσας σέο χεῖρ', ἔλεον χρήζοντι παράσχου.
Ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
Χεῖρα πεσόντι δίδου, σῶσον δ' ἀπερίστατον ἄνδρα.
Κοινὰ πάθη πάντων· ὁ βίος τροχὸς, ἄστατος ὄλβος.
Πλοῦτον ἔχων, σὴν χεῖρα πενητεύοντι ὄρεξον.
Ὧν σοι ἔδωκε Θεὸς, πλοῦτον χρήζουσι παράσχου.
Ἔστω κοινὸς ἅπας ὁ βίος, καὶ ὁμόφρονα πάντα.

. . . .

Μηθ' ἕτερον κεύθοις κραδίῃ νόον, ἄλλ' ἀγορεύων·
Μηδ', ὡς πετροφυὴς πολύπους, κατὰ χῶραν ἀμείβου.
Μὴ γαύρου σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ.
Εἷς Θεός ἐστι σοφὸς, δυνατός θ' ἅμα, καὶ πολύολβος.
Μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ·
Οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ἄρην·
Πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.

. . . .

Θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει.
Ὀργὴ δ' ἐστὶν ὄρεξις· ὑπερβαίνουσα δὲ, μῆνις.
Ζῆλος τῶν ἀγαθῶν, ἐσθλὸς, φαύλων δὲ πονηρός.
Τόλμα κακῶν, ὀλοή· μέγ' ὀφέλλει δ' ἐσθλὰ πονεῦντας.
Μέτρῳ μὲν φαγέειν, πίνειν, καὶ μυθολογεύειν.
Πάντων μέτρον ἄριστον, ὑπερβασίη δ' ἀλεεινή.
Μὴ φθονέσῃς δ' ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς·

. . . .

Σωφροσύνην δ' ἀσκεῖν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
Μὴ μιμοῦ κακότητα, δίκῃ δ' ἀπόλειψον ἀμύναν.

Πειθὼ μὲν γὰρ ὄνειαρ· ἔρις δ' ἔριν ἀντιφυτεύει.
Μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
Νικᾶν εὖ ἔρδοντας ἐπὶ πλεόνεσσι καθήκει.

. . . .

Μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.
Τὴν σοφίην σοφὸς εὐθύνει, τέχνας δ' ὁμότεχνος.
Οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκουή·
Οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.

. . . .

Λαῷ μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος.
Λαός τοι καὶ ὕδωρ καὶ πῦρ, ἀκατάσχετα πάντα.

. . . .

Οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν·
Ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.

. . . .

Φωρῶν μὴ δέξῃ κλοπίμην ἀνδρῶν παραθήκην.
Ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας.

. . . .

Ἐργάζευ, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύῃς·
Πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
Μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης·
Ἀλλ' ἀπὸ οἰκείων βιότων φαγέοις ἀνύβριστος.
Εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλλῃ.
Ἔστι βίῳ πᾶν ἔργον, ἐπὰν μοχθεῖν ἐθέλησθα.
Ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα,
Εἰ δὲ γεωπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
Οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
Οὐδ' αὐτοῖς μακάρεσσι· πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
Μύρμηκες, γαίης μυχάτους προλελοιπότες οἴκους,
Ἔρχονται βιότοιο κεχρημένοι, ὁππότ' ἄρουραι,
Λήϊα κειράμεναι, καρπῶν πλήθουσιν ἀλωάς·
Οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν,

Ἤ κριθῶν· αἰεὶ δὲ φέρων φορέοντα διώκει,
Ἐκ θέρος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες,
Ἄτρυτοι· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
Κάμνει δ' ἠερόφοιτις ἀριστοπόνος τε μέλισσα
Ἠὲ πέτρης κοίλης κατὰ χηραμὸν, ἢ δονάκεσσιν,
Ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος, ἔνδοθι σίμβλων
Σμήνεσι μυριότρητα κατ' ἄγγεα κηροδομοῦσα.

. . . .

Ταῦτα δικαιοσύνης μυστήρια· οἷα βιεῦντες
Ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.

PHOCYLIDE.

Vers dorés.

Ἀθανάτους μὲν πρῶτα θεοὺς, νόμῳ ὡς διάκεινται,
Τίμα, καὶ σέβου ὅρκον· ἔπειθ' ἥρωας ἀγαυούς
Τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων·
Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.
Τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.
Πρᾳέσι δ' εἶκε λόγοις, ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
Ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι. Κρατεῖν δ' εἰθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου, λαγνείης τε
Καὶ θυμοῦ. Πρήξεις δ' αἰσχρόν ποτε, μήτε μετ' ἄλλου,
Μήτ' αὐτός· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε.
Μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι,
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.
Ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ἣν ἂν μοῖραν ἔλῃς, ταύτην φέρε, μηδ' ἀγανάκτει.

Ἰᾶσθαι δὲ πρέπει, καθόσον δύνῃ. Ὧδε δὲ φράζευ·
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
Προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
Εἴργεσθαι σαυτόν. Ψεῦδος δ' ἤν πέρ τι λέγηται,
Πρᾴως ἴσχ'. Ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω·
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
Πρῆξαι μηδ' εἰπεῖν ὅ τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός·
Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσει.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ
Ὅσσα χρεὼν, καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή·
Ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
Ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾷν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
Μηδ' ἀνελεύθερος ἴσθι. Μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε δὲ ταῦθ', ἅ σε μὴ βλάψει· λόγισαι δὲ πρὸ ἔργου
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα,
Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο, χρηστὰ δὲ, τέρπου·
Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾷν σε.
Ταῦτά τε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει,
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν,
Παγὰν ἀενάου φύσεως. Ἀλλ' ἔρχευ ἐπ' ἔργον,
Θεοῖσιν ἐπευξάμενος τελέσαι. Τούτων δὲ κρατήσας,
Γνώσῃ ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων

Σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται·
Γνώσῃ δ', ᾗ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην,
Ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας·
Τλήμονες, οἵτ', ἀγαθῶν πέλας ὄντων, οὐκ ἐσορῶσιν
Οὔτε κλύουσι, λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· οἱ δὲ κύλινδροι
Ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε,
Σύμφυτος, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἦ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
Εἰ πᾶσιν δείξαις, οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω,
Ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων, καὶ φράζευ ἕκαστα,
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ', ἀπολείψας σῶμα, ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος, θεὸς ἄμβροτος, οὐκ ἔτι θνητός (16).

PYTHAGORE.

Épisode de la Vierge.

Ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέψαιο Βοώτου (17)
Παρθένον, ἥ ῥ' ἐν χερσὶ φέρει στάχυν αἰγλήεντα·
Εἴτ' οὖν Ἀστραίου (18) κείνη γένος (ὅν ῥά τέ φασιν
Ἄστρων ἀρχαίων πατέρ' ἔμμεναι), εἴ τέ τευ ἄλλου,
Εὔκηλος φορέοιτο· λόγος γέ μεν ἐντρέχει ἄλλος
Ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη πάρος ἦεν,
Ἤρχετο δ' ἀνθρώπων κατεναντίη· οὐδέποτ' ἀνδρῶν,

Οὐδέποτ' ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν,
Ἀλλ' ἀναμὶξ ἐκάθητο, καὶ ἀθανάτη περ ἐοῦσα.
Καί ἑ Δίκην καλέεσκον· ἀγειρομένη δὲ γέροντας,
Ἠέ που εἰν ἀγορῇ ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ
Δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας.
Οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο,
Οὐδὲ διακρίσιος περιμεμφέος, οὐδὲ κυδοιμοῦ.
Αὔτως δ' ἔζωον. Χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
Καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον,
Ἀλλὰ βόες καὶ ἄροτρα· καὶ αὐτὴ πότνια λαῶν
Μυρία πάντα παρεῖχε Δίκη δώτειρα δικαίων.
Τόφρ' ἦν, ὄφρ' ἔτι γαῖα γένος χρύσειον ἔφερβεν
Ἀργυρέῳ δ' ὀλίγη τε καὶ οὐκέτι πάμπαν ἑτοίμη
Ὡμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν·
Ἀλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν
Ἤρχετο δ' ἐξ ὀρέων ἐπιδείελος ἠχηέντων
Μούναξ· οὐ δή τῳ ἐπεμίσγετο μειλιχίοισιν·
Ἀλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώνας,
Ἠπείλει δ' ἤπειτα καθαπτομένη κακότητος,
Οὐδ' ἔτ' ἔφη εἰσωπὸς ἐλεύσεσθαι καλέουσιν.
Οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
Χειροτέρην· ὑμεῖς δὲ κακώτερα τεξείεσθε.
Καὶ δή που πόλεμοι, καὶ δὴ καὶ ἀνάρσιον αἷμα
Ἔσσεται ἀνθρώποισι· κακὸν δ' ἐπικείσεται ἄλγος.
Ὣς εἰποῦσ' ὀρέων ἐπεμαίετο· τοὺς δ' ἄρα λαοὺς
Εἰς αὐτὴν ἔτι πάμπαν ἐλίμπανε παπταίνοντας.
Ἀλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ' ἐγένοντο,
Χαλκείη γενεὴ, προτέρων ὀλοώτεροι ἄνδρες,
Οἳ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
Εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων·
Καὶ τότε μισήσασα Δίκη κείνων γένος ἀνδρῶν,
Ἔπταθ' ὑπουρανίη· ταύτην δ' ἄρα νάσσατο χώρην

Ἧχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισι
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο βοώτου.

ARATUS, *Phæn.* v. 96—136.

Les chasseurs célèbres.

Νῦν δ' ἄγε μοι, Ζηνὸς θύγατερ, καλλίσφυρε Φοίβη (19)
Παρθένε χρυσομίτρη, δίδυμον γένος Ἀπόλλωνι,
Εἰπέμεναι, μερόπων τίς ἀγασθενέων θ' ἡρώων
Σῆς ἀπὸ χειρὸς ἄειρε μεγακλέα δήνεα θήρης.
Ἀμφὶ πόδας Φολόης (20) ἀνεμώδεος ἄγρια φῦλα
Θηρομιγῆ, μερόπων μὲν ἐπ' ἰξὺν, ἀπ' ἰξυόφιν δὲ
Ἵππων ἡμιβρότων, ἐπιδόρπιον εὕρατο θήρην·
Ἐν μερόπεσσι δὲ πρῶτος ὁ Γοργόνος αὐχένα κόψας,
Ζηνὸς χρυσείοιο πάϊς, κλυτὸς εὕρατο Περσεύς·
Ἀλλὰ ποδῶν κραιπνῇσιν ἀειρόμενος πτερύγεσσι
Καὶ πτῶκας, καὶ θῶας ἐλάζυτο, καὶ γένος αἰγῶν
Ἀγροτέρων, δόρκους τε θοοὺς, ὀρύγων τε γένεθλα (21),
Ἠδ' αὐτῶν ἐλάφων στικτῶν αἰπεινὰ κάρηνα.
Ἱππαλέην δ' ἄγρην ὁ φαεσφόρος εὕρατο Κάστωρ,
Καὶ τοὺς μὲν κατέπεφνεν, ἐπὶ σκοπὸν ἰθὺς ἄκοντι
Βαλλόμενος, τοὺς δ' αὖτε θοοῖς ἵπποισιν ἐλαύνων
Θῆρας ἕλε ξυλόχοισι μεσημβρινοῖο δρόμοιο·
Πρὸς δὲ μόθους θηρῶν κύνας ὥπλισε καρχαρόδοντας
Διογενὴς πρῶτος Λακεδαιμόνιος Πολυδεύκης·
Καὶ γὰρ πυγμαχίῃσι (22) λυγροὺς ἐναρίξατο φῶτας,
Καὶ σκυλάκεσσι θοαῖς βαλίους ἐδαμάσσατο θῆρας.
Ἔξοχα δ' ἐν σταδίοισιν ὀρειοτέροισι μόθοισιν
Οἰνείδης ἤστραψεν ἐνυάλιος Μελέαγρος.
Ἄρκυας αὖτε βρόχους τε, καὶ ἀγκύλα δίκτυα πρῶτος
Ἱππόλυτος μερόπεσσιν ἐπακτήρεσσιν ἔφηνε.
Σχοινῆος πρώτη δὲ κλυτὴ θυγάτηρ Ἀταλάντη

Θηρσὶ φόνον πτερόεντα συνβόλος εὕρατο κούρη (23).
Νυκτερίους δὲ λόχους, νυχίην πανεπίκλοπον ἄγρην
Ὠρίων πρώτιστος ἐμήσατο κερδαλεόφρων.
Τόσσοι μὲν θήρης κρατεροὶ πάρος ἡγεμονῆες·
Πολλοὺς δ' αὖ μετόπισθεν ἔρως ἐδαμάσσατο δριμύς·
Οὐ γάρ τις κέντροισι δαμεὶς ἄγρης ἐρατεινῆς
Αὖτις ἑκὼν λείψειεν, ἔχει δέ μιν ἄσπετα δεσμά.
Οἷος μὲν γλυκὺς ὕπνος ἐπ' ἄνθεσιν εἴαρος ὥρη!
Οἵη δ' αὖτε θέρευς γλυκερὴ σπήλυγγι χαμεύνη!
Οἵη δ' ἐν σκοπέλοισιν ἐπακτήρεσσι πάσασθαι
Τερπωλή! πόσση δὲ χάρις κείνοισιν ὀπηδεῖ
Αὖτις δρεψαμένοισι μελιχρῆς ἄνθος ὀπώρης!
Ψυχρὸν δ' ἐξ ἄντροιο προχεύμενον ἄργυφον ὕδωρ
Οἷον κεκμηῶσι ποτὸν, γλυκερόν τε λοετρόν!
Οἷα δ' ἐνὶ ξυλόχοις κεχαρισμένα δῶρα φέρουσιν
Ἐν γλυκεροῖς ταλάροισι παρ' αἰπολίοισι νομῆες!

Oppien, *Cynégétiques* II. v. 1—42

Combat de taureaux.

Ἀλλ' ἄγε δὴ ταύρων ζηλήμονα πάγχυ γενέθλην
Πρῶτον ἀείδωμεν, καὶ μυρίον ἔξοχα νεῖκος,
Οἷον ὑπὲρ θαλάμοιο πανάγρια δηρίσαντο·
Εἷς βασιλεὺς ἀγέληφι τυραννεύων, ὅχ' ἄριστος,
Βαιοτέροις ταύροις καὶ θηλυτέρῃσιν ἀνάσσει·
Πέφρικεν δ' ἀγέλη κεραὸν μέγαν ἡγεμονῆα·
Αἳ δ' αὖτε τρομέουσιν ἑὸν πόσιν ἀγριόωντα,
Ὁππότε μυκήσαιντ' ἄγριοι βόες. Ἀλλ' ὅτ' ἐπ' ἄλλῳ
Ταῦρος ἀποκριθεὶς ἀγέλης, πλατὺν αὐχένα σείων
Οἷος ἴῃ, κἀκεῖνος ἄναξ σφετέροισιν ἀνάσσων,
Δὴ τότ' ἐπ' ἀμφοτέροισιν ὑπέρβιος ἵστατ' ἐνυώ.
Πρῶτα μὲν ἀντίπρωρον ἐς ἀλλήλους ὁρόωντες

Ἄγρια θυμαίνοντι χόλῳ μέγα παιφάσσουσι,
Καὶ πυρόεν πνείουσι, καὶ ἀμῶνται ποσὶ γαῖαν,
Οἷα κονιόμενοι, προκαλίζονται δ' ἑκάτερθεν,
Ὀξέα κεκλήγοντες ἐνυαλίῃσιν αὔταῖς.
Αὐτὰρ ἐπεὶ σάλπιγξαν ἐφ' ὑσμίνην ἀλεγεινὴν,
Ἄσχετον ἀΐσσουσιν, ἑοῖσι δ' ἄφαρ κεράεσσι
Πᾶν δέμας ἀλλήλοισιν ἀμοιβαδὶς οὐτάζουσιν·
Οἷα δ' ἐνὶ πτολέμῳ βυθίῳ, ὅτε ναύμαχος Ἄρης
Δῆριν ἀείρηται, δοιαὶ παννυπείροχα νῆες
Στράπτουσαι θαμινοῖσιν ἐναντίον ὁπλίτῃσιν
Ἀντίβιον πρώρῃσι μετωπαδὸν ἐγχρίμπτονται,
Σπερχόμεναι πνοιῇ τε λάβρῳ παλάμῃφί τε ναυτῶν·
Ἔντεσι χαλκείοις δὲ περιβρέμεται κτύπος ἀνδρῶν,
Νηῶν τ' ἀγνυμένων, στένεται δ' ὅλος οἴδματι Νηρεύς·
Τοῖος καὶ ταύροισιν ἐς αἰθέρα δοῦπος ἱκάνει
Θεινόντων ἄμοτον καὶ θεινομένων κεράεσσιν,
Εἰσόκε δή τις ἕλῃσι φίλην ἑτεραλκέα νίκην.
Αὐτὰρ ὅγ' οὔτι φέρει δοῦλον ζυγὸν, αἰδόμενος δὲ
Καὶ βαρέα στενάχων ἐπὶ δάσκιον ἤλυθεν ὕλην·
Οἷος δ' ἐν σκοπέλοισι περιπλομένων ἐνιαυτῶν
Φέρβετ' ὀρειαύλοισιν ἀποσταδὸν ἐν ξυλόχοισιν,
Οἷά τις ἀθλεύων· βριαρὸν δ' ὅτε κάρτος ἴδηται
Καὶ σθένος ἀμφήριστον, ἀνέκραγεν αὐτίκ' ὄρεσφιν·
Αὐτὰρ ὅδ' ἀντήϋσεν, ἐπεσμαράγησέ τε δρυμῶν·
Ἀλλ' ὅτε θαρσήσειε κραταιοτέρῃσιν αὔταῖς,
Δή ῥα τότ' ἐξ ὀρέων ἐπὶ δήϊον αὐτὸς ἱκάνει·
Ῥεῖα δ' ἕλεν· φορβαῖς γὰρ ἑὸν δέμας ἐξήσκησε
Τηλόθ' ἐνὶ δρυμοῖσι σθενοβλαβέος Κυθερείης.

Idem II. v. 43—82

NOTES

DE LA POÉSIE DIDACTIQUE.

(1) C'est Jupiter qui donna cet ordre; irrité de ce que Prométhée avait eu la hardiesse de former un homme et de dérober le feu du ciel.

(2) *Argiphonte*, surnom de Mercure, parce qu'il avait tué Argus, fils d'Arestor. Junon avait confié à cet Argus la garde d'Io, métamorphosée en vache. Mercure l'endormit au son de sa flûte, et lui coupa la tête. (Voyez *Dict. Myth.* de M. Noël.)

(3) Pitho, déesse de la persuasion. (Voyez note 41 sur la poésie épique.)

(4) Épiméthée, frère de Prométhée. C'est lui qui forma les imprudens et les stupides. Il épousa Pandore, dont il eut Pyrrha, nommée de là Épiméthis (Voyez *ibidem.*)

(5) Il s'agit des généraux qui combattirent sous les murs de Thèbes pendant la guerre d'Étéocle et de Polynice. Μήλων signifie ici non-seulement les brebis, mais la puissance et toutes les possessions d'OEdipe. (Voyez *Annot. in Hes.*)

(6) Mnémosyne, aimée de Jupiter, accoucha des neuf Muses sur le mont *Piérus*, d'où elles furent surnommées Piérides. (Voyez *Dict. Myth.* de M. Noël.)

(7) Un des plus grands sages de l'antiquité, Solon

adresse à ses dieux une semblable prière. Avouons-le, il n'appartenait qu'à une religion descendue du ciel d'enseigner aux hommes à aimer leurs ennemis.

(8) Surnom d'Apollon, dieu de la Médecine.

(9) Née d'un père puissant. Cette épithète convient très-bien à Minerve, fille de Jupiter.

(10) Il y a ici une lacune dans les morceaux de Solon.

(11) Cette image de la Justice, observant dans le silence le passé et l'avenir, et atteignant de ses vengeances ceux qui l'ont outragée, est belle et mérite d'être remarquée.

(12) Il y a encore ici une lacune dans les morceaux de Solon.

(13) Images vives et énergiques que Tite-Live a imitées dans ce passage : « *Antè portas est bellum; si » indè non pellitur, jam intrà mœnia erit, et arcem et » Capitolium scandet, et in domos vestras vos perse» quetur.* » (Q. Cap. Orat. ad Rom.)

(14) Ce mélange de biens et de maux, qui se partagent la vie humaine, serait sans doute affligeant, mais ne l'oublions pas : « Il n'est point de bonheur » parfait sur la terre, parce que ce n'est pas ici le temps » des consolations, mais des peines. (Massillon.) — » C'est ce que les anciens sages n'avaient pu comprendre par les seules lumières de la philosophie.

(15) Homère. Chio prétendait à la gloire de lui avoir donné le jour.

(16) Tous ces préceptes respirent la plus saine morale; et c'est avec raison que cette pièce a toujours été regardée comme ce qu'ont produit de plus parfait en ce genre les philosophes de l'antiquité.

(17) Bootes ou Bouvier, constellation placée près de la grande Ourse.

(18) Astrée, l'un des Titans, père des Vents et des Astres, qu'il eut de l'Aurore.

(19) Diane, divinité tutélaire des chasseurs.

(20) Pholoé, montagne de la Thessalie où les Centaures habitaient ordinairement.

(21) Espèce de chèvre qui n'a qu'une corne, dont le pied est fourchu, et qui a la pointe du poil tournée vers la tête.

(22) Pollux se distingua par sa force athlétique, surtout au pugilat.

(23) A cause de la rapidité avec laquelle Atalante poursuivait les animaux à la chasse : elle était si légère à la course, que les hommes les plus agiles ne pouvaient l'atteindre.

POÉSIE LYRIQUE.

Hymne à Jupiter.

Κύδιστ' ἀθανάτων, πολυώνυμε (1), παγκρατὲς αἰεὶ,
Ζεῦ, φύσεως ἀρχηγὲ, νόμου μέτα πάντα κυβερνῶν,
Χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾷν.
Ἐκ σοῦ γὰρ γένος ἐσμὲν, ἰῆς μίμημα λαχόντες
Μοῦνοι, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν.
Τῷ σε καθυμνήσω, καὶ σὸν κράτος αἰὲν ἀείσω·
Σοὶ δὴ πᾶς ὅδε κόσμος ἑλισσόμενος περὶ γαῖαν
Πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται·
Τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν
Ἀμφηκῆ, πυρόεντα, ἀεὶ ζώοντα κεραυνόν·
Τοῦ γὰρ ὑπὸ πληγῇς φύσεως πάντ' ἐῤῥίγασιν,
Ὧι σὺ κατευθύνεις κοινὸν λόγον (2), ὃς διὰ πάντων
Φοιτᾷ, μιγνύμενος μεγάλοις μικροῖς τε φάεσσιν.
Ὡς τόσσος γεγαὼς, ὕπατος βασιλεὺς διὰ παντὸς,
Οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
Οὔτε κατ' αἰθέριον θεῖον πόλον, οὔτ' ἐπὶ πόντῳ,
Πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις·
Ἀλλὰ σὺ καὶ τὰ περισσὰ ἐπίστασαι ἄρτια θεῖναι,
Καὶ κοσμεῖν τὰ ἄκοσμα, καὶ οὐ φίλα σοι φίλα ἐστίν·
Ὧδε γὰρ εἰς ἓν ἅπαντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,
Ὥσθ' ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα,
Ὃν φεύγοντες ἐῶσιν, ὅσοι θνητῶν κακοί εἰσι·
Δύσμοροι, οἵτ' ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες,
Οὔτ' ἐσορῶσι θεοῦ κοινὸν νόμον, οὔτε κλύουσιν,
Ὧι κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν·
Αὐτοὶ δ' αὖθ' ὁρμῶσιν ἄνευ καλοῦ ἄλλος ἐπ' ἄλλα,

Λύματα χυτλώσαιτο, τεὸν δ' ἐνὶ χρῶτα λοέσσαι.
(13) Λάδων ἀλλ' οὔπω μέγας ἔῤῥεεν, οὐδ' Ἐρύμανθος (14)
Λευκότατος ποταμῶν. Ἔτι δ' ἄβροχος ἦεν ἅπασα
Ἀρκαδίη· μέλλεν δὲ μάλ' εὔυδρος καλέεσθαι
Αὖτις. Ἐπεὶ τῆμόσδε, Ῥέη ὅτ' ἐλύσατο μίτρην,
Ἦ πολλὰς ἐφύπερθε σαρωνίδας ὑγρὸς Ἰάων
Ἤειρεν, πολλὰς δὲ μέλας ὤκχησεν ἁμάξας,
Πολλὰ δὲ Καρίωνος ἄνω, διεροῦ περ ἐόντος,
Ἰλυοὺς ἐβάλοντο κινώπετα· νίσσετο δ' ἀνὴρ
Πεζὸς ὑπὲρ Κρᾶθίν τε πολύστειόν τε Μετώπην (15)
Διψαλέος· τὸ δὲ πολλὸν ὕδωρ ὑπὸ ποσσὶν ἔκειτο.
Καί ῥ' ὑπ' ἀμηχανίης σχομένη φάτο πότνια Ῥείη·
« Γαῖα φίλη, τέκε καὶ σύ· τεαί δ' ὠδῖνες ἐλαφραί. »
Εἶπε, καὶ, ἀντανύσασα θεὰ μέγαν ὑψόθι πῆχυν,
Πλῆξεν ὄρος σκήπτρῳ. Τὸ δέ οἱ δίχα πουλὺ διέστη,
Ἐκ δ' ἔχεεν μέγα χεῦμα. Τόθι χρόα φαιδρύνασα,
Ὦ 'να, τεὸν σπείρωσε, Νέδῃ (16) δέ σε δῶκε κομίσσαι
Κευθμὸν ἔσω Κρηταῖον, ἵνα κρύφα παιδεύοιο,
Πρεσβυτάτῃ νυμφέων αἵ μιν τότε μαιώσαντο,
Πρωτίστῃ γενεῆφι μετὰ Στύγα (17) τε Φιλύρην τε (18)
Οὐδ' ἁλίην ἀπέτισε θεὴ χάριν, ἀλλὰ τὸ χεῦμα
Κεῖνο Νέδην ὀνόμηνε· τὸ μέν ποθι πουλὺ κατ' αὐτὸ
Καυκώνων πτολίεθρον, ὃ Λέπρειον πεφάτισται,
Συμφέρεται Νηρῆϊ· παλαιότατον δέ μιν ὕδωρ
Υἱωνοὶ πίνουσι Λυκαονίης ἄρκτοιο (19).
Εὖτε Θενὰς ἀπέλειπεν ἐπὶ Κνωσσοῖο φέρουσα,
Ζεῦ πάτερ, ἡ νύμφη σε, (Θεναὶ δ' ἔσαν ἐγγύθι Κνωσσοῦ) (20)
Τουτάκι τοι πέσε, δαῖμον, ἀπ' ὀμφαλός· ἔνθεν ἐκεῖνο
Ὀμφάλιον μετέπειτα πέδον καλέουσι Κύδωνες (21).
Ζεῦ, σὲ δὲ Κυρβάντων ἕταραι προσεπηχύναντο
Δικταῖαι Μελίαι, σὲ δὲ κοίμισεν Ἀδρήστεια (22)
Λίκνῳ ἐνὶ χρυσέῳ· σὺ δ' ἐθήσαο πίονα μαζὸν

Δῶκας δὲ πτολίεθρα φυλασσέμεν· ἵζεο δ' αὐτὸς
Ἄκρης ἐν πτολίεσσιν, ἐπόψιος οἵ τε δίκῃσι
Λαὸν ὑπὸ σκολιῇς, οἵ τ' ἔμπαλιν ἰθύνουσιν.
Ἐν δὲ ῥυηφενίην ἔβαλες σφίσιν, ἐν δ' ἅλις ὄλβον,
Πᾶσι μὲν, οὐ μάλα δ' ἶσον. Ἔοικε δὲ τεκμήρασθαι
Ἡμετέρῳ μεδέοντι (25)· περὶ πρὸ γὰρ εὐρὺ βέβηκεν.
Ἑσπέριος κεῖνός γε τελεῖ τά κεν ἠοῖ νοήσῃ·
Ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ', εὖτε νοήσῃ.
Οἱ δὲ τὰ μὲν πλειῶνι, τὰ δ' οὐχ ἑνί· τῶν δ' ἀπὸ πάμπαν
Αὐτὸς ἄνην ἐκόλουσας, ἐνέκλασας δὲ μενοινήν.
Χαῖρε μέγα, Κρονίδη πανυπέρτατε, δῶτορ ἐάων,
Δῶτορ ἀπημονίης. Τεὰ δ' ἔργματα τίς κεν ἀείδοι;
Οὐ γένετ', οὐκ ἔσται· τίς κεν Διὸς ἔργματ' ἀείσει;
Χαῖρε, πάτερ, χαῖρ' αὖθι· δίδου δ' ἀρετήν τ' ἄφενός τε.
Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

CALLIMAQUE.

Hymne à Apollon.

Οἷον ὁ τῶ 'πόλλωνος ἐσείσατο δάφνινος ὄρπηξ!
Οἷα δ' ὅλον τὸ μέλαθρον! Ἑκὰς, ἑκὰς, ὅστις ἀλιτρός.
Καὶ δήπου τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει.
Οὐχ ὁράας; ἐπένευσεν ὁ Δήλιος (26) ἡδύ τι φοῖνιξ
Ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
Αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
Αὐταὶ δὲ κληῖδες· ὁ γὰρ θεὸς οὐκέτι μακράν.
Οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
Ὡ 'πόλλων οὐ παντὶ φαείνεται, ἀλλ' ὅ τις ἐσθλός.
Ὅς μιν ἴδῃ, μέγας οὗτος· ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
Ὀψόμεθ', ὦ Ἑκάεργε, καὶ ἐσσόμεθ' οὔποτε λιτοί.
Μήτε σιωπηλὴν κίθαριν, μήτ' ἄψοφον ἴχνος

Τοῦ Φοίβου τοὺς παῖδας ἔχειν ἐπιδημήσαντος,
Εἰ τελέειν μέλλουσι γάμον, πολιήν τε κερεῖσθαι,
Ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις.
Ἠγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκέτ' ἀεργός.
Εὐφημεῖτ' ἀΐοντες ἐπ' Ἀπόλλωνος ἀοιδῇ.
Εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ
Ἢ κίθαριν, ἢ τόξα, Λυκωρέος (27) ἔντεα Φοίβου.
Οὐδὲ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
Ὁππότ' « ἰὴ παιῆον, ἰὴ παιῆον » ἀκούσῃ.
Καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
Ὅστρις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐστήρικται,
Μάρμαρον ἀντὶ γυναικὸς ὀϊζυρόν τι χανούσης (28).
Ἰὴ, ἰὴ φθέγγεσθε· κακὸν μακάρεσσιν ἐρίζειν.
Ὃς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ (29) μάχοιτο·
Ὅςτις ἐμῷ βασιλῆϊ, καὶ Ἀπόλλωνι μάχοιτο.
Τὸν χορὸν ὠ 'πόλλων, ὅτι οἱ κατὰ θυμὸν ἀείδει,
Τιμήσει· δύναται γὰρ, ἐπεὶ Διῒ δεξιὸς ἧσται.
Οὐδ' ὁ χορὸς τὸν Φοῖβον ἐφ' ἓν μόνον ἦμαρ ἀείσει.
Ἔστι γὰρ εὔϋμνος· τίς ἂν οὐ ῥέα Φοῖβον ἀείδοι;
Χρύσεα τῷ 'πόλλωνι, τό τ' ἐνδυτὸν, ἥ τ' ἐπιπορπὶς,
Ἥ τε λύρη, τό τ' ἄεμμα τὸ Λύκτιον (30), ἥ τε φαρέτρη·
Χρύσεα καὶ τὰ πέδιλα· πολύχρυσος γὰρ Ἀπόλλων (31),
Καί τε πολυκτέανος· Πυθῶνί κε τεκμήραιο.
Καί κεν ἀεὶ καλὸς καὶ ἀεὶ νέος· οὔποτε Φοίβου
Θηλείαις, οὐδ' ὅσσον, ἐπὶ χνόος ἦλθε παρειαῖς (32)·
Αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
Οὐ λίπος Ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι (33),
Ἀλλ' αὐτὴν πανάκειαν· ἐν ἄστεϊ δ', ᾧ κεν ἐκεῖναι
Πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ' ἐγένοντο.
Τέχνῃ δ' ἀμφιλαφὴς οὔ τις τόσον, ὅσσον Ἀπόλλων.
Κεῖνος ὀϊστευτὴν ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν·
Φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή.

Κείνου δὲ θριαὶ, καὶ μάντιες· ἐκ δέ νυ Φοίβου
Ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον καὶ Νόμιον κικλήσκομεν, ἐξέτι κείνου,
Ἐξότ' ἐπ' Ἀμφρυσῷ (34) ζευγήτιδας ἔτρεφεν ἵππους.
Ῥεῖά κε βουβόσιον τελέθοι πλέον, οὐδέ κεν αἶγες
Δεύοιντο βρεφέων ἐπὶ μηκάδες, ᾗσιν Ἀπόλλων
Βοσκομένῃς ὀφθαλμὸν ἐπήγαγεν· οὐδ' ἀγάλακτες
Οἶϊες, οὐδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι,
Ἡ δέ κε μουνοτόκος διδυματόκος αἶψα γένοιτο.
Φοίβῳ δ' ἑσπόμενοι πόλιας διεμετρήσαντο
Ἄνθρωποι· Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ
Κτιζομέναις, αὐτὸς δὲ θεμείλια Φοῖβος ὑφαίνει.
Τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
Καλῇ ἐν Ὀρτυγίῃ (35), περιηγέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
Κυνθιάδων (36) φορέεσκεν, ὁ δ' ἔπλεκε βωμὸν Ἀπόλλων.
Δείματο μὲν κεράεσσιν ἐδέθλια, πῆξε δὲ βωμὸν
Ἐκ κεράων, κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
Ὧδ' ἔμαθεν ταπρῶτα θεμείλια Φοῖβος ἐγείρειν.
Φοῖβος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάττῳ (37)·
Καὶ Λιβύην ἐσιόντι κόραξ (38) ἡγήσατο λαῷ
Δεξιὸς οἰκιστήρ· καὶ ὤμοσε τείχεα δώσειν
Ἡμετέροις βασιλεῦσιν· ἀεὶ δ' εὔορκος Ἀπόλλων.
Ὦ 'πόλλον, πολλοί σε Βοηδρόμιον (39) καλέουσι,
Πολλοὶ δὲ Κλάριον (πάντη δέ τοι οὔνομα πουλὺ),
Αὐτὰρ ἐγὼ Καρνεῖον (40)· ἐμοὶ πατρώϊον οὕτω.
Σπάρτη (41) τοι, Καρνεῖε, ποτὲ πρώτιστον ἔδεθλον,
Δεύτερον αὖ Θήρη, τρίτατόν γε μὲν ἄστυ Κυρήνης.
Ἐκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο (42)
Ἤγαγε Θηραίην ἐς ἀπόκτισιν, ἐκ δέ σε Θήρης
Οὖλος Ἀριστοτέλης (43) Ἀσβυστίδι πάρθετο γαίῃ (44).
Δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον, ἐν δὲ πόληϊ

Θῆκε τελεσφορίην ἐπετήσιον, ᾗ ἔνι πολλοὶ
Ὑστάτιον πίπτουσιν ἐπ' ἰχίον, ὦ ἄνα, ταῦροι.
Ἰὴ, ἰὴ, Καρνεῖε πολύλλιτε! σεῖο δὲ βωμοὶ
Ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι, τόσσα περ Ὧραι
Ποικίλ' ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσην,
Χείματι δὲ κρόκον ἡδύν· ἀεὶ δέ τοι ἀέναον πῦρ,
Οὐδέ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
Ἦ ῥ' ἐχάρη μέγα Φοῖβος, ὅτε ζωστῆρες Ἐνυοῦς
Ἀνέρες ὠρχήσαντο μετὰ ξανθῇσι Λιβύσσης,
Τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον ὧραι.
Οἱ δ' οὔπω πηγῆς Κυρῆς ἐδύναντο πελάσσαι
Δωριέες (45), πυκινὴν δὲ νάπαις Ἄζιλιν ἔναιον (46).
Τοὺς μὲν ἄναξ ἴδεν αὐτὸς (47), ἑῇ δ' ἐπεδείξατο νύμφῃ,
Στὰς ἐπὶ Μυρτούσης (48) κερατώδεος· ᾗχι λέοντα
Ὑψηΐς (49) κατέπεφνε, βοῶν σίνιν (50) Εὐρυπύλοιο (51).
Οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον Ἀπόλλων,
Οὐδὲ πόλει τόσ' ἔνειμεν ὀφέλσιμα τόσσα Κυρήνῃ,
Μνωόμενος προτέρης ἁρπακτύος (52)· οὐδὲ μὲν αὐτοὶ
Βαττιάδαι (53) Φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
« Ἰὴ ἰὴ παιῆον » ἀκούομεν· οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαὸς,
Ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ,
Αἰνὸς ὄφις. Τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ' ἄλλῳ
Βάλλων ὠκὺν ὀϊστόν· ἐπηΰτησε δὲ λαός,
« Ἰὴ ἰὴ παιῆον! ἵει βέλος· εὐθύ σε μήτηρ
Γείνατ' ἀοσσητῆρα. » τὸ δ' ἐξ ἔτι κεῖθεν ἀείδῃ.
Ὁ φθόνος (54) Ἀπόλλωνος ἐπ' οὔατα λάθριος εἶπε·
« Οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς οὐδ', ὅσα πόντος, ἀείδει (55) ».
Τὸν φθόνον ὡ 'πόλλων ποδί τ' ἤλασεν, ὧδέ τ' ἔειπεν·
« Ἀσσυρίου ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ
Λύματα γῆς καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.

Δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι Μέλισσαι,
Ἀλλ' ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
Πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον. »
Χαῖρε, ἄναξ. Ὁ δὲ Μῶμος, ἵν' ὁ φθόρος, ἔνθα νέοιτο.

Idem.

Hymne aux Muses.

Ὑμνέομεν, μερόπων ἀναγώγιον ὑμνέομεν φῶς,
Ἐννέα θυγατέρας μεγάλου Διὸς ἀγλαοφώνους,
Αἳ ψυχὰς, κατὰ βένθος ἀλωομένας βιότοιο,
Ἀχράντοις τελετῇσιν ἐγερσινόων ἀπὸ βίβλων,
Γηγενέων ῥύσαντο δυσαντήτων ὀδυνάων,
Καὶ σπεύδειν ἐδίδαξαν ὑπὲρ βαθυχεύμονα λήθην
Ἴχνος ἔχειν, καθαρὰς δὲ μολεῖν ποτὶ σύννομον ἄστρον (56)
Ἔνθεν ἀπεπλάγχθησαν, ὅτ' εἰς γενεθλήϊον ἀκτὴν
Κάππεσον, ὑλοτραφέσσι περὶ κλήροισι μανεῖσαι·
Ἀλλὰ, θεαὶ, καὶ ἐμεῖο πολυπτοίητον ἐρωὴν
Παύσατε, καί νοεροῖς με σοφῶν βακχεύσατε μύθοις·
Μηδέ μ' ἀποπλάγξειεν ἀδεισιθέων γένος ἀνδρῶν
Ἀτραπιτοῦ ζαθέης, ἐριφεγγέος, ἀγλαοκάρπου·
Αἰεί δ' ἐξ ὁμάδοιο πολυπλάγκτοιο γενέθλης
Ἕλκετ' ἐμὴν ψυχὴν παναλήμονα πρὸς φάος ἁγνὸν,
Ὑμετέρων βρίθουσαν ἀεξινόων ἀπὸ βίβλων,
Καὶ κλέος εὐεπίης φρενοθελγέος αἰὲν ἔχουσαν.

Hymne aux Dieux.

Κλῦτε, θεοὶ (57), σοφίης ἱερῆς οἴηκας (58) ἔχοντες,
Οἳ ψυχὰς μερόπων, ἀναγώγιον ἀψάμενοι πῦρ,
Ἕλκετ' ἐς ἀθανάτους, σκότιον κευθμῶνα λιπούσας,
Ὕμνων ἀῤῥήτοισι καθηράμενοι τελετῇσι·
Κλῦτε, σαωτῆρες μεγάλοι, ζαθέων δ' ἀπὸ βίβλων
Νεύσατ' ἐμοὶ φάος ἁγνὸν, ἀποσκεδάσαντες ὁμίχλην,

Ὄρρα κεν εὖ γνοίην θεὸν ἄμβροτον ἠδὲ καὶ ἄνδρα·
Μηδ' ἐμὲ ληθαίοις ὑπὸ χεύμασιν οὐλοὰ ῥέζων
Δαίμων (59) αἰὲν ἔχοι, μακάρων ἀπάνευθεν ἐόντα
Μὴ κρυερῆς γενέθλης ἐνὶ κύμασι πεπτωκυῖαν
Ψυχὴν οὐκ ἐθέλουσαν ἐμὴν ἐπὶ δηρὸν ἀλᾶσθαι
Ποινή τις κρυόεσσα βίου δεσμοῖσι πεδήσῃ·
Ἀλλὰ, θεοὶ, σοφίης ἐπιλαμπέος ἡγεμονῆες,
Κέκλυτ', ἐπειγομένῳ δὲ πρὸς ὑψιφόρητον ἀταρπὸν
Ὄργια καὶ τελετὰς ἱερῶν ἀναφαίνετε μύθων.

PROCLUS.

Hymne à Neptune.

Ὕψιστε θεῶν,
Πόντιε, χρυσοτρίαινα Πόσειδον,
Γαιήοχ', ἐγκύμον' ἀν' ἅλμαν
Βραγχίοις περὶ δή σε πλωτοὶ
Θῆρες χορεύουσιν ἐν κύκλῳ,
Κούφοισι ποδῶν
Ῥίμμασιν ἐλάφρ' ἀναπαλλόμενοι σεισμῷ,
Φριξαύχενες ὠκύδρομοι σκύλακες,
Φιλόμουσοι δελ-
φῖνες, ἔναλα θρέμματα κουρᾶν
Νηρηΐδων θεᾶν,
Ἃς ἐγείνατ' Ἀμφιτρίτα·
Οἵ μ' εἰς Πέλοπος γᾶν ἐπὶ Ταιναρίαν
Ἀκτὰν ἐπορεύσατε,
Πλαζόμενον Σικελικῷ ἐνὶ πόντῳ,
Κύρτοισι νώτοις ὀχέοντες,
Ἄλοκα Νηρείας πλακὸς
Τέμνοντες, ἀστιβῆ πόρον,

Φῶτες δόλιοι
Ὥς μ' ἀφ' ἁλιπλόου γλαφυρᾶς νεὼς
Εἰς οἶδμ' ἁλιπορφύρου
Λίμνας ἔριψαν.

Arion.

Hymne à Vénus.

Ποικιλόθρον', ἀθάνατ' Ἀφροδίτα,
Παῖ Διὸς δολοπλόκε, λίσσομαί σε,
Μή μ' ἄσαισι, μηδ' ἀνίαισι δάμνα,
Πότνια, θυμόν.

Ἀλλὰ τυῖδ' ἔλθ' αἴποκα κἀτέρωτα
Τᾶς ἐμᾶς αὐδᾶς ἀΐοισα πολλὺ
Ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα
Χρύσεον, ἦλθες,

Ἄρμ' ὑποζεύξασα· καλοὶ δέ σ' ἆγον
Ὠκέες στρωθοὶ (60), περὶ γᾶς μελαίνας
Πυκνὰ δινεῦντες πτέρ' ἀπ' ὠρανῶ αἰθέ-
ρος διὰ μέσσω.

Αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
Μειδιάσασ' ἀθανάτῳ προσώπῳ,
Ἤρε' ὅττι δ' ἦν τὸ πέπονθα, κὤττι
Δὴν τε κάλημμι·

Κ' ὤττι ἐμῷ μάλιστα θέλω γενέσθαι
Μαινόλᾳ θυμῷ, τίνα δ' αὖτε πειθὼ
Καὶ σαγηνεῦσαν φιλότητα· « Τίς σ', ὦ
» Σάπφ', ἀδικηεῖ;

» Καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει·
» Αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
» Αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλάσει,
» Κ'οὐκ ἐθέλοισαν. »

Ἐλθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
Ἐκ μεριμνᾶν· ὅσσα δέ μοι τελέσσαι
Θῦμος ἱμέῤῥει, τέλεσον, σὺ δ' αὐτὰ
Σύμμαχος ἔσσο.

SAPHO.

Hymne en l'honneur de Rome.

Χαῖρέ μοι, Ῥώμα (61), θυγάτηρ Ἄρηος
Χρυσεομίτρα, δαΐφρων ἄνασσα,
Σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς ὄλυμπον
Αἰὲν ἄθραυστον·

Σοὶ μόνᾳ πρεσβεῖτα δέδωκε Μοῖρα
Κῦδος ἀῤῥήκτω βασιλῆον ἀρχᾶς,
Ὄφρα κοιρανῆον ἔχοισα κάρτος
Ἁγεμονεύῃς.

Σᾷ δ' ὑπὸ σδεύγλᾳ κρατερῶν λεπάδνων
Στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
Σφίγγεται· σὺ δ' ἀσφαλέως κυβερνᾷς
Ἄστεα λαῶν.

Πάντα δὲ σφάλλων ὁ μέγιστος αἰὼν,
Καὶ μεταπλάσσων βίον ἄλλοτ' ἄλλως,
Σοὶ μόνᾳ πλησίστιον οὖρον (62) ἀρχᾶς
Οὐ μεταβάλλει.

Ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίστους
Ἄνδρας αἰχματὰς, μεγάλους, λοχεύεις,
Εὔσταχυν, Δάματρος ὅπως, ἀνεῖσα
Καρπὸν ἀπ' ἀνδρῶν.

MÉLINNO.

Plaintes de Danaé.

Ὅτε λάρνακι ἐν δαιδαλέᾳ ἄνεμος
Βρέμει πνέων, κινηθεῖσα δὲ λίμνα.
Δείματι ἔριπεν, οὔτ' ἀδιάντοισι
Παρειαῖς (63), ἀμφί τε Περσεῖ βάλε
Φίλαν χέρα, εἶπέν τε· « Ὦ τέκος,
Οἷον ἔχω (64) πόνον! σύ δ' ἀωτεῖς, γαλαθήνῳ
Τ' ἤτορι κνώσσεις ἐν ἀτερπεῖ δώματι,
Χαλκεογόμφῳ δὲ, νυκτὶ ἀλαμπεῖ,
Κυανέῳ τε δνόφῳ· τύ δ' αὐαλέαν
Ὕπερθε τεὰν κόμαν βαθεῖαν
Παριόντος κύματος οὐκ ἀλέγεις,
Οὐδ' ἀνέμου φθόγγων, πορφυρέᾳ
Κείμενος ἐν χλανίδι, πρόσωπον καλόν·
Εἰ δέ τοι δεινὸν τόγε δεινὸν ἦν,
Καί κεν ἐμῶν ῥημάτων λεπτὸν
Ὑπεῖχες οὖας. Κέλομαι, εὗδε, βρέφος,
Εὑδέτω δὲ πόντος, εὑδέτω ἄμετρον κακόν.
Ματαβουλία δέ τις φανείη,
Ζεῦ πάτερ, ἐκ σέο· ὅ τι δὴ θαρσαλέον
Ἔπος εὔχομαι, τεκνόφι δίκᾳ (65) σύγγνωθί μοι ».

SIMONIDE.

Chanson en l'honneur d'Harmodius et d'Aristogiton.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
Ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
Ὅτε τὸν τύραννον κτανέτην,
Ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

Φίλταθ' Ἁρμόδι', οὔ τι που τέθνηκας·
Νήσοις δ' ἐν μακάρων σε φασὶν εἶναι,
Ἵνα περ ποδώκης Ἀχιλεὺς,
Τυδεΐδην τε φασὶν Διομήδεα.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
Ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
Ὅτ' Ἀθηναίης ἐν θυσίαις
Ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

Ἀεὶ σφῶν κλέος ἔσσεται κατ' αἶαν,
Φίλταθ' Ἁρμόδιε κ' Ἀριστόγειτον,
Ὅτι τὸν τύραννον κτάνετον,
Ἰσονόμους τ' Ἀθήνας ἐποιήσατον.

CALLISTRATE.

Les avantages de la paix.

Τίκτει δέ τε θνατοῖσιν Εἰρήνη μεγάλα,
Πλοῦτον καὶ μελιγλώσσων ἀοιδῶν ἄνθεα,
Δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν αἴθεται βοῶν
Ξανθᾷ φλογὶ μηρία, τῶν εὐτρίχων τε μήλων.
Γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλει·
Ἐν δὲ σιδαροδέτοισι πόρπαξιν αἰθᾶν ἀραχνᾶν
Ἱστοὶ πέλονται, ἔγχεά τε λογχωτὰ,
Ξίφεά τ' ἀμφάκε' εὐρὼς δάμναται· χαλκέων
Δ' οὐκέτι σαλπίγγων κτύπος, οὐδὲ συλᾶται μελίφρων ὕπνος
Ἀπὸ βλεφάρων, ἅμος θάλπει κέαρ·
Συμποσίων δ' ἐρατῶν βρίθοντ' ἀγυιαὶ,
Παιδικοί θ' ὕμνοι φλέγονται.

BACCHYLIDE.

L'Amour mouillé.

Μεσονυκτίοις ποθ' ὥραις,
Στρέφεται ὅτ' ἄρκτος ἤδη
Κατὰ χεῖρα τὴν Βοώτου,
Μερόπων δὲ φῦλα πάντα
Κέαται κόπῳ δαμέντα,

Τότ' Ἔρως ἐπισταθείς μευ
Θυρέων ἔκοπτ' ὀχῆας·
« Τίς, ἔφην, θύρας ἀράσσει;
» Κατά μευ σχίσεις ὀνείρους; »
Ὁ δ' Ἔρως, « Ἄνοιγε, φησὶ,
» Βρέφος εἰμὶ, μὴ φόβησαι·
» Βρέχομαι δὲ, κἀσέληνον
» Κατὰ νύκτα πεπλάνημαι. »
Ἐλέησα ταῦτ' ἀκούσας,
Ἀνὰ δ' εὐθὺ λύχνον ἅψας,
Ἀνέῳξα· καὶ βρέφος μὲν
Ἐσορῶ, φέροντα τόξον,
Πτέρυγάς τε καὶ φαρέτρην.
Παρὰ δ' ἱστίην καθίσσας,
Παλάμαισι χεῖρας αὐτοῦ
Ἀνέθαλπον, ἐκ δὲ χαίτης
Ἀπέθλιβον ὑγρὸν ὕδωρ.
Ὁ δ', ἐπεὶ κρύος μεθῆκε,
« Φέρε, φησὶ, πειράσωμεν
» Τόδε τόξον, εἴ τί μοι νῦν
» Βλάβεται βραχεῖσα νευρή. »
Τανύει δὲ, καί με τύπτει
Μέσον ἧπαρ, ὥσπερ οἶστρος.
Ἀνὰ δ' ἅλλεται καχάζων,
« Ξένε, δ' εἶπε, συγχάρηθι·
» Κέρας ἀβλαβὲς μέν ἐστι,
» Σὺ δὲ καρδίην πονήσεις. »

ANACRÉON

La Rose.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων (66)
Μίξωμεν Διονύσῳ·

Τὸ ῥόδον τὸ καλλίφυλλον
Κροτάφοισιν ἁρμόσαντες,
Πίνωμεν ἁβρὰ γελῶντες.
Ῥόδον, ὦ φέριστον ἄνθος,
Ῥόδον, εἴαρος μέλημα.
Ῥόδα καὶ Θεοῖσι τερπνά.
Ῥόδα παῖς ὁ τῆς Κυθήρης
Στέφεται καλοῖς ἰούλοις (67),
Χαρίτεσσι συγχορεύων.
Στέψον οὖν με, καὶ λυρίσω
Παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
Μετὰ κούρης βαθυκόλπου
Ῥοδίνοισι στεφανίσκοις
Πεπυκασμένος χορεύσω.

Idem.

La Colombe.

Ἐρασμίη πέλεια,
Πόθεν, πόθεν πέτασαι;
Πόθεν μύρων τοσούτων,
Ἐπ' ἠέρος θέουσα,
Πνέεις τε καὶ ψεκάζεις;
Τίς εἶς; τί σοι μέλει δέ;
Ἀνακρέων μ' ἔπεμψε
Πρὸς παῖδα, πρὸς Βάθυλλον,
Τὸν ἄρτι τῶν ἁπάντων
Κρατοῦντα καὶ τύραννον.
Πέπρακέ μ' ἡ Κυθήρη,
Λαβοῦσα μικρὸν ὕμνον.
Ἐγὼ δ' Ἀνακρέοντι
Διακονῶ τοσαῦτα·
Καὶ νῦν, ὁρᾷς, ἐκείνου

Ἐπιστολὰς κομίζω.
Καί φησιν εὐθέως με
Ἐλευθέρην ποιήσειν.
Ἐγὼ δὲ, κἂν ἀφῇ με,
Δούλη μενῶ παρ' αὐτῷ.
Τί γάρ με δεῖ πέτασθαι
Ὄρη τε καὶ κατ' ἀγροὺς,
Καὶ δένδρεσιν καθίζειν,
Φαγοῦσαν ἄγριόν τι;
Τανῦν ἔδω μὲν ἄρτον
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ.
Πιεῖν δέ μοι δίδωσι
Τὸν οἶνον ὃν προπίνει.
Πιοῦσα δ' ἂν χορεύω,
Καὶ Δεσπότην ἐμοῖσι
Πτεροῖσι συσκιάζω.
Κοιμωμένη δ' ἐπ' αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ'· ἄπελθε·
Λαλιστέραν μ' ἔθηκας,
Ἄνθρωπε, καὶ κορώνης,

Idem.

L'Amour enchaîné par les Muses.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
Δήσασαι στεφάνοισι,
Τῷ Κάλλει παρέδωκαν.
Καὶ νῦν ἡ Κυθέρεια
Ζητεῖ, λύτρα φέρουσα,
Λύσασθαι τὸν Ἔρωτα.
Κἂν λύσῃ δέ τις αὐτὸν,

Οὐκ ἔξεισι, μενεῖ δέ.
Δουλεύειν δεδίδακται.

Idem.

L'Amour piqué par une abeille.

Ἔρως ποτ' ἐν ῥόδοισι
Κοιμωμένην μέλιτταν
Οὐκ εἶδεν, ἀλλ' ἐτρώθη.
Τὸν δάκτυλον δὲ δηχθεὶς
Τᾶς χειρὸς, ὠλόλυξε.
Δραμὼν δὲ καὶ πεταςθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μᾶτερ, εἶπεν,
Ὄλωλα, κἀποθνήσκω.
Ὄφις μ' ἔτυψε μικρὸς,
Πτερωτὸς, ὃν καλοῦσι
Μέλιτταν οἱ γεωργοί.
Ἁ δ' εἶπεν, εἰ τὸ κέντρον
Πονεῖ τὸ τᾶς μελίττας,
Πόσον, δοκεῖς, πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

Idem.

A Psaumis.

Σ.

Ἐλατὴρ ὑπέρτατε βροντᾶς
Ἀκαμαντόποδος
Ζεῦ· τεαὶ γὰρ Ὧραι (68)
Ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς
Ἑλισσόμεναί μ' ἔπεμψαν,
Ὑψηλοτάτων μάρτυρ' ἀέθλων·
Ξείνων δ' εὖ πρασσόντων, ἔσαναν

Αὐτίκ' ἀγγελίαν
Ποτὶ γλυκεῖαν ἐσλοί.
Ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,
Ἶπον (69) ἀνεμόεσσαν ἑκατογ-
κεφάλα Τυφῶνος ὀμβρίμου,
Οὐλυμπιονίκαν
Δέκευ Χαρίτων ἕκα-
τι τόνδε κῶμον,

A.

Χρονιώτατον φάος εὐρυ-
σθενέων ἀρετᾶν.
Ψαύμιος (70) γὰρ ἵκει
Ὀχέων, ὃς, ἐλαίᾳ στεφανωθεὶς
Πισάτιδι, κῦδος ὄρσαι
Σπεύδει Καμαρίνᾳ (71)· θεὸς εὔφρων
Εἴη λοιπαῖς εὐχαῖς· ἐπεί μιν
Αἰνέω, μάλα μὲν
Τροφαῖς ἕτοιμον ἵππων,
Χαίροντά τε ξενίαις πανδόκοις,
Καὶ πρὸς ἁσυχίαν φιλόπολιν
Καθαρᾷ γνώμᾳ τετραμμένον·
Οὐ ψεύδεϊ τέγξω
Λόγον· διάπειρά τοι
Βροτῶν ἔλεγχος·

E.

Ἅπερ Κλυμένοιο παῖδα (72)
Λαμνιάδων γυναικῶν
Ἔλυσεν ἐξ ἀτιμίας·
Χαλκοῖσι δ' ἐν ἔντεσι νικῶν
Δρόμον, ἔειπεν Ὑψιπυλείᾳ,

Μετὰ στέφανον ἰῶν·
« Οὗτος ἐγὼ ταχυτᾶτι·
» Χεῖρες δὲ καὶ ἦτορ ἴσον. »
Φύονται δὲ καὶ νέοις
Ἐν ἀνδράσιν πολιαὶ
Θαμὰ, καὶ παρὰ τὸν ἁλικίας
Ἐοικότα χρόνον.

Pindare, *Olympiques*, ode iv.

A Agésidame.

Σ.

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα
Χρῆσις· ἔστιν δ' οὐρανίων ὑδάτων
Ὀμβρίων, παίδων Νεφέλας (73)·
Εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσει, μελιγάρυες ὕμνοι
Ὑστέρων ἀρχαὶ λόγων τέλλεται,
Καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

Α.

Ἀφθόνατος δ' αἶνος Ὀλυμπιονίκαις
Οὗτος ἄγκειται. Τὰ μὲν ἁμετέρα
Γλῶσσα ποιμαίνειν ἐθέλει·
Ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ ἐσαεὶ πραπίδεσσιν.
Ἴσθι νῦν, Ἀρχεστράτου παῖ, τεᾶς,
Ἁγησίδαμε, πυγμαχίας ἕνεκεν

Ε.

Κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
Ἁδυμελῆ κελαδήσω, τῶν Ἐπι-
ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων (74).
Ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι

Μή μιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν,
Μήδ' ἀπείρατον καλῶν,
Ἀκρόσοφον δὲ καὶ αἰχματὰν, ἀφίξεσθαι.
Τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
Οὔτ' ἐρίβρομοι λέοντες
Διαλλάξαιντο ἦθος.

Ib., ode XI.

A Mégaclès

Σ.

Κάλλιστον αἱ μεγαλοπτόλιες Ἀθᾶναι
Προοίμιον, Ἀλκμανιδᾶν (75)
Εὐρυσθενεῖ γενεᾷ κρηπῖδ' ἀοιδᾶν
Ἵπποισι βαλέσθαι. Ἐπεὶ
Τίνα πάτραν, τίνα τ' οἶκον
Ναίοντ' ὀνυμάξομαι
Ἐπιφανέστερον Ἑλλάδι πυθέσθαι;

Α.

Πάσαισι γὰρ πολίεσσι λόγος ὁμιλεῖ
Ἐρεχθέος ἀστῶν (76), Ἄπολ-
λον, οἳ τεόν γε δόμον Πυθῶνι δίᾳ
Θαητὸν ἔτευξαν (77). Ἄγον-
τι δέ με πέντε μὲν Ἰσθμοῖ
Νῖκαι, μία δ' ἐκπρεπὴς
Διὸς Ὀλυμπιὰς, δύο δ' ἀπὸ Κίῤῥας (78),

Ε.

Ὦ Μεγάκλεες, ὑ-
μαὶ τε καὶ προγόνων.
Νέᾳ δ' εὐπραγίᾳ
Χαίρω. Τί τόδ' ἄχνυμαι,

Φθόνον ἀμειβόμενον
Τὰ καλὰ ἔργα; Φαντί γε μὰν,
Οὕτω κεν ἀνδρὶ παρμονίμαν
Θάλλοισαν εὐδαιμονίαν
Τὰ καὶ τὰ φέρεσθαι.

Id. Pythiques, ode VII.

A Mélissus.

Σ.

Εἴ τις ἀνδρῶν εὐτυχήσαις,
Ἢ σὺν εὐδόξοις ἀέθλοις,
Ἢ σθένει πλούτου, κατέχει
Φρασὶν αἰανῆ κόρον,
Ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι.
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
Ἐκ σέθεν· ζώει δὲ μάσσων
Ὄλβος ὀπιζομένων· πλαγίαις
Δὲ φρένεσσιν οὐχ ὁμῶς πάν-
τα χρόνον θάλλων ὁμιλεῖ.

Α.

Εὐκλέων δ' ἔργων ἄποινα,
Χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλὸν,
Χρὴ δὲ κωμάζοντ' ἀγαναῖς
Χαρίτεσσι βαστάσαι.
Ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ
Μοῖρα, πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
Ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ
Δεξαμένῳ στεφάνους· τὰ δὲ κοί-
λᾳ λέοντος (79) ἐν βαθυστέρ-
νου νάπα κάρυξε Θήβαν (80)

E.

Ἱπποδρομίᾳ κρατέων.
Ἀνδρῶν δ' ἀρετὰν
Σύμφυτον οὐ κατελέγχει.
Ἴστε μὰν Κλεωνύμου (81)
Δόξαν παλαιὰν ἅρμασιν.
Καὶ ματρόθε (82) Λαβδακίδαισιν
Σύννομοι πλούτου, διέστι-
χον τετραοριᾶν πόνοις.
Αἰὼν δὲ κυλινδομέναις
Ἀμέραις ἄλλ' ἄλλοτ' ἐξ-
άλλαξεν (83). Ἄτρωτοί γε μὰν παῖδες θεῶν.

Id. Isthmiques, ode III.

Hymne à la Vertu.

Ἀρετὰ πολύμοχθε γένει βροτείῳ,
Θήραμα κάλλιστον βίῳ,
Σᾶς πέρι, παρθένε, μορφᾶς
Καὶ θανεῖν ζαλωτὸς ἐν Ἑλλάδι πότμος,
Καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας·
Τοῖον ἐπὶ φρέν' ἔρωτα βάλλεις,
Καρπὸν φέρεις τ' ἀθάνατον,
Χρυσοῦ τε κρέσσω καὶ γονέων,
Μαλακαυγητοῖό θ' ὕπνου.
Σεῦ δ' ἕνεχ' οὐκ Διὸς Ἡρακλῆς,
Λήδας τε κοῦροι πόλλ' ἀνέτλασαν,
Ἔργοις σὰν ἀγορεύοντες δύναμιν.
Σοῖς τε πόθοις Ἀχιλλεὺς
Αἴας τ' ἀΐδαο δόμους ἦλθον.
Σᾶς δ' ἕνεκα φιλίου μορφᾶς
Καὶ Ἀταρνέος ἔντροφος (84)

Ἀελίου χήρωσεν αὐγάς.
Τοιγὰρ ἀοίδιμος ἔργοις·
Ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι
Μναμοσύνας θύγατρες
Διὸς Ξενίου σέβας ἄζουσαι.
Φιλίας τε γέρας βεβαίας.

ARISTOTE.

Hymne à la Santé.

Ὑγίεια, πρεσβίστα Μακάρων,
Μετὰ σεῦ ναίοιμι
Τὸ λειπόμενον βιοτᾶς,
Σὺ δ' ἐμοὶ πρόφρων σύνοικος εἴης.
Εἰ γάρ τις ἢ πλούτου χάρις, ἢ τεκέων,
Τᾶς ἰσοδαίμονός τ' ἀνθρώποις
Βασιληΐδος ἀρχᾶς, ἢ πόθων,
Οὓς κρυφίοις Ἀφροδίτας ἄρκυσιν θηρεύομεν,
Ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις,
Ἢ πόνων ἀμπνοὰ πέφανται,
Μετὰ σεῖο, μάκαιρ' Ὑγίεια,
Τέθαλε πάντα, καὶ λάμπει Χαρίτων ἔαρ·
Σέθεν δὲ χωρὶς οὔ τις εὐδαίμων.

ARIPHRON.

Hymne à Apollon.

Εὐφαμείτω πᾶς αἰθὴρ·
Οὔρεα, Τέμπεα σιγάτω,
Γῆ, καὶ πόντος, καὶ πνοιαὶ,
Ἦχοι, φθόγγοι τ' ὀρνίθων.
Μέλλει δὲ πρὸς ἡμᾶς βαίνειν
Φοῖβος ἀκερσεκόμας, εὐχαίτας.
Χιονοβλεφάρου πάτερ Ἀοῦς,

Ῥοδόεσσαν ὃς ἄντυγα πώλων
Πτανοῖς ὑπ' ἴχνεσι διώκεις,
Χρυσέαισιν ἀγαλλόμενος κόμαις,
Περὶ νῶτον ἀπείριτον οὐρανοῦ,
Ἀκτῖνα πολύστροφον ἀμπλέκων
Αἴγλας πολυκερδέα παγὰν
Περὶ γαῖαν ἅπασαν ἑλίσσων·
Ποταμοὶ δὲ σέθεν πυρὸς ἀμβρότου
Τίκτουσιν ἐπήρατον ἁμέραν·
Σοὶ μὲν χορὸς εὔδιος ἀστέρων
Κατ' Ὄλυμπον ἄτακτα χορεύει,
Ἄνετον μέλος αἰὲν ἀείδων,
Φοιβηΐδι τερπόμενος λύρᾳ
Γλαυκὰ δὲ πάροιθε Σελάνα
Χορὸν ὡρίων ἁγεμονεύει,
Λευκῶν ὑπὸ σύρματι μόσχων·
Γάνυται δέ τέ οἱ νόος εὐμενὴς
Πολυείμονα κόσμο ἑλίσσων.

Denys.

NOTES

DE LA POÉSIE LYRIQUE.

(1) Jupiter avait plusieurs noms et surnoms tirés des lieux où il était honoré, des peuples qui avaient adopté son culte, ou des événemens qui lui avaient fait consacrer des temples.

(2) L'esprit universel, ou la raison universelle.

(3) La loi universelle qui préside à la nature.

(4) « Il n'est guère possible, dit avec raison l'abbé » de Rayrac, de parler de la Divinité avec plus de » majesté, d'élévation et d'éloquence.

» Otez le nom de Jupiter, et remplacez-le par celui » de Dieu, ce poëme, mis en vers, pourrait être chanté » dans nos temples. » (*Hymn. au Sol.*, Disc. prél.)

(5) Des fils de la Terre, c'est-à-dire, des Géans.

(6) Plusieurs pensent que Jupiter naquit en Crète, dans l'antre de Dictée, et d'autres dans l'Arcadie, sur la montagne de Lycée. (V. *Dict. Myth.* de M. Noël.)

(7) Parce que, indépendamment de la Crète et de l'Arcadie, plusieurs contrées aspiraient à la gloire d'avoir vu naître Jupiter.

(8) La mauvaise foi des Crétois était passée en proverbe chez les anciens : « Κρητίζειν τὸ ψεύδεσθαι » dit Suidas.

(9) Platon, Sophocle, Plutarque, tous les écrivains de l'antiquité sont remplis de ces grandes idées sur la divinité. « Les dieux seuls, dit le célèbre auteur d'*OE*-

» *dipe à Colonne* (v. 634), ne sont jamais atteints ni » par la vieillesse ni par la mort. »

(10) Ce mot signifie, au propre, *serpent reptile*. Il doit s'entendre ici de tous les animaux.

(11) Ancien, dérivé d'Ὤγυγος, nom d'un ancien roi de Thèbes. (V. *Paus.*, liv. IX, p. 548.)

(12) Ancien nom des Arcadiens et des autres peuples du Péloponnèse.

(13) Nom de fleuve.

(14) Ce mot désigne à la fois une montagne de l'Arcadie et un fleuve qui se jetait dans l'Alphée.

(15) Crathis et Métôpe, fleuves d'Arcadie.

(16) Néda, une des nourrices de Jupiter.

(17) Styx, fontaine placée dans le pays des ombres. Les poëtes en avaient fait une nymphe fille de l'Océan. Lorsque Jupiter, combattant contre les Titans, appela tous les immortels, ce fut Styx qui accourut la première. Le père des dieux, pour la récompenser de ce dévouement, la combla de bienfaits. (V. *Dict. Myth.* de M. Noël)

(18) Philyre, fille de l'Océan, fut aimée de Saturne. Surprise par Rhéa, femme de ce dieu, elle s'en alla errer dans les montagnes des Pelasges, où elle accoucha du centaure Chiron. (V. *ibidem.*)

(19) Caliste, fille de Lycaon. Jupiter, sous la forme de Diane, la rendit mère d'Arcas. Junon la changea en ourse; mais Jupiter l'enleva avec son fils, et les plaça dans le ciel où ils forment la constellation de la grande et de la petite ourse. (V. *ibidem.*)

(20) Ce sont deux villes de Crète.

(21) Les Cydoniens, peuples de la Crète.

(22) Adrastée. Ce fut à elle et à Ida, sa sœur, que

fut confiée la première enfance de Jupiter. (V. *Dict Myth.* de M. Noël.)

(23) Des ruches d'abeilles s'étaient trouvées dans l'antre où Jupiter fut nourri. Aussi mit-on les abeilles au rang des nourrices du père des dieux. Le nom de *Panacris*, de l'une de ces abeilles, est tiré de celui qu'on avait donné à ces montagnes, à cause de leur hauteur. (*Comment. sur Call.*, tom. 1, p. 21.)

(24) Suivons la marche naturelle des idées, et nous arriverons sans peine au véritable sens. Le poëte vient de blâmer ceux qui disaient que le sort avait fixé à chacun des fils de Saturne le royaume qui devait lui appartenir. Selon lui, pour avancer pareille chose, il faut avoir perdu la raison. « *Quant à moi*, poursuit-il, *si » je mentais, ce serait d'une manière propre à persuader » ceux qui m'écoutent.* » Ou bien, en développant la pensée : « *J'imaginerais si bien mes mensonges, qu'ils » seraient vraisemblables et persuaderaient les esprits.* »

(25) Il s'agit ici de Ptolémée, sous le règne duquel vivait Callimaque.

(26) Ce fut dans l'île de Délos que Latone accoucha de Diane et d'Apollon, à l'ombre d'un olivier. (V. *Dict. Myth.* de M. Noël.)

(27) Surnom d'Apollon, emprunté de Lycorie, près de Delphes. (V. *ibidem.*)

(28) Il est ici question de Niobé, qui fut changée en rocher. Transportée par un tourbillon de vent en Lybie, sur le sommet d'une montagne, elle continuait de répandre des larmes qu'on voyait couler d'un morceau de marbre. (V. *ibidem.*)

(29) Ptolémée Évergète.

(30) Son arc fait à Lyctus, ancienne ville de la Crète.

(31) Des richesses immenses étaient apportées de toutes parts au temple d'Apollon.

(32) « Jamais le plus léger duvet n'ombragea ses » joues délicates. » Ce passage est bien rendu en latin dans la traduction suivante : « *Phœbi juvenilibus, ne* » *tantillùm quidem, lanugo increscit malis.* » (A. Fabri.)

(33) Faites attention au sens d'ἔλαια et λίπος. Ἔλαιον désigne un parfum simple et sans mélange, la myrrhe par exemple. Λίπος, qui a souvent la même valeur, reçoit ici la même signification que μύρον, et désigne un parfum composé de plusieurs autres. (*Ezech. Spanh. Obs. in Calli.* p. 100—106.) Le sens est donc, que de la chevelure d'Apollon découle un parfum, non pas un parfum grossier, mais un parfum agréable, qui sert de remède universel.

(34) Amphryse, fleuve de Thessalie, sur les bords duquel Apollon garda les troupeaux d'Admète.

(35) Ortygie. Nom de l'île de Délos, où naquit Apollon, qui, par reconnaissance, la rendit immobile, de flottante qu'elle était, et la fixa au milieu des Cyclades. (V. *Dict. Myth.* de M. Noël.)

(36) De la montagne de Cynthie. Elle était située au milieu de l'île de Délos.

(37) Battus, d'après la réponse de l'oracle d'Apollon, se rendit en Lybie. On dit qu'il était muet ; mais que, saisi d'effroi à la vue d'un lion, il poussa un cri avec tant de violence, qu'il recouvra l'usage de la parole. (Paus., liv. x, p. 617.) Il fonda la ville de Cyrène, patrie de Callimaque.

(38) Le corbeau était consacré à Apollon. On peut dire que la colonie de Battus entra dans la Libye, sous

les auspices favorables d'un corbeau envoyé par Apollon. D'autres pensent que c'est Apollon lui-même qui, sous la forme d'un corbeau, marchait à la tête de cette colonie.

(39) Surnom donné à Apollon à Athènes et à Thèbes. On en explique diversement l'origine. (V. Suid., Plut. *in Thes.*, Athénée, liv. I.)

(40) C'était principalement sous ce nom qu'Apollon était honoré par les Cyrénéens.

(41) A Sparte, Apollon était aussi surnommé *Carnéen*, et l'on y célébrait en son honneur des fêtes appelées *Carnées*.

(42) Voici la généalogie de cette famille : 1°. Œdipe, 2°. Polynice, 3°. Thersandre, 4°. Antésion, 5°. Tisamène, 6°. Théra. Ce dernier conduisit une colonie dans une île à laquelle il donna son nom

(43) C'est le même que Battus.

(44) Dans la terre des Asbystes, en Afrique.

(45) Callimaque donne ce nom aux fondateurs de Cyrène, qui de Sparte passèrent à Théra, et de Théra à Cyrène.

(46) Fleuve et montagne de la Libye.

(47) C'est-à-dire, Apollon, chef ou protecteur de la colonie.

(48) Myrthose, montagne de la Libye.

(49) La fille d'Hipséis, c'est-à-dire, Cyrène.

(50) Nom du fameux brigand tué par Thésée. Il désigne, par extension, tous les malfaiteurs : Σίνις ἀνήρ, dit Aristote (*Rhét.* liv. III, ch. 3.)

(51) Eurypyle, roi de la Cyrénaïque.

(52) Apollon enleva Cyrène et la transporta en Libye, où elle devint mère d'Aristée.

(53) Les descendans de Battus et de sa colonie, c'est-à-dire, les Cyrénéens.

(54) Callimaque a ici en vue ceux qui lui reprochaient de ne pouvoir composer des poëmes de longue haleine.

(55) Allusion au poëme des Argonautes, par Apollonius de Rhodes, qui commence ainsi : « Ἀρχόμενος » σέο, Φοῖβε, etc. » et parle de tous les pays que baigne la mer Noire, et des nations qui les habitent.

(56) Platon prétendait que les âmes étaient préexistantes aux corps, et que, tirées du ciel pour animer différens corps successivement, elles retournaient au ciel, après avoir été purifiées. Les images renfermées dans ce début sont très-poétiques.

(57) C'est à tort, dit M. Boissonade, que certains éditeurs ont annexé cet hymne au précédent. Comment, en effet, se rendre compte de θεοί lorsqu'il s'agit des Muses? En supposant même que θεός est un nom épicène, et qu'il peut se prendre pour un féminin, il n'en est pas moins vrai que l'adjectif ou participe qui s'y rapporte doit être au féminin ; et cependant toutes les éditions portent ἔχοντες et non ἔχουσαι qu'il faudrait régulièrement. Le sens, d'ailleurs, et l'autorité de tant de savans hellénistes ne doivent-ils pas nous faire adopter cette leçon.

(58) Cette figure est à remarquer.

(59) Nom que l'on donnait à certains êtres intermédiaires entre la Divinité et les hommes. Les empires, les provinces, les villes, avaient un *démon* ou *génie particulier*.

(60) Les moineaux étaient consacrés à Vénus, ainsi que les cygnes, et surtout les colombes.

(61) Rome. C'était, chez les anciens, la force et la bravoure personnifiées. (V. *Dict. Myth.* de M. Noël.)

(62) Métaphore belle et hardie.

(63) La particule négative et l'α privatif se détruisent. L'expression est donc affirmative : *les joues mouillées.*

(64) Ces vers et les suivans renferment des sentimens d'un beau pathétique Οἷον ἔχω, etc., exprime très-bien la douleur et les craintes de Danaé. Σὺ δ' ἀωτεῖς, contraste à remarquer. *Tu goûtes les douceurs du sommeil;* et cela, au milieu des plus grands dangers, ἐν ἀτερπεῖ δώματι, etc. Les épithètes sont bien choisies et bien convenables. Persée ignore son malheureux sort; s'il le connaissait, il partagerait les craintes de sa mère. Mais plutôt qu'il reste dans cette heureuse ignorance, et que son sommeil ne soit pas interrompu : Εὗδε, βρέφος· εὑδέτω δὲ πόντος, εὑδέτω, répétition d'un bel effet.

(65) Pour τέκνου. Passage un peu obscur. On peut sous-entendre ἕνεκα.

(66) Chez les anciens, la rose était particulièrement consacrée à Vénus.

(67) On représente l'Amour couronné de roses, emblème des plaisirs fugitifs qu'il procure.

(68) Les Heures étaient filles de Jupiter et de Thémis. Le poëte veut désigner ici l'anniversaire des jeux olympiques.

(69) C'est-à-dire, qui accable de son poids l'orgueilleux Typhon aux cent têtes. Jupiter, armé de sa foudre, terrassa ce géant et l'étendit sous le mont Etna, où il vomit continuellement des flammes.

(70) Il avait remporté le prix à la course des chevaux

(71) Psaumis était de Camarine, en Sicile.

(72) Érginus. Le scoliaste dit que c'est un Argonaute. Mais le célèbre Argonaute de ce nom, qui remplit avec Typhis les fonctions de pilote, était fils de Neptune et d'Astypalée. Quoi qu'il en soit de ce fils de Clymène, le fait auquel le poëte fait allusion ne présente pas de difficulté. Hypsipyle, reine de Lemnos, filles de Thoas, faisait célébrer des jeux en l'honneur de son père. Le fils de Clymène se présenta pour disputer le prix; et comme il avait déjà les cheveux blancs, les Lemniennes se moquèrent de lui. Il fut vainqueur, et sa victoire confondit les railleurs.

(73) La Pluie, fille de Néphélée, c'est-à-dire, des Nuages. Néphélée, deuxième femme d'Athamas, roi de Thèbes, donna à ce prince deux enfans. Un oracle, corrompu par Ino, première femme d'Athamas, demanda que les deux fils de Néphélée fussent immolés. Au moment où le sacrifice allait être consommé, Néphélée, changée en nuage, s'envola dans les airs avec ses enfans.

(74) Les Locriens du Zéphyrium. C'était la patrie d'Agésidame.

(75) Les Alcméonides, ou les descendans d'Alcméon. De ce nombre était Mégaclès, à qui cette ode est consacrée.

(76) Les citoyens ou le peuple d'Érechthée, c'est-à-dire les Athéniens. Érechthée fut le sixième roi d'Athènes. Les Athéniens le mirent au rang de leurs dieux, et lui consacrèrent un temple dans la citadelle.

(77) Le temple de Delphes, ruiné par les Pisistrates, fut relevé par les ancêtres de Mégaclès.

(78) Il y avait près de Delphes, en Phocide, une petite montagne ou ville appelée Cirrha ou Crissa. Pindare en fait mention dans plusieurs endroits pour

désigner le théâtre des jeux pythiens Il y avait aussi une autre Cirrha ou Crissa dans le Péloponnèse. Par analogie, cette dernière Cirrha indiquerait le théâtre des jeux de l'isthme de Corinthe. (Tourlet., traduct. de Pind., *Pyth.* III, not. 8; *Pyth.* V, not. 3; *Pyth.* VII, not. 4.)

(79) Mélissus avait remporté le prix aux jeux Néméens.

(80) Mélissus était de Thèbes.

(81) Aïeul de Mélissus.

(82) La mère de Cléonyme descendait de Labdacus, roi de Thèbes, père de Laïus; et Cléonyme avait eu pour fils un certain Télésiades, père de Mélissus.

(83) Cette réflexion se rapporte aux malheurs qui affligèrent la famille de Mélissus. Quatre de ses parens périrent dans une guerre. (V. Pindare, *Isth.* IV.)

(84) C'est Hermias, tyran d'Atarne et l'ami d'Aristote Après la mort de Platon, Aristote se retira auprès de cet Hermias, qui, de la condition la plus obscure, s'était élevé jusqu'au trône, et qui par ses vertus sut ne point paraître indigne d'une si haute fortune. Il est inutile de parler des bruits que la calomnie répandit sur ce voyage d'Aristote. Ils sont si absurdes, qu'ils ne méritent pas d'être réfutés. (V. *Biograph. univ.*, art. *Hermias.*)

POÉSIE DRAMATIQUE.

Les Sept Chefs devant Thèbes.

ARGUMENT.

Pendant que le chœur gémit sur les malheurs qu'éprouve une ville prise d'assaut, on voit s'avancer l'officier chargé par Étéocle d'examiner les dispositions de l'armée des ennemis. Étéocle arrive sur la scène, et l'officier lui fait son rapport.

Λέγοιμ' ἂν, εἰδὼς εὖ, τὰ τῶν ἐναντίων,
Ὥς τ' ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.
Τυδεὺς (1) μὲν ἤδη πρὸς πύλαισι Προιτίσι
Βρέμει· πόρον δ' Ἰσμηνὸν (2) οὐκ ἐᾷ περᾶν
Ὁ μάντις· οὐ γὰρ σφάγια γίνεται καλά.
Τυδεὺς δὲ μαργῶν, καὶ μάχης λελιμμένος,
Μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ·
Θένει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφὸν (3),
Σαίνειν μόρον τε καὶ μάχην, ἀψυχίᾳ.
Τοιαῦτ' ἀϋτῶν τρεῖς κατασκίους λόφους
Σείει, κράνους χαίτωμ', ὑπ' ἀσπίδος δὲ τῷ
Χαλκήλατοι κλάζουσι κώδωνες φόβον (4).
Ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
Φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
Λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
Πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμός, πρέπει.
Τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σαγαῖς,
Βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν·
Ἵππος χαλινῶν δ' ὣς κατασθμαίνων μένει,
Ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων.

. . . .

Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις,
Γίγας ὅδ' ἄλλος, τοῦ πάρος λελεγμένου
Μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ
Πύργοις δ' ἀπειλεῖ δεῖν', ἃ μὴ κραίνοι τύχη·
Θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
Καὶ μὴ θέλοντος φησὶν, οὐδὲ τὴν Διὸς (5)
Ἔριν πέδῳ σκήψασαν ἐκποδὼν σχέθειν·
Τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
Μεσημβρινοῖσι θάλπεσι προσείκασεν.
Ἔχει δὲ σῆμα, γυμνὸν ἄνδρα πυρφόρον,
Φλέγει δὲ λαμπὰς διὰ χειρῶν ὡπλισμένη·
Χρυσοῖς δὲ φωνεῖ γράμμασιν· ΠΡΗΣΩ ΠΟΛΙΝ.

. . . .

Καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
Λέξω· τρίτῳ γὰρ Ἐτεόκλῳ (6) τρίτος πάλος
Ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους,
Πύλαισι Νηΐτισι προσβαλεῖν λόχον.
Ἵππους δ' ἐπ' ἀμπυκτῆρσιν ἐμβριμωμένας
Δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι·
Φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,
Μυκτηροκόμποις πνεύμασι πληρούμενοι (7).
Ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον·
Ἀνὴρ δ' ὁπλίτης κλίμακος πρὸς ἀμβάσεις
Στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων.
Βοᾷ δὲ χ' οὗτος γραμμάτων ἐν ξυλλαβαῖς,
Ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων.

. . . .

Τέταρτος ἄλλος, γείτονας πύλας ἔχων
Ὄγκας (8) Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα (9) καὶ μέγας τύπος.
Ἅλω δὲ πολλὴν, ἀσπίδος κύκλον λέγω,
Ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.

Ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν,
Ὅστις τόδ' ἔργον ὤπασε πρὸς ἀσπίδι,
Τυφῶν' ἱέντα πυρπνόον διὰ στόμα
Λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν (10)·
Ὄφεων δὲ πλεκτάναισι περίδρομος κύτος
Προσηδάφισται κοιλογάστορος κύκλου (11).
Αὐτός δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρην
Βακχᾷ πρὸς ἀλκὴν, θυιὰς ὣς (12), φόνον βλέπων.
. . . .
. . . Τὸν δὲ πέμπτον αὖ λέγω,
Πέμπταισι προσταχθέντα Βορρείαις πύλαις (13),
Τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος (14).
Ὄμνυσι δ' αἰχμὴν, ἣν ἔχει, μᾶλλον θεοῦ
Σέβειν πεποιθὼς, ὀμμάτων θ' ὑπέρτερον,
Ἦ μὴν λαπάξειν ἄστυ Καδμείων, βίᾳ
Διός· τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου (15)
Βλάστημα καλλίπρωρον, ἀνδρόπαις ἀνήρ.
Στείχει δ' ἴουλος ἄρτι διὰ παρηίδων,
Ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
Ὁ δ' ὠμὸν, οὔτι παρθένων ἐπώνυμον (16),
Φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων προσίσταται.
Οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·
Τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
Σάκει, κυκλωτῷ σώματος προβλήματι,
Σφίγγ' (17) ὠμόσιτον προσμεμηχανευμένην
Γόμφοις ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας,
Φέρει δ' ὑφ' αὐτῇ φῶτα Καδμείων ἕνα,
Ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδε ἰάπτεσθαι βέλη.
Ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην,
Μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον,
Παρθενοπαῖος Ἀρκάς. . . . . . .
Ἕκτον λέγοιμ' ἂν, ἄνδρα σωφρονέστατον,

Ἀλκήν τ' ἄριστον, μάντιν, Ἀμφιάρεω βίαν.
Ὁμολωΐσιν δὲ πρὸς πύλαις τεταγμένος,
Κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
Τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
Μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐριννύος κλητῆρα, πρόσπολον φόνου,
Κακῶν τ' Ἀδράστῳ (18) τῶνδε βουλευτήριον.
Καὶ τὸν σὸν αὖθις πρόσμορον ἐς ἀδελφεὸν
Ἐξυπτιάζων ὄνομα, Πολυνείκους βίαν,
Δίς τ' ἐν τελευτῇ τοὔνομ' (19) ἐνδατούμενος,
Καλεῖ· λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα·
Ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλὲς,
Καλόν τ' ἀκοῦσαι, καὶ λέγειν μεθυστέροις,
Πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
Πορθεῖν, στράτευμ' ἐπακτὸν ἐμβεβληκότα.
Μητρός δὲ πηγὴν (20) τίς κατασβέσει δίκη;
Πατρίς τε γαῖα, σῆς ὑπὸ σπουδῆς δορὶ
Ἁλοῦσα, πῶς σοὶ ξύμμαχος γενήσεται;
Ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα,
Μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονός.
Μαχώμεθ', οὐκ ἄτιμον ἐλπίζω μόρον.
Τοιαῦθ' ὁ μάντις, ἀσπίδ' εὔκυκλον νέμων
Πάγχαλκον, ηὔδα· σῆμα δ' οὐκ ἐπῆν κύκλῳ·
Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει,
Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
Ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.

. . . .

Τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις
Λέξω, τον αὐτοῦ σοῦ κασίγνητον, πόλει
Οἵας γ' ἀρᾶται καὶ κατεύχεται τύχας·
Πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονὶ,
Ἁλώσιμον παιᾶν' ἐπεξιακχάσας,

Σοὶ ξυμφέρεσθαι, καὶ κτανὼν θανεῖν πέλας,
Ἢ ζῶντ᾽ ἀτιμαστῆρα τῶς σ᾽ ἀνδρηλάτην
Φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον.
Τοιαῦτ᾽ ἀϋτεῖ, καὶ θεοὺς γενεθλίους
Καλεῖ πατρῴας γῆς, ἐποπτῆρας λιτῶν
Τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.
Ἔχει δὲ καινοπηγὲς εὔκυκλον σάκος,
Διπλοῦν τε σῆμα προσμεμηχανευμένον·
Χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν
Ἄγει γυνή τις σωφρόνως ἡγουμένη·
Δίκη δ᾽ ἄρ᾽ εἶναί φησιν, ὡς τὰ γράμματα
Λέγει· ΚΑΤΑΞΩ Τ᾽ ΑΝΔΡΑ ΤΟΝΔΕ, ΚΑΙ ΠΟΛΙΝ
ΕΞΕΙ, ΠΑΤΡΩΩΝ ΔΩΜΑΤΩΝ Τ᾽ ΕΠΙΣΤΡΟΦΑΣ.

ESCHYLE, v. 360—653.

Bataille de Salamine.

ARGUMENT.

Atosse, agitée par de vives inquiétudes sur l'issue de l'expédition des Perses contre les Grecs, fait part au chœur d'un songe qu'elle a eu. D'après l'avis du chœur, elle se prépare à faire des sacrifices. Dans ce moment arrive un messager qui annonce que la gloire de la Perse vient d'être anéantie d'un seul coup. Atosse, interdite, accablée de douleur, adresse diverses questions au messager, et lui demande, entre autres choses, de quel côté l'attaque a commencé. Le messager répond en ces termes :

Ἦρξεν μὲν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
Φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν·
Ἀνὴρ (21) γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
Ἐλθὼν, ἔλεξε παιδὶ τῷ Ξέρξῃ τάδε,
Ὡς, εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μένοιεν, ἀλλὰ σέλμασι

Νεῶν ἐπενθορόντες, ἄλλος ἄλλοσε
Δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσαίατο
Ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς, οὐδὲ τὸν Θεῶν φθόνον,
Πᾶσι προφωνεῖ τόνδε ναυάρχοις λόγον·
Εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
Λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
Τάξαι νεῶν στῖφος μὲν ἐν στίχοις τρισὶν,
Ἔκπλους φυλάσσειν, καὶ πόρους ἁλιῤῥόθους,
Ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ (22).
Ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακὸν,
Ναυσὶ κρυφαίως δρασμὸν εὑρόντες τινὰ,
Πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
Τοσαῦτ' ἔλεξε κάρθ' ὑπ' ἐκθύμου φρενός·
Οὐ γὰρ τὸ μέλλον ἐκ Θεῶν ἠπίστατο·
Οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ,
Δεῖπνόν τ' ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ
Τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.
Ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο,
Καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ
Ἐς ναῦν ἐχώρει, πᾶς δ' ὅπλων ἐπιστάτης,
Τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς.
Πλέουσι δ', ὡς ἕκαστος ἦν τεταγμένος,
Καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
Ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.
Καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
Κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο·
Ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
Πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
Πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα
Μολπηδὸν εὐφήμησεν, ὄρθιον δ' ἅμα
Ἀντηλάλαξε νησιώτιδος πέτρας

Ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν
Γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ
Παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
Ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει·
Σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν.
Ἐπεὶ δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
Ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος
Θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν.
Τὸ δεξιὸν μὲν πρῶτον εὔτακτον κέρας
Ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
Ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
Πολλὴν βοήν· « Ὦ παῖδες Ἑλλήνων, ἴτε.
Ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
Παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
Θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών. »
Καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος
Ὑπηντίαζε, κοὐκέτ' ἦν μέλλειν ἀκμή.
Εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον
Ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ
Ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεὼς
Κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ.
Τα πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ
Ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
Ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
Αὐτοὶ δ' ὑφ' αὐτῶν ἐμβολαῖς χαλκοστόμοις
Παίοντ', ἔθραυον πάντα κωπήρη στόλον·
Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως
Κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
Σκάφη νεῶν, θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν,
Ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν·
Ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐκπλήθυνον.
Φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,

Ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος
Τοὶ δ', ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον (23)
Ἀγαῖσι κωπῶν, θραύσμασίν τ' ἐρειπίων
Ἔπαιον, ἐῤῥάχιζον, οἰμωγὴ δ' ὁμοῦ
Κωκύμασιν κατεῖχε πελαγίαν ἅλα,
Ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο·
Κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
Στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι·
Εὖ γὰρ τόδ' ἴσθι, μήδ' ἂν ἡμέρα μιᾷ
Πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.

Id., *les Perses*, v. 352—431.

Électre portant des libations au tombeau d'Agamemnon.

ARGUMENT.

Clytemnestre, après avoir trempé ses mains dans le sang de son époux, est effrayée par un songe sinistre. Les interprètes consultés déclarent qu'il faut apaiser par des sacrifices les mânes d'Agamemnon. Clytemnestre charge Électre de porter des offrandes au tombeau de son père. La jeune princesse, avant de faire des libations, demande aux esclaves qui l'accompagnent quelles prières elle doit adresser à cette ombre chérie.

Δμωαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
Ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ
Πομποὶ, γένεσθε τῶνδε σύμβουλοι πέρι.
Τύμβῳ χέουσα τάσδε κηδείους χοὰς,
Πῶς εὔφρον' εἴπω; πῶς κατεύξωμαι πατρί;
Πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
Γυναικὸς ἀνδρὶ, τῆς ἐμῆς μητρὸς πάρα;
Τῶν δ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ,
Χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός·

Ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς
Ἔστ', ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
Στέφη, δόσιν γε τῶν κακῶν ἐπαξίαν;
Ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
Πατὴρ, τάδ' ἐκχέουσα, γάποτον χύσιν,
Στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν
Δικοῦσα τεῦχος, ἀστρόφοισιν ὄμμασιν;
Τῆσδ' ἐστὲ βουλῆς, ὦ φίλαι, μεταίτιαι·
Κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν·
Μὴ κεύθετ' ἔνδον καρδίας, φόβῳ τινός·
Τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει,
Καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
(24) . . . .
. . . . Ἑρμῆ χθόνιε, κηρύξας ἐμοὶ
Τοὺς γῆς ἔνερθε δαίμονας κλύειν ἐμὰς
Εὐχὰς, πατρῴων δωμάτων ἐπισκόπους,
Καὶ γαῖαν αὐτὴν, ἣ τὰ πάντα τίκτεται,
Θρέψασά τ', αὖθις τῶνδε κῦμα λαμβάνει.
Κἀγὼ, χέουσα τάσδε χέρνιβας βροτοῖς,
Λέγω, καλοῦσα πατέρ', ἐποίκτειρόν τ' ἐμὲ
Φίλον τ' Ὀρέστην, πῶς ἀνάξομεν δόμοις·
Πεπραγμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
Πρὸς τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος·
Κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων
Φεύγων Ὀρέστης ἐστὶν, οἱ δ' ὑπερκόπως
Ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
Ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
Κατεύχομαί σοι· καὶ σὺ, κλῦθί μου, πάτερ,
Αὐτῇ τε μοὶ δὸς σωφρονεστέραν πολὺ
Μητρὸς γενέσθαι, χεῖρα τ' εὐσεβεστέραν·
Ἡμῖν μὲν εὐχὰς τάσδε· τοῖς δ' ἐναντίοις

Λέγω φανῆναί σου, πάτερ, τιμάορον,
Καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκην.
Ταῦτ' ἐν μέσῳ τίθημι τῆς καλῆς ἀρᾶς,
Κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν·
Ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω,
Ξὺν θεοῖσι, καὶ γῇ, καὶ δίκῃ νικηφόρῳ.
Τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς.
Ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος,
Παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.

Id., *les Choéphores*, v. 82-102-122-149.

Œdipe apprend d'un habitant de Corinthe que Polybe n'est point son père.

ARGUMENT.

Un messager vient annoncer à Œdipe que Polybe n'est plus Œdipe, qui se croyait fils de ce prince, se félicite de trouver dans cet événement une preuve de la fausseté de l'oracle qui lui avait annoncé qu'il serait le meurtrier de son père. Cependant il ne veut pas revenir à Corinthe, tant que Mérope, épouse de Polybe, vivra. Il craindrait de voir s'accomplir la prédiction qui lui avait annoncé qu'il épouserait sa propre mère. Le messager, pour dissiper cette crainte, découvre à Œdipe qu'il n'est uni par les liens du sang ni à Mérope, ni à Polybe, et lui apprend que c'est lui-même qui le remit autrefois entre les mains de ce roi.

ΑΓΓΕΛΟΣ ΚΑΙ ΟΙΔΙΠΟΥΣ.

Α. Ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ;
Ο. Μερόπης, γεραιὲ, Πόλυβος ἧς ᾤκει μέτα.
Α. Τί δ' ἔστ' ἐκείνης ὑμῖν ἐς φόβον φέρον;
Ο. Θεήλατον μάντευμα δεινὸν, ὦ ξένε.
Α. Ἦ ῥητὸν, ἢ οὐχὶ θεμιτὸν ἄλλον εἰδέναι;
Ο. Μάλιστά γ'· εἶπε γάρ με Λοξίας ποτὲ

Χρῆναι μιγῆναι μητρὶ τῇ 'μαυτοῦ, τό τε
Πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν·
Ὧν οὕνεχ' ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
Μακρὰν ἀπῳκεῖτ', εὐτυχῶς μέν· ἀλλ' ὅμως
Τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν.
Α. Ἦ γὰρ τάδ' ὀκνῶν, κεῖθεν ἦσθ' ἀπόπτολις;
Ο. Πατρός τε χρῄζων μὴ φονεὺς εἶναι, γέρον.
Α. Τί δῆτ' ἐγὼ οὐχὶ τοῦδε τοῦ φόβου σ', ἄναξ,
Ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην;
Ο. Καὶ μὴν χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.
Α. Καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην, ὅπως,
Σοῦ πρὸς δόμους ἐλθόντος, εὖ πράξαιμί τι.
Ο. Ἀλλ' οὔποτ' εἶμι τοῖς φυτεύσασίν γ' ὁμοῦ.
Α. Ὦ παῖ, καλῶς εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς.
Ο. Πῶς, ὦ γεραιέ; πρὸς θεῶν, δίδασκ' ἐμέ.
Α. Εἰ τῶνδε φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν.
Ο. Ταρβῶ γε, μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
Α. Ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς;
Ο. Τοῦτ' αὐτὸ, πρέσβυ, τοῦτό μ' εἰσαεὶ φοβεῖ.
Α. Ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;
Ο. Πῶς δ' οὐχί; παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν.
Α. Ὁθ' οὕνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
Ο. Πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
Α. Οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρὸς, ἀλλ' ἴσον.
Ο. Καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί;
Α. Ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος, οὔτ' ἐγώ.
Ο. Ἀλλ' ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο;
Α. Δῶρόν ποτ', ἴσθι, τῶν ἐμῶν χειρῶν λαβών.
Ο. Κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα;
Α. Ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
Ο. Σὺ δ' ἐμπολήσας, ἢ τεκών μ' αὐτῷ δίδως;
Α. Εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.

O. Ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;
A. Ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν.
O. Ποιμὴν γὰρ ἦσθα, κἀπὶ θητείᾳ πλάνης;
A. Σοῦ γ', ὦ τέκνον, σωτήρ γε τῷ τότ' ἐν χρόνῳ
O. Τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με λαμβάνεις;
A. Ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
O. Οἴμοι! τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν;
A. Λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
O. Δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.
A. Ὥστ' ὠνομάσθης ἐκ τύχης ταύτης, ὃς εἶ.
O. Ὦ πρὸς θεῶν, πρὸς μητρὸς, ἢ πατρός; φράσον.
A. Οὐκ οἶδ'· ὁ δοὺς δὲ ταῦτ' ἐμοῦ λῷον φρονεῖ.
O. Ἦ γὰρ παρ' ἄλλου μ' ἔλαβες, οὐδ' αὐτὸς τυχών;
A. Οὔκ, ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
O. Τίς οὗτος; ἦ κάτοισθα δηλῶσαι λόγῳ;
A. Τῶν Λαΐου δήπου τις ὠνομάζετο.
O. Ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ;
A. Μάλιστα· τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
O. Ἦ κἄστ' ἔτι ζῶν οὗτος, ὥστ' ἰδεῖν ἐμέ;
A. Ὑμεῖς γ' ἄριστ' εἰδεῖτ' ἂν οἱ 'πιχώριοι (25).

Sophocle, *OEdipe roi*, v. 989—1046.

Œdipe reconnaît qu'il est fils de Laïus.

ARGUMENT.

Œdipe, toujours impatient de découvrir son origine, fait venir le vieillard qui l'exposa jadis sur le sommet du Cithéron. En vain celui-ci veut-il taire la vérité; les dures menaces d'Œdipe le forcent de s'expliquer. Œdipe reconnaît alors qu'il a tué son pére et épousé sa mére.

ΟΙΔΙΠΟΥΣ, ΘΕΡΑΠΩΝ καὶ ΑΓΓΕΛΟΣ.

O. Οὗτος σὺ πρέσβυ, δεῦρό μοι φώνει βλέπω
Ὅσ' ἄν σ' ἐρωτῶ. Λαΐου ποτ' ἦσθα σύ;

Θ. Ἦν δοῦλος, οὐκ ὠνητός, ἀλλ' οἴκοι τραφείς.
Ο. Ἔργον μεριμνῶν ποῖον, ἢ βίον τίνα;
Θ. Ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνειπόμην.
Ο. Χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;
Θ. Ἦν μὲν Κιθαιρὼν, ἦν δὲ πρόσχωρος τόπος.
Ο. Τὸν ἄνδρα τόνδ' οὖν οἶσθα τῇδέ που μαθών;
Θ. Τί χρῆμα δρῶντα, ποῖον ἄνδρα καὶ λέγεις;
Ο. Τόνδ', ὃς πάρεστιν· ἢ ξυνήλλαξάς τί πω;
Θ. Οὐχ ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ὕπο.
Α. Κοὐδέν γε θαῦμα, δέσποτ'· ἀλλ' ἐγὼ σαφῶς
Ἀγνῶτ' ἀναμνήσω νιν· εὖ γὰρ οἶδ' ὅτι
Κάτοιδεν, ἦμος τὸν Κιθαιρῶνος τόπον,
Ὁ μὲν διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ,
Ἐπλησίαζον τῷδε τἀνδρὶ, τρεῖς ὅλους
Ἐξ ἦρος εἰς ἀρκτοῦρον ἐμμήνους χρόνους (26).
Χειμῶνι δ' ἤδη τἀμά τ' εἰς ἔπαυλ' ἐγὼ
Ἤλαυνον, οὗτός τ' εἰς τὰ Λαΐου σταθμά.
Λέγω τι τούτων, ἢ οὐ λέγω, πεπραγμένον;
Θ. Λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου.
Α. Φέρ' εἰπὲ νῦν· τότ' οἶσθα παῖδά μοί τινα
Δοὺς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ;
Θ. Τί δ' ἔστι; πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς;
Α. Ὅδ' ἐστὶν, ὦ 'τὰν, κεῖνος, ὃς τότ' ἦν νέος.
Θ. Οὐκ εἰς ὄλεθρον; οὐ σιωπήσας ἔσει;
Ο. Ἆ! μὴ κόλαζε, πρέσβυ, τόνδ', ἐπεὶ τὰ σὰ
Δεῖται κολαστοῦ μᾶλλον, ἢ τὰ τοῦδ' ἔπη.
Θ. Τί δ', ὦ φέριστε δεσποτῶν, ἁμαρτάνω;
Ο. Οὐκ ἐννέπων τὸν παῖδ', ὃν οὗτος ἱστορεῖ.
Θ. Λέγει γὰρ εἰδὼς οὐδὲν, ἀλλ' ἄλλως πονεῖ.
Ο. Σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς; κλαίων δ' ἐρεῖς.
Θ. Μὴ δῆτα, πρὸς θεῶν, τὸν γέροντά μ' αἰκίσῃ.
Ο. Οὐχ ὡς τάχος τις τοῦδ' ἀποστρέψει χέρας;

Θ. Δύστηνος! ἀντὶ τοῦ; τί προσχρῄζων μαθεῖν;
Ο. Τὸν παῖδ' ἔδωκας τῷδ', ὃν οὗτος ἱστορεῖ;
Θ. Ἔδωκ'· ὀλέσθαι δ' ὤφελον τῇδ' ἡμέρᾳ.
Ο. Ἀλλ' εἰς τόδ' ἥξεις, μὴ λέγων γε τοὔνδικον.
Θ. Πολλῷ γε μᾶλλον, ἢν φράσω, διόλλυμαι.
Ο. Ἀνὴρ ὅδ', ὡς ἔοικεν, εἰς τριβὰς ἐλᾷ.
Θ. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' εἶπον, ὡς δοίην, πάλαι·
Ο. Πόθεν λαβών; οἰκεῖον, ἢ 'ξ ἄλλου τινός;
Θ. Ἐμὸν μὲν οὐκ ἔγωγ'· ἐδεξάμην δέ του.
Ο. Τίνος πολιτῶν τῶνδε, κἀκ ποίας στέγης;
Θ. Μή, πρὸς θεῶν, μή, δέσποθ', ἱστόρει πλέον.
Ο. Ὄλωλας, εἴ σε ταῦτ' ἐρήσομαι πάλιν.
Θ. Τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων.
Ο. Ἢ δοῦλος, ἢ κείνου τις ἐγγενὴς γεγώς;
Θ. Οἴμοι! πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.
Ο. Κἄγωγ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον.
Θ. Κείνου γέ τοι δὴ παῖς ἐκλῄζεθ'· ἡ δ' ἔσω
Κάλλιστ' ἂν εἴποι σὴ γυνὴ τάδ', ὡς ἔχει.
Ο. Ἦ γὰρ δίδωσιν ἥδε σοι;
Θ. Μάλιστ', ἄναξ,
Ο. Ὡς πρὸς τί χρείας;
Θ. Ὡς ἀναλώσαιμί νιν.
Ο. Τεκοῦσα; τλήμων!
Θ. Θεσφάτων κακῶν ὄκνῳ.
Ο. Ποίων;
Θ. Κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος.
Ο. Πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ;
Θ. Κατοικτίσας, ὦ δέσποτ', ὡς ἄλλην χθόνα
Δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
Κάκ' εἰς μέγιστ' ἔσωσεν· εἰ γὰρ οὗτος εἶ,
Ὅν φησιν οὗτος, ἴσθι δύσποτμος γεγώς.
Ο. Ἰού! ἰού! τὰ πάντ' ἂν ἐξίκοι σαφῆ.

Ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν,
Ὅστις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς τ'
Οὐ χρῆν μ' ὁμιλῶν, οὕς τ' ἔμ' οὐκ ἔδει κτανών.

Ib. v. 1121—1185.

Plaintes d'Hercule mourant.

ARGUMENT.

A peine Hercule s'est-il revêtu de la robe que Lychas lui a apportée de la part de son épouse Déjanire, qu'il est agité par les plus vives convulsions. Hylas, fils d'Hercule, se rend auprès de Déjanire et lui adresse de si violens reproches, que, dans son désespoir, elle se donne la mort. Bientôt Hercule arrive, porté par des vieillards. Le doux sommeil a un moment suspendu ses douleurs. Peu après, elles recommencent plus vives qu'auparavant. Dans l'excès de ses souffrances, il invoque le dieu des enfers; il le conjure de mettre un terme à ses tourmens, et déplore en ces mots sa triste destinée:

Ὦ πολλὰ δὴ καὶ θερμὰ, καὶ λόγῳ κακὰ,
Καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ!
Κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς (27)
Προὔθηκεν, οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς (28) ἐμοὶ,
Οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη (29)
Καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐριννύων
Ὑφαντὸν (30) ἀμφίβληστρον, ᾧ διόλλυμαι.
Πλευραῖσι γὰρ προσμαχθὲν, ἐκ μὲν ἐσχάτας
Βέβρωκε σάρκας, πλεύμονός τ' ἀρτηρίας (31)
Ῥοφεῖ ξυνοικοῦν· ἐκ δὲ χλωρὸν αἷμά μου
Πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
Τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
Κοὐ ταῦτα λόγχη πεδιὰς, οὔθ' ὁ γηγενὴς
Στρατὸς γιγάντων, οὔτε θήρειος βία,
Οὔθ' Ἑλλὰς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
Γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω.

Γυνὴ δὲ, θῆλυς οὖσα, κοὐκ ἀνδρὸς φύσιν,
Μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
Ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγὼς,
Καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.
Δός μοι, χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν,
Εἰς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα,
Εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης, ὁρῶν
Λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
Ἴθ', ὦ τέκνον, τόλμησον, οἴκτειρόν τέ με
Πολλοῖσιν οἰκτρὸν, ὅστις, ὥστε παρθένος,
Βέβρυχα κλαίων· καὶ τόδ' οὐδ' ἄν εἶς ποτὲ
Τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα·
Ἀλλ' ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς.
Νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
Καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρὸς,
Σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
Πέπονθα· δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
Ἰδοὺ, θεᾶσθε πάντες ἄθλιον δέμας,
Ὁρᾶτε τὸν δύστηνον, ὡς οἰκτρῶς ἔχω.
Αἶ! αἶ! ὦ τάλας! ἒ! ἒ!
Ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως· ὁ δ' αὖ
Διῇξε πλευρῶν· οὐδ' ἀγύμναστόν μ' ἐᾷν
Ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
Ὦ 'ναξ Ἀΐδη, δέξαι μ'· ὦ Διὸς ἀκτὶς, παῖσον,
Ἔνσεισον, ὦ 'ναξ, ἐγκατάσκηψον βέλος,
Πάτερ, κεραυνοῦ· δαίνυται γὰρ αὖ πάλιν,
Ἤνθηκεν, ἐξώρμηκεν. Ὦ χέρες, χέρες,
Ὦ νῶτα, καὶ στέρν', ὦ φίλοι βραχίονες,
Ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ', οἵ ποτε
Νεμέας ἔνοικον, βουκόλων ἀλάστορα,
Λέοντ', ἄπλατον θρέμμα κἀπροσήγορον,
Βίᾳ κατειργάσασθε, Λερναίαν θ' Ὕδραν,

Διφυῆ τ' ἄμικτον ἱπποβάμονα στρατὸν
Θηρῶν, ὑβριστὴν, ἄνομον, ὑπείροχον βίαν,
Ἐρυμάνθιόν τε θῆρα, τόν θ' ὑπὸ χθονὸς
Ἅδου τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας,
Δεινῆς Ἐχίδνης θρέμμα (32), τόν τε χρυσέων
Δράκοντα μήλων φύλακ' ἐπ' ἐσχάτοις τόποις,
Ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
Κοὐδεὶς τρόπαι' ἔστησε τῶν ἐμῶν χερῶν·
Νῦν δ' ὧδ' ἄναρθρος καὶ κατερρακωμένος,
Τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας,
Ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
Ὁ τοῦ κατ' ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
Ἀλλ' εὖγέ τοι τόδ' ἴστε, κἂν τὸ μηδὲν ὦ,
Κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
Χειρώσομαι, κἀκ τῶνδε. Προσμόλοι μόνον,
Ἵν' ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν ὅτι
Καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.

Id. Les Trachiniennes, v. 1063—1127.

Plaintes d'Électre.

ARGUMENT.

Tandis qu'Oreste s'entretient avec son gouverneur, et que, pour mieux assurer la vengeance du crime qui lui a ravi un père, il le charge de publier qu'Oreste n'est plus, Électre arrive sur la scène. Oreste voudrait écouter un moment ses gémissemens et ses plaintes; mais le gouverneur s'y oppose. D'après ses conseils, le jeune prince se retire. Électre, seule sur la scène, donne un libre essor à sa douleur et pleure la mort d'Agamemnon.

Ὦ φάος ἁγνὸν, καὶ γῆς
Ἰσόμοιρος ἀὴρ, ὥς μοι
Πολλὰς μὲν θρήνων ᾠδὰς,

Πολλὰς δ' ἀντήρεις ᾔσθου
Στέρνων πλαγὰς αἱμασσομένων,
Ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
Τὰ δὲ παννυχίδων, ἤδη στυγεραὶ
Ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
Ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
Πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
Φοίνιος Ἄρης οὐκ ἐξείνισε,
Μήτηρ δ' ἡ 'μὴ χὡ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
Σχίζουσι κάρα φονίῳ πελέκει.
Κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
Ἢ 'μοῦ φέρεται, σοῦ, πάτερ, οὕτως
Ἀδίκως οἰκτρῶς τε θανόντος.
Ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων
Στυγερῶν τε γόων, ἔστ' ἂν
Λεύσσω παμφεγγεῖς ἄστρων
Ῥιπὰς, λεύσσω δὲ τόδ' ἦμαρ, μὴ
Οὐ, τεκνολέτειρ' ὥς τις ἀηδὼν,
Ἐπὶ κωκυτῷ, τῶνδε πατρῴων
Πρὸ θυρῶν, ἠχὼ πᾶσι προφωνεῖν.
Ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης,
Ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' Ἀρὰ,
Σεμναί τε θεῶν παῖδες Ἐριννῦες,
Αἳ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε,
Τοὺς τὰς εὐνὰς ὑποκλεπτομένους,
Ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
Φόνον ἡμετέρου,
Καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν·
Μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ
Λύπης ἀντίῤῥοπον ἄχθος.

Id. Électre, 86—116.

Électre tenant l'urne où elle croit que sont renfermées les cendres d'Oreste.

ARGUMENT.

Oreste et Pylade, arrivés à la demeure d'Ægisthe, s'entretiennent avec le chœur et Électre. Loin de se faire connaître, ils feignent d'être des Phocéens chargés pour Ægisthe d'un message important. Électre interroge Oreste sur le message qui lui est confié. Il lui répond que dans l'urne qu'il porte sont renfermées les cendres d'Oreste. Électre, au nom des dieux, le conjure de lui permettre de prendre cette urne entre ses mains. Elle gémit, verse des larmes, et déplore le malheur de son frère et de toute sa famille.

Ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ,
Ψυχῆς Ὀρέστου λοιπὸν, ὥς σ' ἀπ' ἐλπίδων,
Οὐχ ὥνπερ ἐξέπεμπον, εἰσεδεξάμην!
Νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν.
Δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
Ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
Πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι, χεροῖν
Κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου,
Ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
Τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
Νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης, φυγὰς,
Κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·
Κοὔτ' ἐν φίλῃσι χερσὶν ἡ τάλαιν' ἐγὼ
Λουτροῖς ἐκόσμησ', οὔτε παμφλέκτου πυρὸς
Ἀνειλόμην, ὡς εἰκὸς, ἄθλιον βάρος·
Ἀλλ' ἐν ξένῃσι χερσὶ κηδευθεὶς, τάλας,
Σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
Οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
Ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ

Πόνῳ γλυκεῖ παρέσχον! οὔτε γάρ ποτε
Μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος·
Οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·
Ἐγὼ δ' ἀδελφή σοι προσηυδώμην ἀεί.
Νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
Θανόντα σὺν σοί· πάντα γὰρ συναρπάσας,
Θύελλ' ὅπως, βέβηκας· οἴχεται πατήρ,
Τέθνηκ' ἐγὼ σοι, φροῦδος αὐτὸς εἶ θανών·
Γελῶσι δ' ἐχθροί, μαίνεται δ' ὑφ' ἡδονῆς
Μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
Φήμας λάθρα προὔπεμπες ὡς φανούμενος
Τιμωρὸς αὐτός. Ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
Δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
Ὅς σ' ὧδέ μοι προὔπεμψεν, ἀντὶ φιλτάτης
Μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
Οἴ μοι μοί!
Ὦ δέμας οἰκτρόν! φεῦ! φεῦ!
Ὦ δεινοτάτας! οἴ μοι μοί!
Πεμφθεὶς κελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσας!
Ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
Τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
Τὴν μηδὲν εἰς τὸ μηδέν, ὡς ξὺν σοὶ κάτω
Ναίω τολοιπόν. Καὶ γάρ, ἡνίκ' ἦσθ' ἄνω,
Ξὺν σοὶ μετεῖχον τῶν ἴσων· καὶ νῦν ποθῶ
Τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου·
Τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.

Id. Électre, v. 1131—1176

Oreste se fait reconnaître à Électre.

ARGUMENT.

Les gémissemens d'Électre, les plaintes touchantes dont elle honore la mémoire d'un frère qu'elle croit avoir perdu pour jamais, remplissent l'âme d'Oreste de la plus vive émotion. Il n'est plus maître du trouble qui l'agite, et se fait reconnaître à Électre.

Cette reconnaissance est bien amenée et du plus grand effet. On a pleuré avec Électre, on partage la joie qu'elle éprouve en retrouvant son frère.

ΟΡΕΣΤΗΣ ΚΑΙ ΗΛΕΚΤΡΑ.

Ο. Φεῦ! φεῦ! τί λέξω; ποῖ λόγων, ἀμηχανῶν,
Ἔλθω; κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.
Η. Τί δ' ἔσχες ἄλγος; πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
Ο. Ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
Η. Τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
Ο. Οἴμοι ταλαίνης ἄρα τῆσδε συμφορᾶς!
Η. Τί δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;
Ο. Ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον!
Η. Οὔτοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς, ξένε.
Ο. Φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς!
Η. Τί δή ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;
Ο. Ὡς οὐκ ἄρ' ᾔδη τῶν ἐμῶν οὐδὲν κακῶν!
Η. Ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων
Ο. Ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσι.
Η. Καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
Ο. Καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
Η. Ὅθ' οὕνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
Ο. Τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
Η. Τοῖς πατρός· εἶτα τοῖσδε δουλεύω βίᾳ.
Ο. Τίς γάρ σ' ἀνάγκη τῇδε προτρέπει βροτῶν;

Η. Μήτηρ καλεῖται· μητρὶ δ' οὐδὲν ἐξισοῖ.
Ο. Τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βίου;
Η. Καὶ χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
Ο. Οὐδ' οὐ παρήξων, οὔθ' ὁ κωλύσων πάρα;
Η. Οὐ δῆθ'· ὃς ἦν γάρ μοι, σὺ προὔθηκας σποδόν.
Ο. Ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι!
Η. Μόνος βροτῶν νῦν ἴσθ' ἐποικτείρας ποτέ.
Ο. Μόνος γὰρ ἥκω τοῖς ἴσοις ἀλγῶν κακοῖς.
Η. Οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
Ο. Ἐγὼ φράσαιμ' ἂν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
Η. Ἀλλ' ἔστιν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς·
Ο. Μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
Η. Μὴ δῆτα, πρὸς θεῶν, τοῦτό μ' ἐργάσῃ, ξένε.
Ο. Πείθου λέγοντι, κοὐχ ἁμαρτήσει ποτέ.
Η. Μὴ, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
Ο. Οὔ φημ' ἐάσειν.
Η. Ὦ τάλαιν' ἐγὼ σέθεν,
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς!
Ο. Εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ στένεις.
Η. Πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
Ο. Οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
Η. Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
Ο. Ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν·
Η. Εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε·
Ο. Ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
Η. Ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
Ο. Οὐκ ἔστι· τοῦ γὰρ ζῶντος οὐκ ἔστι τάφος.
Η. Πῶς εἶπας, ὦ παῖ;
Ο. Ψεῦδος οὐδὲν ὧν λέγω.
Η. Ἦ ζῇ γὰρ ἀνήρ;
Ο. Εἴπερ ἔμψυχός γ' ἐγώ.
Η. Ἦ γὰρ σὺ κεῖνος;

O. Τήνδε προσβλέψασά μου
Σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.
H. Ὦ φίλτατον φῶς!
O. Φίλτατον, ξυμμαρτυρῶ.
H. Ὦ φθέγμ', ἀφίκου;
O. Μηκέτ' ἄλλοθεν πύθῃ.
H. Ἔχω σὲ χερσίν;
O. Ὡς τὰ λοίπ' ἔχοις ἀεί.
H. Ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
Ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
Θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.
Id. Électre, v. 1180—1242.

Philoctète abandonné dans l'île de Lemnos.

ARGUMENT.

Pendant que Néoptolème et le chœur s'entretiennent sur les moyens de faire réussir leur entreprise, Philoctète dirige ses pas vers eux, leur demande dans quels pays ils sont nés, et quel hasard les a poussés sur ces côtes désertes. Néoptolème répond qu'ils sont Grecs, et feint d'ignorer que c'est à Philoctète qu'il parle. Celui-ci lui raconte alors la déplorable histoire de ses malheurs.

Ὦ πόλλ' ἐγὼ μοχθηρὸς, ὦ πικρὸς θεοῖς,
Οὗ μηδὲ κληδὼν ὧδ' ἔχοντος οἴκαδε,
Μηδ' Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ που!
Ἀλλ' οἱ μὲν, ἐκβαλόντες ἀνοσίως ἐμὲ,
Γελῶσι σῖγ' ἔχοντες· ἡ δ' ἐμὴ νόσος
Ἀεὶ τέθηλε, κἀπὶ μεῖζον ἔρχεται.
Ὦ τέκνον, ὦ παῖ πατρὸς ἐξ Ἀχιλλέως,
Ὅδ' εἰμ' ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
Τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων (33),
Ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης, ὃν οἱ
Δισσοὶ στρατηγοὶ (34) χὡ Κεφαλλήνων ἄναξ (35)

Ἔρριψαν αἰσχρῶς ὧδ' ἔρημον, ἀγρίᾳ
Νόσῳ καταφθίνοντα τῆδ', ἀνδροφθόρου
Πληγέντ' ἐχίδνης ἀγρίῳ χαράγματι (36).
Ξὺν ᾗ μ' ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε
Ὤχοντ' ἔρημον, ἡνίκ' ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
Τότ' ἄσμενοί μ' ὡς εἶδον ἐκ πολλοῦ σάλου
Εὕδοντ' ἐπ' ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,
Λιπόντες ᾤχονθ' οἷα φωτὶ δυσμόρῳ
Ῥάκη προθέντες βαιὰ, καί τι καὶ βορᾶς
Ἐπωφέλημα σμικρὸν, οἷ' αὐτοῖς τύχοι.
Σὺ δὴ, τέκνον, ποίαν μ' ἀνάστασιν δοκεῖς,
Αὐτῶν βεβώτων, ἐξ ὕπνου στῆναι τότε;
Ποῖ' ἐκδακρῦσαι; ποῖ' ἀποιμῶξαι κακά;
Ὁρῶντα μὲν ναῦς, ἃς ἔχων ἐναυστόλουν,
Πάσας βεβώσας, ἄνδρα δ' οὐδὲν ἔντοπον,
Οὐχ ὅστις ἀρκέσειεν, οὐδ' ὅστις νόσου
Κάμνοντι συλλάβοιτο· πάντα δὲ σκοπῶν,
Εὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρὸν,
Τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
Ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
Κἄδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον
Διακονεῖσθαι· γαστρὶ μὲν τὰ σύμφορα
Τόξον τόδ' ἐξεύρισκε, τὰς ὑποπτέρους
Βάλλον πελείας· πρὸς δὲ τοῦθ', ὅ μοι βάλοι
Νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
Εἰλυόμην, δύστηνος ἐξέλκων πόδα.
Πρὸς τοῦτ' ἂν, εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
Καί που πάγου χυθέντος, οἷα χείματι,
Ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
Ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν,
Ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων, μόλις

Ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζοιμ' ἀεί·
Οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα
Πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
Φέρ', ὦ τέκνον, νῦν καὶ τὸ τῆς νήσου μάθῃς.
Ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών·
Οὐ γάρ τις ὅρμος ἐστὶν, οὐδ' ὅποι πλέων
Ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται·
Οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσιν βροτῶν·
Τάχ' οὖν τις ἄκων ἔσχε· πολλὰ γὰρ τάδε
Ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ.
Οὗτοί μ', ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
Ἐλεοῦσι μὲν, καί πού τι καὶ βορᾶς μέρος
Προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν·
Ἐκεῖνο δ' οὐδεὶς, ἡνίκ' ἂν μνησθῶ, θέλει,
Σῶσαί μ' ἐς οἴκους· ἀλλ' ἀπόλλυμαι τάλας,
Ἔτος τόδ' ἤδη δέκατον, ἐν λιμῷ τε καὶ
Κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
Τοιαῦτ' Ἀτρεῖδαί μ' ἥ τ' Ὀδυσσέως βία,
Ὦ παῖ, δεδράκασ'· οἷς Ὀλύμπιοι θεοὶ
Δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.

Id. Philoctète, v. 254—316.

Philoctète à Pyrrhus.

ARGUMENT.

Néoptolème, après avoir trompé Philoctète par le récit des injustices qu'il prétend avoir reçues d'Ulysse et des Atrides, lui annonce qu'il s'apprête à s'éloigner de Lemnos pour retourner à Scyros, sa patrie. Philoctète le conjure de ne pas l'abandonner dans cette île, mais plutôt de le recevoir dans son vaisseau, et de mettre ainsi un terme à ses souffrances. Voici son éloquente prière :

Πρός νύν σε πατρὸς, πρός τε μητρὸς, ὦ τέκνον,
Πρός τ', εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλὲς,

Ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον
Ἔρημον, ἐν κακοῖσι τοῖσδ', οἵοις ὁρᾷς,
Ὅσοισί τ' ἐξήκουσας, ἐνναίοντά με·
Ἀλλ' ἐν παρέργῳ θοῦ με. Δυσχέρεια μὲν,
Ἔξοιδα, πολλὴ τοῦδε τοῦ φορήματος·
Ὅμως δὲ τλῆθι. Τοῖσι γενναίοισί τοι
Τό τ' αἰσχρὸν ἐχθρὸν, καὶ τὸ χρηστὸν εὐκλεές·
Σοί δ', ἐκλιπόντι τοῦτ', ὄνειδος οὐ καλόν·
Δράσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
Ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
Ἴθ'· ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
Τόλμησον· ἐμβαλοῦ μ' ὅποι θέλεις ἄγων,
Ἐς ἀντλίαν, ἐς πρῷραν, ἐς πρύμναν, ὅποι
Ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
Νεῦσον· πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον,
Πείσθητι· προσπιτνῶ σε γόνασι, καίπερ ὢν
Ἀκράτωρ ὁ τλήμων, χωλός· ἀλλὰ μή μ' ἀφῇς
Ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου,
Ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
Ἢ πρὸς τὰ Χαλκώδοντος (37) Εὐβοίας σταθμά·
Κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος,
Τραχινίαν τε δεράδ' ἢ τὸν εὔροον
Σπερχειὸν ἔσται, πατρί μ' ὡς δείξῃς φίλῳ,
Ὃν δὴ παλαιὸν ἐξότου δέδοικ' ἐγὼ,
Μή μοι βεβήκῃ· πολλὰ γὰρ τοῖς ἱγμένοις
Ἔστελλον αὐτὸν, ἱκεσίους πέμπων λιτὰς,
Αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμοις.
Ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,
Ὡς εἰκὸς, οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρει
Ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον.
Νῦν δ', εἰς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον
Ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον, εἰσορῶν

Ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
Κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα·
Χρὴ δ' ἐκτὸς ὄντα πημάτων, τὰ δείν' ὁρᾷν·
Χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
Σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ (38).

Ibid. v. 467—505.

Agamemnon et Iphigénie.

ARGUMENT.

Calchas avait déclaré que, pour obtenir les vents favorables, il fallait qu'Agamemnon immolât Iphigénie. Ce prince veut d'abord congédier l'armée; mais, vaincu enfin par Ménélas, il signe l'arrêt barbare. Il écrit à Clytemnestre d'envoyer Iphigénie en Aulide; et, pour cacher ce qui se passe, il annonce à son épouse que la jeune princesse doit donner sa main à Achille. Bientôt la tendresse paternelle renaît dans son cœur; il charge un vieillard d'aller à Argos porter à Clytemnestre une autre lettre, où il lui dit de ne pas conduire Iphigénie en Aulide. Ménélas, soupçonnant la faiblesse de son frère, arrache cette lettre des mains du vieillard. Clytemnestre, qui n'a point reçu de nouveaux ordres, arrive avec sa fille à l'armée des Grecs. Elles se présentent devant le roi. Iphigénie vole dans les bras de son père, et c'est alors qu'a lieu cette scène touchante et naïve.

I. Ἐγὼ δὲ βούλομαι τὰ σὰ στέρν', ὦ πάτερ,
Ὑποδραμοῦσα προσβαλεῖν διὰ χρόνου.
Ποθῶ γὰρ ὄμμα δή σόν· ὀργισθῇς δὲ μή.
A. Ἀλλ', ὦ τέκνον, χρῶ· φιλοπάτωρ δ' ἀεί ποτ' εἶ
Μάλιστα παίδων τῶνδ', ὅσους ἐγὼ τέκον.
I. Ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ.
A. Καὶ γὰρ πατήρ σε· τόδ' ἴσον ὑπὲρ ἀμφοῖν λέγεις.
I. Χαῖρ', εὖ δέ μ' ἀγαγὼν πρός σ' ἐποίησας, πάτερ.
A. Οὐκ οἶδ' ὅπως φῶ τοῦτο, καὶ μὴ φῶ, τέκνον.

I. Ἔα, ὡς οὐ βλέπεις μ' εὔκηλον, ἄσμενός μ' ἰδών.
A. Πόλλ' ἀνδρὶ βασιλεῖ καὶ στρατηλάτῃ μέλει.
I. Παρ' ἐμοὶ γενοῦ νῦν, μὴ 'πὶ φροντίδας τρέπου.
A. Ἀλλ' εἰμὶ παρὰ σοὶ νῦν ἅπας, κοὐκ ἄλλοθι.
I. Μέθες νῦν ὀφρὺν, ὄμμα τ' ἔκτεινον φίλον.
A. Ἰδοὺ γέγηθ', ἕως γέγηθά, σ' εἰσορῶν, τέκνον.
I. Κἄπειτα λείβεις δάκρυ' ἀπ' ὀμμάτων σέθεν;
A. Μακρὰ γὰρ ἡμῖν ἡ 'πιοῦσ' ἀπουσία.
I. Οὐκ οἶδ', ὃ φὴς, οὐκ οἶδα, φίλτατ' ἐμοὶ πάτερ.
A. Συνετὰ λέγουσα, μᾶλλον εἰς οἶκτόν μ' ἄγεις.
I. Ἀσύνετα νῦν ἐροῦμεν, εἴ σέ γ' εὐφρανῶ.
A. Παπαί! τὸ σιγᾷν οὐ σθένω· σὲ δ' ᾔνεσα.
I. Μέν', ὦ πάτερ, κατ' οἶκον ἐπὶ τέκνοις σέθεν.
A. Θέλω γε· τὸ θέλειν δ' οὐκ ἔχων ἀλγύνομαι.
I. Ὄλοιντο λόγχαι! και τὰ Μενέλεω κακά.
A. Ἄλλους ὀλεῖ πρόσθ', ἃ με διολέσαντ' ἔχει.
I. Ὡς πολὺν ἀπῆσθα χρόνον ἐν Αὐλίδος μυχοῖς!
A. Καὶ νῦν γέ μ' ἴσχει δή τι μὴ στέλλειν στρατόν.
I. Ποῦ τοὺς Φρύγας λέγουσιν ᾠκῆσθαι, πάτερ;
A. Οὗ μή ποτ' οἰκεῖν ὤφελ' ὁ Πριάμου Πάρις.
I. Μακρὰν γ' ἀπαίρεις, ὦ πάτερ, λιπὼν ἐμέ;
A. Εἰς ταὐτὸν, ὦ θύγατερ, σύ θ' ἥκεις τῷ πατρί.
I. Φεῦ! εἴθ' ἦν καλόν μοι, σοί τ' ἄγειν σύμπλουν ἐμέ.
A. Αἰτεῖς τι; καί σοι πλοῦς, ἵνα μνήσῃ πατρός.
I. Σὺν μητρὶ πλεύσασ', ἢ μόνη, πορεύσομαι;
A. Μόνη μονωθεῖσ' ἀπὸ πατρὸς καὶ μητέρος.
I. Ἤπου μ' ἐς ἄλλα δώματ' οἰκίζεις, πάτερ;
A. Ἔα γε ταῦτ'· οὐ χρή τοι τάδ' εἰδέναι κόρας.
I. Σπεῦδ' ἐκ Φρυγῶν μοι, θέμενος εὖ τἀκεῖ, πάτερ·
A. Θῦσαί με θυσίαν πρῶτα δεῖ τιν' ἐνθάδε.
I. Ἀλλὰ ξὺν ἱεροῖς χρὴ τόδ' εὐσεβὲς σκοπεῖν.
A. Εἴσῃ σύ· χερνίβων γὰρ ἑστήξει πέλας.

I. Στήσομεν ἆρ' ἀμφὶ βωμὸν, ὦ πάτερ, χορούς;
A. Ζηλῶ σε μᾶλλον, ἢ 'με, τοῦ μηδὲν φρονεῖν.
Χώρει δὲ μελάθρων ἐντὸς, ὀφθῆναι κόραις,
Πικρὸν φίλημα δοῦσα, δεξιάν τ' ἐμοὶ,
Μέλλουσα δαρὸν πατρὸς ἀποικήσειν χρόνον.
Ὦ στέρνα, καὶ παρῇδες, ὦ ξανθαὶ κόμαι,
Ὡς ἄχθος ἡμῖν ἐγένεθ' ἡ Φρυγῶν πόλις
Ἑλένη τε! Παύω τοὺς λόγους· ταχεῖα γὰρ
Νοτὶς διώκει μ' ὀμμάτων, ψαύσαντά σου.
Ἴθ' εἰς μέλαθρα.

Euripide, *Iphigénie en Aulide*, v. 635—685.

Clytemnestre à Agamemnon.

ARGUMENT.

Malgré les précautions prises par Agamemnon, Clytemnestre est informée du sort qui est préparé à Iphigénie. Agamemnon vient à la rencontre de son épouse. Il voudrait dissimuler encore; mais Clytemnestre lui déclare qu'elle sait tout, qu'on lui a tout révélé. Agamemnon, confondu, est réduit à se taire. Clytemnestre lui adresse ces paroles en faveur d'Iphigénie.

Ἄκουε δὴ νῦν· ἀνακαλύψω γὰρ λόγους,
Κοὐκέτι παρῳδοῖς χρησόμεσθ' αἰνίγμασιν.
Πρῶτον μὲν, ἵνα σοι πρῶτα τοῦτ' ὀνειδίσω,
Ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ,
Τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανὼν,
Βρέφος τε τοὐμὸν σῷ προσούδισας πάλῳ,
Μαστῶν βιαίως τῶν ἐμῶν ἀποσπάσας.
Καὶ τὼ Διός γε παῖδ', ἐμώ τε συγγόνω,
Ἵπποισι μαρμαίροντ', ἐπεστρατευσάτην·
Πατὴρ δὲ πρέσβυς Τυνδάρεως σ' ἐῤῥύσατο

Ἱκέτην γενόμενον, τἀμὰ δ' ἔσχες αὖ λέχη.
Οὔ σοι καταλλαχθεῖσα, περὶ σὲ καὶ δόμους,
Ξυμμαρτυρήσεις, ὡς ἄμεμπτος ἦν γυνὴ (39),
Εἴς τ' Ἀφροδίτην σωφρονοῦσα, καὶ τὸ σὸν
Μέλαθρον αὔξουσ', ὥστε σ' εἰσιόντα τε
Χαίρειν, θύραζέ τ' ἐξιόντ' εὐδαιμονεῖν.
Σπάνιον δὲ θήρευμ' ἀνδρὶ, τοιαύτην λαβεῖν
Δάμαρτα· φλαύραν δ' οὐ σπάνις γυναῖκ' ἔχειν.
Τίκτω δ' ἐπὶ τρισὶ παρθένοισι παῖδά σοι
Τόνδ', ὧν μιᾶς σὺ τλημόνως μ' ἀποστερεῖς.
Κἄν τις σ' ἔρηται, τίνος ἕκατί νιν κτενεῖς,
Λέξον, τί φήσεις; ἢ 'μὲ χρὴ λέγειν τὰ σά;
Ἑλένην Μενέλαος ἵνα λάβῃ. Καλόν γε, νῷ
Κακῆς γυναικὸς μισθὸν ἀποτῖσαι τέκνα·
Τἄχθιστα τοῖσι φιλτάτοις ὠνούμεθα.
Ἄγ', ἢν στρατεύσῃ καταλιπών μ' ἐν δώμασιν,
Κἀκεῖ γενήσῃ διὰ μακρᾶς ἀπουσίας,
Τίν' ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς,
Ὅταν θρόνους τῆσδ' εἰσίδω πάντας κενούς,
Κενοὺς δὲ παρθενῶνας; ἐπὶ δὲ δακρύοις
Μόνη κάθημαι (40), τήνδε θρηνῳδοῦσ' ἀεί·
Ἀπώλεσέν σ', ὦ τέκνον, ὁ φυτεύσας πατὴρ,
Αὐτὸς κτανὼν, οὐκ ἄλλος, οὐδ' ἄλλῃ χερὶ,
Τοιόνδε μισθὸν καταλιπὼν πρὸς τοὺς δόμους.
Ἐπεὶ βραχείας προφάσεως ἔδει μόνον,
Ἐφ' ᾗ σ' ἐγὼ, καὶ παῖδες αἱ λελειμμέναι,
Δεξόμεθα δέξιν, ἥν σε δέξασθαι χρεών.
Μὴ δῆτα πρὸς θεῶν, μήτ' ἀναγκάσῃς ἐμὲ
Κακὴν γενέσθαι περὶ σὲ, μήτ' αὐτὸς γένῃ.
Εἶεν. Θύσεις δὲ τὴν παῖδ'· ἔνθα τίνας εὐχὰς ἐρεῖς,
Τί σοι κατεύξει τἀγαθὸν, σφάζων τέκνον;
Νόστον πονηρὸν, οἴκοθέν γ' αἰσχρῶς ἰών;

Ἀλλ' ἐμὲ δίκαιον ἀγαθὸν εὔχεσθαί τί σοι;
Οὔτ' ἆρ' ἀσυνέτους τοὺς θεοὺς ἡγοίμεθ' ἄν,
Εἰ τοῖσιν αὐθένταισιν εὖ φρονήσομεν:
Ἥκων δ' ἐς Ἄργος προσπέσει τέκνοισι σοῖς;
Ἀλλ' οὐ θέμις σοι· τίς δὲ καὶ προσβλέψεται
Παίδων σ', ὅτων ἂν προθέμενος κτάνῃς τινά;
Ταῦτ' ἦλθον ἤδη διὰ λόγων· ἢ σκῆπτρά τοι
Μόνον διαφέρειν, καὶ στρατηλατεῖν σε δεῖ,
Ὃν χρῆν δίκαιον λόγον ἐν Ἀργείοις λέγειν;
« Βούλεσθ', Ἀχαιοὶ, πλεῖν Φρυγῶν ἐπὶ χθόνα;
» Κλῆρον τίθεσθε, παῖδ' ὅτου θανεῖν χρεών. »
Ἐν ἴσῳ γὰρ ἦν τόδ'· ἀλλὰ μή σ' ἐξαίρετον
Σφάγιον παρασχεῖν Δαναΐδαισι παῖδα σήν,
Ἢ Μενέλεων πρὸ μητρὸς Ἑρμιόνην κτανεῖν,
Οὗπερ τὸ πρᾶγμ' ἦν. Νῦν δ' ἐγὼ μὲν, ἡ τὸ σὸν
Σώζουσα λέκτρον, παιδὸς ὑστερήσομαι,
Ἡ δ' ἐξαμαρτοῦσ' (41), ὑπόστροφον νεανίδα (42)
Σπάρτῃ κομίζουσ', εὐτυχὴς γενήσεται.
Τούτων ἄμειψαί μ', εἴ τι μὴ καλῶς λέγω·
Εἰ δ' εὖ λέλεκται νῷν, μὴ δή γε κτάνῃς
Τὴν σήν τε κἀμὴν παῖδα, καὶ σώφρων ἔσει.

Ibid. v. 1146—1208

Iphigénie à son père.

ARGUMENT.

Le chœur se joint à Clytemnestre pour fléchir Agamemnon. Iphigénie, à son tour, le conjure de ne pas l'envoyer à la mort.

Εἰ μὲν τὸν Ὀρφέως εἶχον (43), ὦ πάτερ, λόγον,
Πείθειν ἐπᾴδουσ', ὥσθ' ὁμαρτεῖν μοι πέτρας,
Κηλεῖν τε τοῖς λόγοισιν, οὓς ἐβουλόμην,

Ἐνταῦθ' ἂν ἦλθον· νῦν δὲ τἀπ' ἐμοῦ σοφὰ,
Δάκρυα παρέξω· ταῦτα γὰρ δυναίμεθ' ἄν.
Ἱκετηρίαν δὲ γόνασιν ἐξάπτω σέθεν
Τὸ σῶμα τοὐμὸν, ὅπερ ἔτικτεν ἥδε σοι,
Μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς
Βλέπειν· τὰ δ' ὑπὸ γῆς μή μ' ἰδεῖν ἀναγκάσῃς.
Πρώτη σ' ἐκάλεσα πατέρα, καὶ σὺ παῖδ' ἐμέ.
Πρώτη δὲ, γόνασι σοῖσι σῶμα δοῦσ' ἐμὸν,
Φίλας χάριτας ἔδωκα, κἀντεδεξάμην.
Λόγος δ' ὁ μὲν σὸς ἦν ὅδ'· ἆρά σ', ὦ τέκνον,
Εὐδαίμονος ἀνδρὸς ἐν δόμοισιν ὄψομαι,
Ζῶσάν τε καὶ θάλλουσαν ἀξίως ἐμοῦ;
Οὑ 'μὸς δ' ὅδ' ἦν αὖ, περὶ σὸν ἐξαρτωμένης
Γένειον, οὗ νῦν ἀντιλάζομαι χερί.
Τί δ' ἄρ' ἐγώ σε πρέσβυν; ἆρ' εἰσδέξομαι
Ἐμῶν φίλαισιν ὑποδοχαῖς δόμων, πάτερ,
Πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς;
Τούτων ἐγὼ μὲν τῶν λόγων μνήμην ἔχω,
Σὺ δ' ἐπιλέλησαι, καί μ' ἀποκτεῖναι θέλεις.
Μὴ πρός γε Πέλοπος, καὶ πρὸς Ἀτρέως πατρὸς,
Καὶ τῆς γε μητρὸς, ἣ πρὶν ὠδίνουσ' ἐμὲ,
Νῦν δευτέραν ὠδῖνα τήνδε λαμβάνει.
Τί μοι μέτεστι τῶν Ἀλεξάνδρου γάμων,
Ἑλένης τε; πόθεν ἦλθ' ἐπ' ὀλέθρῳ τῷμῷ, πάτερ;
Βλέψον πρὸς ἡμᾶς, ὄμμα δὸς φίλημά τε,
Ἵν' ἀλλὰ τοῦτο κατθανοῦσ' ἔχω σέθεν
Μνημεῖον, ἢν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις.
Ἀδελφὲ, μικρὸς μὲν σύ γ' ἐπίκουρος φίλοις,
Ὅμως δὲ σὺν δάκρυσιν ἱκέτης γίγνου πατρὸς,
Τὴν σὴν ἀδελφὴν μὴ θανεῖν· αἴσθημά τι
Κἀν νηπίοις γε τῶν κακῶν ἐγγίγνεται.
Ἰδοὺ σιωπῶν λίσσεταί σ' ὅδ', ὦ πάτερ.

Ἀλλ' αἰδεσαί με, καὶ κατοίκτειρον βίον.
Ναὶ, πρὸς γενείου σ' ἀντόμεσθα δύο φίλω,
Ὁ μὲν νεοσσός ἐστιν, ἡ δ' ηὐξημένη.
Ἐν συντεμοῦσα πάντα νικήσω λόγον.
Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν,
Τὰ νέρθε δ' οὐδέν· μαίνεται δ', ὃς εὔχεται
Θανεῖν· κακῶς ζῆν κρεῖσσον, ἢ θανεῖν καλῶς (44).

Ibid. v. 1211—1252.

Sacrifice d'Iphigénie.

ARGUMENT.

Malgré les larmes d'une mére, malgré les offres généreuses d'Achille, Iphigénie prend la noble resolution de mourir pour la Grèce et d'obtenir par son dévouement le départ des vaisseaux et le renversement de Troie. Elle se sépare de Clytemnestre, et court au temple de Diane présenter son sein au couteau sacré. Calchas porte le coup fatal; mais Iphigénie a disparu, et l'on voit étendue à terre, et encore palpitante, la victime que Diane a mise à sa place.

Un messager raconte à Clytemnestre cet étonnant prodige.

ΑΓΓΕΛΟΣ.

Ἀλλ', ὦ φίλη δέσποινα, πᾶν πεύσῃ σαφῶς·
Λέξω δ' ἀπ' ἀρχῆς, ἤν τι μὴ σφαλεῖσά μου
Γνώμη ταράξῃ γλῶσσαν ἐν λόγοις ἐμήν.
Ἐπεὶ γὰρ ἱκόμεσθα τῆς Διὸς κόρης,
Ἀρτέμιδος ἄλσος λειμακάς τ' ἀνθηφόρους,
Ἵν' ἦν Ἀχαιῶν σύλλογος στρατεύματος,
Σὴν παῖδ' ἄγοντες, εὐθὺς Ἀργείων ὄχλος
Ἠθροίζεθ'· ὡς δ' ἐσεῖδεν Ἀγαμέμνων ἄναξ
Ἐπὶ σφαγὰς στείχουσαν εἰς ἄλσος κόρην,
Ἀνεστέναξε, κἄμπαλιν στρέψας κάρα,

Δάκρυα προῆγεν, ὀμμάτων πέπλον προθείς.
Ἡ δὲ σταθεῖσα τῷ τεκόντι πλησίον,
Ἔλεξε τοιάδ'· ὦ πάτερ, πάρειμί σοι,
Τοὐμὸν δὲ σῶμα τῆς ἐμῆς ὑπὲρ πάτρας
Καὶ τῆς ἁπάσης Ἑλλάδος γαίας ὕπερ,
Θῦσαι δίδωμ' ἑκοῦσα, πρὸς βωμὸν θεᾶς
Ἄγοντας, εἴπερ ἐστὶ θέσφατον τόδε.
Καὶ τοὐπ' ἔμ' εὐτυχοῖτε, καὶ νικηφόρου
Δώρου τύχοιτε, πατρίδα τ' ἐξίκοισθε γῆν.
Πρὸς ταῦτα μὴ ψαύσῃ τις Ἀργείων ἐμοῦ·
Σιγῇ παρέξω γὰρ δέρην εὐκαρδίως.
Τοσαῦτ' ἔλεξε· πᾶς δ' ἐθάμβησε, κλύων
Εὐψυχίαντε κἀρετὴν τῆς παρθένου.
Στὰς δ' ἐν μέσῳ Ταλθύβιος (45), ᾧ τόδ' ἦν μέλε
Εὐφημίαν ἀνεῖπε καὶ σιγὴν στρατῷ.
Κάλχας δ' ὁ μάντις εἰς κανοῦν χρυσήλατον
Ἔθηκεν ὀξὺ χειρὶ φάσγανον σπάσας
Κολεῶν ἔσωθεν, κρᾶτά τ' ἔστεψεν κόρης.
Ὁ παῖς δ' ὁ Πηλέως ἐν κύκλῳ βωμὸν θεᾶς
Λαβὼν κανοῦν ἔθρεξε χέρνιβάς θ' ὁμοῦ·
Ἔλεξε δ'· ὦ θηροκτόν' (46) Ἄρτεμι, παῖ Διός,
Τὸ λαμπρὸν εἱλίσσουσ' ἐν εὐφρόνῃ φάος,
Δέξαι τὸ θῦμα τόδ', ὅγε σοι δωρούμεθα,
Στρατός τ' Ἀχαιῶν, Ἀγαμέμνων τ' ἄναξ ὁμοῦ,
Ἄχραντον αἷμα καλλιπαρθένου δέρης,
Καὶ δὸς γενέσθαι πλοῦν νεῶν ἀπήμονα,
Τροίας τε πέργαμ' ἐξελεῖν ἡμᾶς δορί.
Εἰς γῆν δ' Ἀτρεῖδαι πᾶς στρατός τ' ἔστη βλέπων.
Ἱερεὺς δὲ, φάσγανον λαβὼν, ἐπεύξατο,
Λαιμόν τ' ἐπεσκοπεῖθ', ἵνα πλήξειεν ἄν·
Ἐμοὶ δ' τ' ἄλγος οὐ μικρὸν ἐσήει φρένα,
Κἄστην νενευκώς (47). Θαῦμα δ' ἦν αἴφνης ὁρᾷν (48)·

Πληγῆς κτύπον γὰρ πᾶς τις ᾔσθετ' ἂν σαφῶς,
Τὴν παρθένον δ' οὐκ εἶδεν, οὗ γῆς εἰσέδυ.
Βοᾷ δ' ἱερεὺς, ἅπας δ' ἐπήχησε στρατὸς (49),
Ἄελπτον εἰσιδόντες ἐκ θεῶν τινος
Φάσμ', οὗ γε μηδ' ὁρωμένου πίστις παρῆν·
Ἔλαφος (50) γὰρ ἀσπαίρουσ' ἔκειτ' ἐπὶ χθονὶ,
Ἰδεῖν μεγίστη διαπρεπής τε τὴν θέαν,
Ἧς αἵματι βωμὸς ἐῤῥαίνετ' ἄρδην τῆς θεοῦ.
Κἀν τῷδε Κάλχας, πῶς δοκεῖς; χαίρων ἔφη·
Ὦ τοῦδ' Ἀχαιῶν κοίρανοι κοινοῦ στρατοῦ,
Ὁρᾶτε τήνδε θυσίαν, ἣν ἡ θεὸς
Προὔθηκε βωμίαν, ἔλαφον ὀρειδρόμον;
Ταύτην μάλιστα τῆς κόρης ἀσπάζεται,
Ὡς μὴ μιαίνῃ βωμὸν εὐγενεῖ φόνῳ.
Ἡδέως τε τοῦτ' ἐδέξατο, καὶ πλοῦν οὔριον
Δίδωσιν ἡμῖν, Ἰλίου τ' ἐπιδρομάς.
Πρὸς ταῦτα πᾶς τις θάρσος αἶρε ναυβάτης,
Χώρει τε πρὸς ναῦν, ὥστε δεῖ τῇδ' ἡμέρᾳ,
Λιπόντας ἡμᾶς Αὐλίδος κοίλους μυχοὺς,
Αἰγαῖον οἶδμα διαπερᾶν. Ἐπεὶ δ' ἅπαν
Κατηνθρακώθη θῦμ' ἐν Ἡφαίστου φλογὶ,
Τὰ πρόσφορ' ηὔξαθ', ὡς τύχοι νόστου στρατός.
Πέμπει δ' Ἀγαμέμνων μ', ὥστε σοι φράσαι τάδε,
Λέγειν θ', ὁποίας ἐκ θεῶν μοίρας κυρεῖ,
Καὶ δόξαν ἔσχεν ἄφθιτον καθ' Ἑλλάδα.
Ἐγὼ παρὼν δὲ, καὶ τὸ πρᾶγμ' ὁρῶν, λέγω·
Ἡ παῖς σαφῶς σοι πρὸς θεοὺς ἀφίπτατο·
Λύπης δ' ἀφαίρει, καὶ πόσει πάρες χόλον.
Ἀπροσδόκητα δὲ βροτοῖς τὰ τῶν θεῶν·
Σώζουσί θ', οὓς φιλοῦσιν· ἦμαρ γὰρ τόδε
Θανοῦσαν εἶδε καὶ βλέπουσαν παῖδα σήν.

Ibid. v. 1540—1612.

Hécube à Ulysse.

ARGUMENT.

Pendant que les Grecs rendaient, dans la Chersonèse de Thrace, les honneurs funèbres à Achille, l'ombre de ce héros leur apparut sur le tombeau vide qu'ils lui avaient dressé, et leur déclara que, pour sortir heureusement de la Chersonèse, ils devaient lui immoler Polyxène. Les Grecs obéissent aux volontés d'Achille. Ulysse est chargé d'aller chercher la victime. Hécube, à ce nouveau malheur, verse de nouvelles larmes et s'efforce d'attendrir ce héros en lui rappelant les services qu'elle lui rendit autrefois.

Οὐκοῦν κακύνῃ τοῖσδε σοῖς βουλεύμασιν,
Ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες, οἷα φῂς παθεῖν,
Δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ;
« Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
» Ζηλοῦτε τιμάς· μηδὲ γινώσκοισθέ μοι,
» Οἳ τοὺς φίλους βλάπτοντες, οὐ φροντίζετε,
» Ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι. »
Ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι,
Εἰς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
Πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποκτονεῖν
Πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
Ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων,
Εἰς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
Ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρὴ τάφῳ προσφάγματα.
Κείνη γὰρ ὤλεσέν μιν, εἰς Τροίαν τ' ἄγει.
Εἰ δ' αἰχμάλωτον χρή τιν' ἔκκριτον θανεῖν,
Κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε.
Ἡ Τυνδαρὶς (51) γὰρ εἶδος εὐπρεπεστάτη,
Ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ἧττον εὑρέθη.

Τῷ μὲν δικαίῳ τόνδ' ἁμιλλῶμαι λόγον.
Ἃ δ' ἀντιδοῦναι δεῖ σ' ἀπαιτούσης ἐμοῦ,
Ἄκουσον. Ἥψω τῆς ἐμῆς, ὡς φὴς, χερὸς,
Καὶ τῆσδε γεραιᾶς προσπιτνῶν παρηΐδος·
Ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ,
Χάριν τ' ἀπαιτῶ τὴν τόθ', ἱκετεύω τέ σε,
Μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,
Μηδὲ κτάνητε· τῶν τεθνηκότων ἅλις.
Ταύτῃ γέγηθα, κἀπιλήθομαι κακῶν.
Ἥδ' ἀντὶ πολλῶν ἐστί μοι παραψυχὴ,
Πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
« Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν, ἃ μὴ χρεὼν,
» Οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί·
» Κἀγὼ γὰρ ἦν ποτ' (52), ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι. »
Τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.
Ἀλλ', ὦ φίλον γένειον (53), αἰδέσθητί με,
Οἴκτειρον, ἐλθὼν δ' εἰς Ἀχαϊκὸν στρατὸν,
Παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος
Γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε,
Βωμῶν ἀποσπάσαντες, ἀλλ' ᾠκτείρατε.
« Νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος
» Καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι. »
Τὸ δ' ἀξίωμα κἂν κακῶς λέγῃ τὸ σὸν,
Πείσει. « Λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν,
» Κἀκ τῶν δοκούντων αὐτὸς, οὐ ταὐτὸν σθένει. »

Id. Hécube, v. 251—295.

Polyxène à Ulysse.

ARGUMENT.

Les gémissemens d'Hécube n'ont point ému Ulysse. Il répond que le premier devoir des Grecs est d'honorer Achille, et que ce devoir doit l'emporter sur toute autre considération. Hécube, reconnaissant l'impuissance de ses supplications, engage Polyxène à implorer elle-même la clémence d'Ulysse. Polyxène adresse au héros cette prière touchante :

Ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος
Κρύπτοντα χεῖρα, καὶ πρόσωπον τοὔμπαλιν
Στρέφοντα, μή σου προσθίγω γενειάδος (54).
Θάρσει· πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία
Ὡς ἕψομαί σοι, τοῦ τ' ἀναγκαίου χάριν,
Θανεῖν τε χρῄζουσ'· εἰ δὲ μὴ βουλήσομαι,
Κακὴ φανοῦμαι, καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν, ἧ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων· τοῦτό μοι πρῶτον βίου.
Ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
Βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμου
Ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
Δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
Γυναιξὶ, παρθένοισί τ' ἀπόβλεπτος μέτα,
Ἴση θεῇσι, πλὴν τὸ κατθανεῖν μόνον.
Νῦν δ' εἰμὶ δούλη· πρῶτα μέν με τοὔνομα
Θανεῖν ἐρᾷν τίθησιν, οὐκ εἰωθὸς ὄν·
Ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
Τύχοιμ' ἂν, ὅστις ἀργύρου μ' ὠνήσεται,
Τὴν Ἕκτορός τε χ' ἁτέρων πολλῶν κάσιν·
Προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
Σαίρειν τε δῶμα, κερκίσιν τ' ἐφεστάναι,

Λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει.
Λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθὲν
Χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
Οὐ δῆτ'· ἀφίημ' ὀμμάτων ἐλεύθερον
Φέγγος τόδ', ᾅδῃ προστιθεῖσ' ἐμὸν δέμας.
Ἄγ' οὖν μ', Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων.
Οὔτ' ἐλπίδος γὰρ, οὔτε του δόξης ὁρῶ
Θάρσος παρ' ἡμῖν, ὥς ποτ' εὖ πρᾶξαί με χρή.
Μᾶτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ,
Λέγουσα, μήτε δρῶσα· συμβούλου δέ μοι
Θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
« Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
» Φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ·
» Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
» Ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος. »

Ib. v. 352—378.

Mort de Polyxène.

ARGUMENT.

Polyxène, conduite par Ulysse, s'est éloignée de sa mère. Depuis ce cruel moment, Hécube reste absorbée dans la plus amère douleur. Cependant le sacrifice s'est accompli, et Talthybius vient, de la part des Atrides, ordonner à Hécube d'aller rendre à sa fille les derniers devoirs. Cette reine infortunée veut connaître toutes les circonstances de la mort de sa fille; et, quelque horrible que soit ce réci pour le cœur d'une mère, elle engage Talthybius à lui raconter tout ce qui s'est passé. Talthybius se rend à ses désirs, et s'exprime en ces termes.

ΤΑΛΘΥΒΙΟΣ.

Διπλᾶ με χρήζεις δάκρυα κερδᾶναι, γύναι,
Σῆς παιδὸς οἴκτῳ· νῦν τε γὰρ λέγων κακὰ

Τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
Παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ
Πλήρης πρὸ τύμβου, σῆς κόρης ἐπὶ σφαγάς·
Λαβὼν δ' Ἀχιλλέως παῖς (55) Πολυξένην χερὸς,
Ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ.
Λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
Σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν (56),
Ἕσποντο· πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
Πάγχρυσον, αἴρει χειρὶ παῖς Ἀχιλλέως
Χοὰς θανόντι πατρί· σημαίνει δέ μοι,
Σιγὴν Ἀχαιῶν παντὶ κηρύξαι στρατῷ.
Κἀγὼ παραστὰς, εἶπον ἐν μέσοις τάδε·
Σιγᾶτ', Ἀχαιοί, σίγα πᾶς ἔστω λεώς·
Σίγα, σιώπα· νήνεμον δ' ἔστησ' ὄχλον.
Ὁ δ' εἶπεν· ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
Δέξαι χοάς μου τάσδε κηλητηρίους,
Νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
Κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
Στρατός τε, κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ,
Λῦσαί τε πρύμνας καὶ χαλινωτήρια
Νεῶν δὸς ἡμῖν, πρευμενοῦς τ' ἀπ' Ἰλίου
Νόστου τυχόντας, πάντας εἰς πάτραν μολεῖν.
Τοσαῦτ' ἔλεξε· πᾶς δ' ἐπηύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν,
Ἐξεῖλκε κολεοῦ· λογάσι δ' Ἀργείων στρατοῦ
Νεανίαις ἔνευσε, παρθένον λαβεῖν.
Ἡ δ' ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
Ἑκοῦσα θνήσκω· μή τις ἅψηται χροὸς
Τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
Ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
Πρὸς θεῶν μεθέντες, κτείνατ'. « Ἐν νεκροῖσι γὰρ

« Δούλη κεκλῆσθαι, βασιλὶς οὖσ', αἰσχύνομαι.
Λαοὶ δ' ἐπεῤῥόθησαν· Ἀγαμέμνων τ' ἄναξ
Εἶπεν μεθεῖναι παρθένον νεανίαις.
Οἱ δ' ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
Μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.
Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
(57) Καθεῖσα πρὸς γαῖαν γόνυ,
Ἔλεξε πάντων τλημονέστατον λόγον·
Ἰδοὺ, τόδ' εἰ μὲν στέρνον, ὦ νεανία,
Παίειν προθυμῇ, παῖσον· εἰ δ' ὑπ' αὐχένα
Χρῄζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.
Ὁ δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κόρης,
Τέμνει σιδήρῳ πνεύματος διαῤῥοάς (58).
Κρουνοὶ δ' ἐχώρουν (59)· ἡ δὲ, καὶ θνήσκουσ', ὅμως
Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
Κρύπτειν θ', ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
Ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
Οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον,
Ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
Φύλλοις ἔβαλλον· οἱ δὲ πληροῦσιν πυρὰν,
Κορμοὺς φέροντες πευκίνους· ὁ δ' οὐ φέρων,
Πρὸς τοῦ φέροντος τοιάδ' ἤκουεν κακά·
Ἕστηκας, ὦ κάκιστε, τῇ νεάνιδι
Οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
Οὐκ εἴ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ,
Ψυχήν τ' ἀρίστῃ; Τοιάδ' ἀμφὶ σῆς λέγον
Παιδὸς θανούσης· εὐτεκνωτάτην δέ σε
Πασῶν γυναικῶν, δυστυχεστάτην θ' ὁρῶ.

Ibid. II. v. 515—576

Chant sur la ruine de Troie.

ARGUMENT.

Après la mort de Polyxene, une esclave se présente à Hécube, portant le cadavre de Polydore qu'elle a trouvé sur les bords de la mer. Hécube, accablée par ce nouveau malheur, conjure Agamemnon de lui prêter son appui pour tirer vengeance du crime de Polymnestor. Agamemnon voudrait bien seconder ses désirs; mais il craint les clameurs des Grecs, qui regardent Polymnestor comme leur allié fidèle. Alors Hécube fait connaître a Agamemnon le dessein qu'elle a de faire venir Polymnestor avec ses enfans, sous prétexte de leur révéler un secret important, afin de pouvoir, à la faveur de ce stratagème, se venger sur eux de la mort de Polydore. Pendant qu'elle s'occupe des moyens d'exécuter son projet, les jeunes Troyennes qui composent le chœur déplorent la ruine d'Ilion et leur triste captivité.

ΧΟΡΟΣ.

ΣΤΡΟΦΗ Α΄.

Σὺ μὲν, ὦ πατρὶς Ἰλιὰς,
Τῶν ἀπορθήτων πόλις
Οὐκέτι λέξῃ, τοιόνδ' Ἑλ-
λάνων νέφος ἀμφί σε καλύπτει,
Δορὶ δὴ δορὶ πέρσαν.
Ἀπὸ δὲ στεφάναν κέκαρσαι
Πύργων, κατὰ δ' αἰθάλου
Κηλῖδ' οἰκτροτάταν κέχρωσαι
Τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.

ΑΝΤΙΣΤΡΟΦΗ Α΄.

Μεσονύκτιος ὠλλύμαν,
Ἦμος ἐκ δείπνων ὕπνος

Ἡδὺς ἐπ' ὄσσοις κίδναται.
Μολπᾶν δ' ἄπο καὶ χαροποιῶν
Θυσιῶν καταπαύσας
Πόσις ἐν θαλάμοις ἔκειτο,
(Ξυστὸν (60) δ' ἐπὶ πασσάλῳ)
Ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
Τροίαν Ἰλιάδ' ἐμβεβῶτα.

ΣΤΡΟΦΗ Β'.

Ἐγὼ δὲ πλόκαμον ἀναδέτοις
Μίτραισιν ἐῤῥυθμιζόμαν,
Χρυσέων ἐνόπτρων
Λεύσσουσ' ἀτέρμονας εἰς αὐγὰς (61),
Ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
Ανὰ δὲ κέλαδος ἔμολε πόλιν.
Κέλευσμα δ' ἦν κατ' ἄστυ Τροίας
Τόδ'· ὦ παῖδες Ἑλλάνων, πότε δή,
Πότε τὰν Ἰλιάδος σκοπιὰν (62)
Πέρσαντες, ἥξετ' ἐς οἴκους;

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

Λέχη δὲ φίλα μονόπεπλος
Λιποῦσα, Δωρὶς ὡς κόρα (63),
Σεμνὰν προσίζουσ'
Οὐκ ἤνυσ' Ἄρτεμιν ἁ τλάμων·
Ἄγομαι δὲ, θανόντ' ἰδοῦσ' ἀκοίταν
Τὸν ἐμὸν, ἅλιον ἐπὶ πέλαγος·
Πόλιν τ' ἀποσκοποῦσ', ἐπεὶ
Νόστιμον ναῦς ἐκίνησε πόδα,
Καί μ' ἀπὸ γᾶς ὥρισεν Ἰλιάδος·
Τάλαιν', ἀπεῖπον ἄλγει.

ΕΠΩΔΟΣ.

Τὰν τοῖν Διοσκούροιν Ἑλέναν κάσιν,
Ἰδαῖόν τε βούταν
Αἰνόπαριν (64) κατάρᾳ
Διδοῦσ᾽, ἐπεί με
Γᾶς ἐκ πατρῴας ἀπώλεσεν
Ἐξῴκισέ τ᾽ οἴκων γάμος, οὐ γάμος,
Ἀλλ᾽ ἀλάστορός τις οἰζύς·
Ἂν μήτε πέλαγος ἅλιον
Ἀπαγάγοι πάλιν,
Μήτε πατρῷον ἵκοιτ᾽ ἐς οἶκον.

Ibid. v. 886—933.

Carion et Chrémyle.

ARGUMENT.

Chrémyle, vieillard vertueux, mais qui fut toujours pauvre, était allé demander à l'oracle s'il devait engager son fils à marcher sur ses traces, ou l'exhorter à renoncer à la vertu, et à employer la ruse et l'injustice pour s'enrichir. Apollon, pour toute réponse, lui dit de suivre la première personne qu'il trouverait en sortant du temple. Chrémyle obéit; et, rencontrant un aveugle, il l'accompagne sans vouloir le quitter. Carion, son valet, s'étonne de l'opiniâtreté de son maître; il ose même lui en faire des reproches. Chrémyle lui raconte alors son aventure.

K. Ὡς ἀργαλέον πρᾶγμ᾽ ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
Δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου·
Ἢν γὰρ τὰ βέλτισθ᾽ ὁ θεράπων λέξας τύχῃ,
Δόξῃ δὲ μὴ δρᾷν ταῦτα τῷ κεκτημένῳ,
Μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν·
Τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον

Κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
Καὶ ταῦτα μὲν δὴ ταῦτα. Τῷ δὲ Λοξίᾳ,
Ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
Μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι
Ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφὸς,
Μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην·
Ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
Τοὐναντίον δρῶν, ἢ προσῆκ' αὐτῷ ποιεῖν·
Οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα·
Οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται·
Καὶ ταῦτ' ἀποκρινομένου τοπαράπαν οὐδὲ γρύ.
Ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,
Ἢν μὴ φράσῃς, ὅ τι τῷδ' ἀκολουθοῦμέν ποτε,
Ὦ δέσποτ'· ἀλλά σοι παρέξω πράγματα·
Οὐ γάρ με τυπτήσεις, στέφανον ἔχοντά γε (65).

Χ. Μὰ Δί', ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,
Ἵνα μᾶλλον ἀλγῇς.

Κ. Λῆρος· οὐ γὰρ παύσομαι,
Πρὶν ἂν φράσῃς μοι, τίς ποτ' ἐστὶν οὑτοσί (66)·
Εὔνους γὰρ ὢν σοι πυνθάνομαι πάνυ σφόδρα.

Χ. Ἀλλ' οὔ σε κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
Πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.
Ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
Κακῶς ἔπραττον, καὶ πένης ἦν.

Κ. Οἶδά τοι.

Χ. Ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες,
Καὶ συκοφάνται, καὶ πονηροί.

Κ. Πείθομαι.

Χ. Ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεὸν,
Τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
Ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον·
Τὸν δ' υἱὸν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,

Πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους,
Εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
Ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν.
K. Τί δῆθ' ὁ Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων (67);
X. Πεύσει· σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί·
Ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιὼν,
Ἐκέλευσε τούτου μὴ μεθίεσθαί μ' ἔτι,
Πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.
K. Καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ;
X. Τουτωΐ.
K. Εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ,
Φράζουσαν, ὦ σκαιότατε, σοὶ σαφέστατα,
Ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;
X. Τῷ τοῦτο κρίνεις;
K. Δηλονοτιὴ καὶ τυφλὸς
Γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ ξυμφέρον,
Τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ.

ARISTOPHANE, *Plutus*, v. 1—50.

Blepsidème et Chrémyle.

ARGUMENT.

Chrémyle envoie son valet chercher ceux qui vivent dans la misère à cause de leur probité. Bientôt Carion est de retour, suivi d'une foule de paysans du voisinage. Blepsidème, instruit par le bruit public que son ami Chrémyle est devenu tout à coup riche, arrive aussi dans le même temps. Il affecte de croire que son ami n'a pu faire sitôt fortune sans avoir volé, et s'efforce de lui faire avouer le vol, afin d'en avoir sa part en gardant le secret. Voici leur entretien :

B. Τί ἂν οὖν τὸ πρᾶγμ' εἴη; πόθεν, καὶ τίνι τρόπῳ
Χρεμύλος πεπλούτηκ' ἐξαπίνης; οὐ πείθομαι.

Καί τοι λόγος γ' ἦν, νὴ τὸν Ἡρακλέα, πολὺς
Ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων (68),
Ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
Ἔστιν δ' ἐμοὶ τοῦτ' αὐτὸ θαυμαστὸν, ὅπως,
Χρηστόν τι πράττων, τοὺς φίλους μεταπέμπεται.
Οὔκουν ἐπιχώριόν τι πρᾶγμ' ἐργάζεται.

X. Ἀλλ' οὐδὲν ἀποκρύψας ἐρῶ, μὰ τοὺς θεούς·
Ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πράττομεν,
Ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων.

B. Γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;

X. Ἔσομαι μὲν οὖν αὐτίκα μάλ', ἢν θεὸς θέλῃ·
Ἔνι γάρ τις, ἔνι κίνδυνος ἐν τῷ πράγματι.

B. Ποῖός τις;

X. Οἷος.

B. Λέγ' ἀνύσας ὅ τι φὴς ποτε.

X. Ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί.
Ἢν δὲ σφαλῶμεν, ἐπιτετρίφθαι τοπαράπαν.

B. Τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον,
Καί μ' οὐκ ἀρέσκει· τό τε γὰρ ἐξαίφνης ἄγαν
Οὕτως ὑπερπλουτεῖν, τό τ' αὖ δεδοικέναι,
Πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ' εἰργασμένου.

X. Πῶς οὐδὲν ὑγιές;

B. Εἴ τι κεκλοφὼς, νὴ Δία,
Ἐκεῖθεν ἥκεις, ἀργύριον ἢ χρυσίον
Παρὰ τοῦ θεοῦ· κᾄπειτ' ἴσως σοι μεταμέλει.

X. Ἄπολλον ἀποτρόπαιε! μὰ Δί', ἐγὼ μὲν οὔ.

B. Παῦσαι φλυαρῶν, ὦ 'γάθ'· οἶδα γὰρ σαφῶς.

X. Σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιοῦτο.

B. Φεῦ!
Ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενὸς,
Ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.

X. Οὔ τοι, μὰ τὴν Δήμητρ', ὑγιαίνειν μοι δοκεῖς.

B. Ὡς πολὺ μεθέστηχ' ὧν πρότερον εἶχεν τρόπων.
X. Μελαγχολᾷς, ἄνθρωπε, νὴ τὸν οὐρανόν.
B. Ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει·
Ἀλλ' ἔστιν ἐπίδηλόν τι πεπανουργηκότι.
X. Σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος,
Ζητεῖς μεταλαβεῖν.
B. Μεταλαβεῖν ζητῶ; τίνος;
X. Τόδ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.
B. Μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας;
X. Κακοδαιμονᾷς.
B. Ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;
X. Οὐ δῆτ' ἔγωγ'.
B. Ὦ Ἥρακλεις! φέρε, ποῖ τις ἂν
Τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι.
X Κατηγορεῖς γὰρ, πρὶν μαθεῖν τὸ πρᾶγμά μου.
B. Ὦ 'τᾶν, ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
Ἐθέλω διαπράξαι, πρὶν πυθέσθαι τὴν πόλιν,
Τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.
X. Καὶ μὴν φίλος γ' ἄν μοι δοκεῖς, νὴ τοὺς θεοὺς,
Τρεῖς μνᾶς ἀναλώσας, λογίσασθαι δώδεκα.
B. Ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον,
Ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
Καὶ τῆς γυναικὸς, κοὐ διοίσοντ' ἄντικρυς
Τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου (69).
X. Οὐκ, ὦ κακόδαιμον· ἀλλὰ τοὺς χρηστοὺς μόνους
Ἔγωγε, καὶ τοὺς δεξιοὺς καὶ σώφρονας
Ἀπαρτὶ πλουτῆσαι ποιήσω.
B. Τί σὺ λέγεις;
Οὕτω πάνυ πολλὰ κέκλοφας;
X. Οἴμοι τῶν κακῶν,
Ἀπολεῖς.
B. Σὺ μὲν οὖν σεαυτὸν, ὥς γ' ἐμοὶ δοκεῖς.

Χ. Οὐ δῆτ'· ἐπεὶ τὸν Πλοῦτον, ὦ μοχθηρὲ σὺ,
Ἔχω.
Β. Σὺ Πλοῦτον; ὁποῖον;
Χ. Αὐτὸν τὸν θεόν.
Β. Καὶ ποῦ 'στιν;
Χ. Ἔνδον.
Β. Ποῦ;
Χ. Παρ' ἐμοί.
Β. Παρὰ σοί;
Χ. Πάνυ.
Β. Οὐκ ἐς κόρακας (70); Πλοῦτος παρά σοι;
Χ. Νὴ τους θεούς.
Β. Λέγεις ἀληθῆ;
Χ. Φημί.
Β. Πρὸς τῆς Ἑστίας;
Χ. Νὴ τὸν Ποσειδῶ.
Β. Τὸν θαλάττιον λέγεις;
Χ. Εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.
Β. Εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;
Χ. Οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ.
Β. Τί φῄς;
Οὐ τῷ μεταδοῦναι;
Χ. Μὰ Δία· δεῖ γὰρ πρῶτα—
Β. τί;
Χ. Βλέψαι ποιῆσαι νῷ—
Β. τίνα βλέψαι; φράσον.
Χ. Τὸν Πλοῦτον, ὥσπερ πρότερον, ἑνί γε τῷ τρόπῳ.
Β. Τυφλὸς γὰρ ὄντως ἐστί;
Χ. Νὴ τὸν οὐρανόν.
Β. Οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.
Χ. Ἀλλ', ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.
Β. Οὔκουν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινά;

X. Τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
Οὔτε γὰρ ὁ μισθὸς οὐδὲν ἔστ', οὔθ' ἡ τέχνη.
B. Σκοπῶμεν.
X. Ἀλλ' οὐκ ἔστιν.
B. Οὐδ' ἐμοὶ δοκεῖ.
X. Μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
Ἐγὼ, κατακλινεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ (71),
Κράτιστόν ἐστι.
B. Πολὺ μὲν οὖν, νὴ τοὺς θεούς·
Μή νυν διάτριβ', ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
X. Καὶ μὴν βαδίζω.
B. Σπεῦδέ νυν.
X. Τοῦτ' αὐτὸ δρῶ.

Ib. v. 335—414.

Un Lacédémonien.

ARGUMENT.

Persuadées par les conseils de Lysistrate, les femmes d'Athènes se séparent de leurs maris jusqu'à ce que la guerre du Péloponèse soit terminée, et se retirent dans la citadelle. En vain un magistrat veut les fléchir, il ne peut rien gagner ni par menaces, ni par prières. Enfin les ambassadeurs de Sparte arrivent; on nomme des plénipotentiaires: un traité est conclu, et la pièce se termine par un festin. C'est dans ce festin que le morceau suivant est chanté par un Lacédémonien:

Ὅρμαον
Τὼς κυρσανίως, ὦ Μναμοσύνα,
Τάν τ' ἐμὰν μῶαν (72), ἅτις
Οἶδεν ἄμμε τώς τ' Ἀσαναίως (73)
Ὅκα τοὶ μὲν ἐπ' Ἀρταμιτίῳ
Πρόκροον θείκελοι

Ποττὰ χᾶλκ, τὼς Μήδως τ' ἐνίκων·
Ἀμὲ δ' αὖ Λεωνίδας
Ἆγεν, ᾇπερ τὼς κάπρως
Θάγοντας τὸν ὀδόντα· πολὺς δ'
Ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει,
Πολὺς δ' ἅμα
Καὶ καττῶν σκελῶν ἵετο.
Ἦν γαρ τὤνδρες οὐκ ἐλάσσως (74)
Τᾶς ψάμμας τοὶ Πέρσαι·
Ἀγροτέρ' Ἄρταμι, σηροκτόνε (75),
Μόλε δεῦρο, παρσένε σιὰ (76),
Ποττὰς σπονδὰς, ὡς
Συνέχῃς πολὺν ἄμμε χρόνον·
Νῦν δ' αὖ
Φιλία δ' αἰὲς εὔπορος εἴη
Ταῖσιν συνθήκαις·
Καὶ τᾶν αἱμυλᾶν ἀλωπέκων
Παυσαίμεθ'. Ὦ
Δεῦρ' ἴθι, δεῦρ', ὦ
Κυναγὲ παρσένε.

Id. Lysistrate, v. 1247—1272.

Chœur de Lacédémoniens.

ARGUMENT.

Lysistrate engage les deux peuples à ne point commettre de nouvelles fautes, après avoir formé des chœurs en l'honneur des dieux. Le chœur des Athéniens chante l'heureux événement qui vient de mettre fin à une guerre longue et cruelle, et engage les Lacédémoniens à en faire autant. Le chœur des Lacédémoniens fait alors entendre ces chants :

Ταΰγετον (77) αὖτ' ἐραννὸν ἐκλιπῶα Μῶα (78),
Μόλε Λάκαινα, πρεπτὸν ἁμὶν

Κλεῶα τὸν Ἀμύκλαις (79) Ἀπόλλω σιὸν,
Καὶ χαλκίοικον Ἀσάναν,
Τυνδαρίδας τ' ἀγασώς,
Τοὶ δὴ παρ' Εὐρώταν ψιάδδοντι
Εἶα μάλ' ἔμβη
Ὤϊα κοῦφα πάλλων·
Ὡς Σπάρταν ὑμνιῶμες,
Τᾷ σιῶν χοροὶ μέλοντι,
Καὶ ποδῶν κτύπος·
Ἇτε πῶλοι ταὶ κόραι
Πὰρ τὸν Εὐρώταν
Ἀμπάλλοντι πυκνὰ ποδοῖν
Ἐγκονιῶσαι·
Ταὶ δὲ κόμαι σείονθ', ᾇπερ Βακχᾶν
Θυρσαδδωᾶν καὶ παιδδωᾶν·
Ἁγῆται δ' ἁ Λήδας παῖς
Ἁγνὰ χοραγὸς εὐπρεπής·
Ἀλλ' ἄγε, κόμαν παραμπύκιδδέ τε
Χερὶ, ποδοῖν τε πάδη,
Ἇ τις ἔλαφος· κρότον δ' ἅμα ποί-
η χορωφελέταν·
Καὶ τᾶν σιᾶν δ' αὖ τὰν κρατίσταν
Χαλκίοικον ὕμνει,
Τὰν παμμάχον.

Ib. v. 1297—1322

Εἰ γὰρ ἐγένου σὺ, Τρόφιμε, τῶν πάντων μόνος,
Ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧ γε διατελεῖν
Πράττων ἃ βούλει, καὶ διευτυχῶν ἀεὶ,
Καὶ τοῦτο τῶν Θεῶν τις ὡμολόγησέ σοι,
Ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ' ἐψευσμένος,

Ἄτοπόν τε πεποίηκ'· εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις,
Ἐφ' οἷσπερ ἡμεῖς, ἔσπασας τὸν ἀέρα
Τὸν κοινὸν, ἵνα σοί τι τραγικώτερον λαλῶ,
Οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.
Τὸ δὲ κεφάλαιον τῶν λόγων· ἄνθρωπος εἶ,
Οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος, καὶ πάλιν
Ταπεινότητα, ζῶον οὐδὲν λαμβάνει·
Καὶ μάλα δικαίως· ἀσθενέστερον γὰρ ὂν
Φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν·
Ὅταν πέσῃ δὲ, πλεῖστα συντρίβει καλά.
Σὺ δ' οὔθ' ὑπερβάλλοντα, Τρόφιμ', ἀπώλεσας;
Ἀγαθά· τὰ νυνὶ δ' ἐστὶ μέτριά σοι κακά·
Ὡς τἀνάμεσόν που καὶ τὸ λοιπὸν εὖ φέρε.

Ménandre.

Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν,
Ἀλλ' ὅστις, ἀδικεῖν δυνάμενος, μὴ βούλεται·
Οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
Ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
Ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως·
Οὐδ' ὅς γε ταῦτα πάντα διατηρεῖ μόνως,
Ἀλλ' ὅστις, ἄδολον γνησίαν τ' ἔχων φύσιν,
Εἶναι δίκαιος, κοὐ δοκεῖν εἶναι, θέλει.

Philémon

Ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι
Ἐστὶν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον·
Τεκμήριον δέ· τοὺς ἰατροὺς οἶδ' ἐγὼ
Ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
Πάντας λαλοῦντας· εἶτ', ἐπὰν πταίσωσί τι,

Αὐτοὺς ποιοῦντας πάνθ' ὅσ' οὐκ εἴων τότε·
Ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἔστ' ἴσως.

PHILÉMON

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν,
Μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς·
Τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
Μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον
Τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λαβέ·
Οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
Ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν

Le même.

NOTES

DE LA POÉSIE DRAMATIQUE.

(1) Tydée, chassé de sa patrie, s'était retiré à Argos, auprès d'Adraste, qui lui donna la main de sa fille. Par cette alliance, il se trouva engagé dans la guerre de Polynice, qui était comme lui gendre d'Adraste. (V. *Dict. Myth.* de M. Noël.)

(2) Thèbes était bâtie sur les bords de ce fleuve.

(3) Le fils d'Oïclée, Amphiaraüs.

(4) La locution française, *sonner l'épouvante*, répond parfaitement à cette expression : « Attachés autour de son bouclier, des globes d'airain sonnent » l'épouvante. » (Laporte Dutheil.)

(5) Capanée affectait pour les dieux un souverain mépris, ce qui lui attira l'indignation de Jupiter. Il périt frappé de la foudre.

(6) Cet Étéocle, qu'il ne faut pas confondre avec le fils d'OEdipe, était fils d'Iphis et l'un des chefs de l'armée argienne.

(7) Image hardie que Laporte Dutheil a bien rendue : « Au travers du caveçon s'échappe, avec un sif- » flement étrange, le souffle de leurs naseaux or- » gueilleux. »

(8) Nom phénicien qu'on donnait à Minerve, à Thèbes en Béotie.

(9) La figure redoutable d'Hippomédon, c'est-à-dire le redoutable Hippomédon

(10) Une noire fumée, *sœur mobile du feu*, locution poétique.

(11) Littéralement : Le tour circulaire du bouclier convexe est couvert de serpens enlacés, c'est-à-dire : « Autour de ce bouclier convexe sont incrustés des » serpens enlacés. » (Laporte Dutheil.)

(12) *Comme une thyiade*, ou *comme une bacchante* Thyias, fille de Castabius, fut la première prêtresse de Bacchus, et célébra des orgies en l'honneur de ce dieu. De là le nom *thyiade* donné aux bacchantes. (V. *Dict. Myth.* de M. Noël.)

(13) La porte ou souffle de Borée, c'est-à-dire la porte du Nord.

(14) On sait qu'Amphion bâtit Thèbes au son de la lyre qu'il avait reçue de Mercure.

(15) Ainsi parle le fier rejeton d'une nymphe des montagnes, etc. Parthénopée, dont il est ici question, était fils de Méléagre et d'Atalante, ou, suivant d'autres, de Mars et de la nymphe Ménalippe. (V. *Dict. Myth.* de M. Noël.)

(16) Cruel dans son âme, il n'a d'une vierge que le nom... Allusion au nom de *Parthénopée*, qui signifie : *fils d'une vierge.*

(17) L'image du terrible Sphinx qui exerça de si grands ravages sur le territoire de Thèbes était gravée sur le bouclier de Parthénopée.

(18) C'est Adraste, roi d'Argos, qui arma pour rétablir Polynice sur le trône.

(19) Allusion au mot *Polynice*, qui signifie *beaucoup de querelles.*

(20) « Quelle vengeance pourra tarir les larmes abon- » dantes de votre mère? » Allusion au sort de Jocaste,

qui, suivant Euripide et Stace, se frappa de l'épée restée dans le corps de Polynice, et tomba ainsi entre ses deux fils morts.

(21) Allusion au stratagème qu'employa Thémistocle pour tromper Xerxès. Comme les vaisseaux des Grecs étaient plus légers et moins nombreux que ceux des Perses, Thémistocle était d'avis de livrer bataille dans un détroit tel que celui de Salamine, où l'ennemi ne pourrait faire usage d'une partie de ses forces. Parvenu à faire prévaloir cette opinion, il donna avis en même temps à Xerxès que les Grecs, s'étant réunis dans le même lieu, il lui serait facile de les vaincre et de les accabler tous ensemble.

(22) Il est ici question d'Ajax, fils de Télamon. Il régna à Salamine, ainsi que son père, qui était devenu roi de cette île par son mariage avec Glaucé.

(23) Littéralement : « Avec les débris des rames et » des bancs, ils frappaient, ils assommaient nos soldats » comme des thons ou des poissons pris dans nos filets. » Cette comparaison paraît peu digne d'un tableau où tout est grand, majestueux et peint avec les couleurs les plus énergiques.

(24) Il y a ici une lacune. Le chœur répond à Électre qu'il est d'avis qu'en faisant des libations sur le tombeau de son père, elle demande qu'un dieu ou un mortel quelconque vienne juger et punir les meurtriers d'Agamemnon. Électre adresse alors à Mercure la prière qui suit dans le morceau extrait.

(25) C'est aux Thébains qui forment le chœur qu s'adresse le messager.

(26) « J'habitais auprès de cet homme trois mois » entiers, depuis la fin du printemps jusqu'au retour

» de l'arcture, » c'est-à-dire jusqu'au commencement de l'automne. C'est à cette époque que l'arcture, étoile fixe placée derrière la queue de l'ourse, paraît sur l'horizon.

(27) Junon poursuit Hercule dès sa naissance avec une haine implacable.

(28) Ce fut Eurysthée qui, excité par Junon, commanda à Hercule les douze travaux.

(29) La fille d'Œnée, Déjanire.

(30) La tunique du centaure Nessus.

(31) « Il dévore mes veines. » Littéralement : « il dévore l'artère qui conduit l'air dans le poumon. »

(32) Cerbère était fils du géant Typhon et d'Échidna, monstre qui avait la moitié du corps d'une nymphe, et l'autre d'un horrible serpent. (V. *Dict. Myth.* de M. Noël.)

(33) Hercule, en mourant, avait laissé ses armes à Philoctète.

(34) Agamemnon et Ménélas, chefs de l'armée des Grecs.

(35) Le roi des Céphaléniens, Ulysse. L'île de Céphalénie avait fait partie des états de ce prince, suivant Strabon.

(36) *Par la morsure envenimée du serpent.* Philoctète avait eu l'imprudence de découvrir aux Grecs le tombeau d'Hercule, et de leur avouer qu'il avait les armes de ce héros. Il en fut bientôt puni. Une des flèches d'Hercule tomba sur un de ses pieds, et il s'y forma un ulcère qui exhalait une odeur infecte.

On sait qu'Hercule avait trempé ses flèches dans le sang de l'hydre de Lerne. Pour bien entendre ce que le poëte a voulu dire en parlant *de cette morsure enve-*

nimée, il est essentiel de ne pas perdre de vue que ce ne fut point ce monstre horrible, mais le trait empoisonné de son sang qui blessa Philoctète.

(37) *Où naquit Chalcodon.* Cet Eubéen fut tué par Amphitryon.

(38) Pensées morales qui prouvent que, chez les anciens, la muse tragique savait plaire et instruire tout à la fois.

(39) Clytemnestre fait valoir, avec raison, les droits que sa vertu lui donne sur le cœur d'Agamemnon. Plus tard, cette même princesse, oubliant tous ses devoirs, osa donner publiquement sa main à Égisthe, après avoir versé le sang de son époux.

(40) On sait ce que devinrent dans la suite de si nobles sentimens, et quels soins occupèrent Clytemnestre pendant l'absence d'Agamemnon.

(41) Hélène.

(42) Hermione, fille de Ménélas et d'Hélène.

(43) Cette allusion à l'éloquence d'Orphée, dans la bouche d'une jeune princesse, surtout dans une pareille situation, ne paraît pas tout-à-fait naturelle; mais ce léger défaut est bien compensé par tout ce qui suit. Ce morceau respire le pathétique le plus doux, la plus tendre sensibilité. Qu'il est touchant d'entendre Iphigénie dire à son père que, pour le fléchir, elle n'a d'autres armes que ses pleurs! Quoi de plus propre à ébranler Agamemnon que ce passage où la jeune princesse lui rappelle les témoignages de tendresse qu'il prodiguait à son enfance; et cet autre, où elle engage Oreste à joindre ses larmes aux prières qu'elle adresse à un père qui va la conduire à la mort : ἰδοὺ

σιωπῶν, etc. « Vous le voyez, ô mon père! sans pou-
» voir parler, il vous conjure de m'épargner. »

(44) Il y a du courage à supporter les revers de la fortune; mais il y en a plus encore à sacrifier sa vie à la patrie, au devoir. Sous ce rapport, il est vrai de dire que la mort est plus honorable que cette grandeur d'âme qui fait supporter les rigueurs de l'adversité. Mais si la sentence d'Euripide n'est pas entièrement juste, elle renferme du moins cette grande vérité morale, qu'il n'est jamais permis à l'homme d'invoquer la mort, comme le terme de ses souffrances. Les philosophes modernes n'ont pas toujours respecté ce dogme sacré. On sait que Voltaire a dit, dans une de ses tragédies (*Mérope*) :

« Quand on a tout perdu, quand on n'a plus d'espoir,
» *La vie est un opprobre, et la mort un devoir.* »

(45) Thalthybius, héraut d'Agamemnon.

(46) La chasse était l'occupation la plus ordinaire de Diane.

(47) *Je tenais mes regards fixés sur la terre.* Belle image, surtout dans le grec, où le contraste est frappant.

(48) La disparition d'Iphigénie que Diane transporta en Tauride, pour en faire sa prêtresse.

(49) Vers d'une marche et d'une cadence remarquables.

(50) La biche que Diane mit à la place d'Iphigénie.

(51) La fille de Tyndare, Hélène.

(52) « *Moi aussi, j'étais heureuse autrefois, et je ne* » *le suis plus;* » ou bien : « *Moi aussi, j'étais autrefois,* » *et maintenant je ne suis plus.* » Cette version est plus

littérale, et semble plus énergique. *J'étais autrefois*, c'est-à-dire je vivais dans l'éclat, dans la prospérité, lorsque l'empire de Priam était florissant, lorsque je voyais autour de lui de nombreux héritiers de sa puissance; mais aujourd'hui que Priam n'est plus, que ma fille est tombée sous le fer du vainqueur, et qu'Ilion est détruit, *je ne suis plus*; c'est-à-dire : Dans l'exil, dans la captivité, encore vivante, je suis déjà comme ensevelie dans la tombe.

(53) *O cher menton!* c'est-à-dire, *cher héros que j'implore*. Chez les anciens, c'était la coutume des supplians de porter la main au menton ou à la barbe.

(54) Pour que ma main ne touche point votre menton, c'est-à-dire pour ne pas être touché de mes prières. (Sur cette coutume des supplians, voyez la note précédente.)

(55) Le fils d'Achille, Pyrrhus.

(56) Pour contenir les mouvemens de la tendre victime.

(57) Il y a ici une lacune. Prévost traduit ainsi le passage omis : « Saisissant sa robe près de l'épaule, » elle la déchire jusqu'au-dessous de sa poitrine, et » découvre à nos yeux son sein et sa gorge semblable » à celle d'une belle statue. »

(58) Le passage du souffle.

(59) Une source de sang jaillit.

(60) Littéralement : *Le javelot était attaché à un pieu*, c'est-à-dire les armes meurtrières étaient suspendues comme pendant la paix.

(61) Littéralement : « Je consultais un miroir d'or » qui lançait des rayons non interrompus. » On sait que les miroirs des anciens étaient de métal.

(62) Littéralement : « Quand, renversant le lieu » d'observation de l'Ilienne (c'est-à-dire la citadelle de » Minerve troyenne), irez-vous dans vos maisons? » (Note de Prévost.)

(63) Il paraît que, sous le nom de *Doriennes*, le chœur désigne ici les Lacédémoniennes qui étaient vêtues fort légèrement et ne portaient point la tunique ou vêtement de dessous, comme les autres Grecques.

(64) Le funeste Pâris : mot composé. Homère, en parlant du même Pâris, emploie aussi un mot composé, Δύσπαρι. (*Iliad.*, ch. 11)

(65) Lorsqu'on allait dans les temples pour des affaires importantes, on avait ordinairement des couronnes, et les maîtres n'avaient en cela aucun avantage sur les valets.

Pendant que les valets portaient cette couronne, les maîtres n'osaient ni les battre ni les gronder; c'est pourquoi Carion parle ici avec tant de hardiesse.

(66) Ce mot désigne le vieillard que Chrémyle avait rencontré en sortant du temple, et qu'il suivait d'après l'ordre d'Apollon.

(67) *Du milieu de ses couronnes*, parce qu'il y avait des couronnes, près de l'oracle d'Apollon. (V. Ezech Spanh. *in Call. Hym. Del*, v. 90)

(68) Allusion à l'ancienne coutume de s'assembler dans les boutiques des barbiers pour y parler nouvelles.

(69) Allusion au trait d'histoire peint par Pamphile, qui représentait les descendans d'Hercule implorant les secours des Athéniens contre les persécutions d'Eurysthée. (*Note du trad. d'Aristoph.*)

(70) Imprécation. Littéralement : *N'irez-vous point*

servir de pâture aux corbeaux? c'est-à-dire, N'irez-vous point vous faire pendre?

(71) Dans le temple d'Esculape. Remarquez l'emploi de la préposition εἰς avec le génitif, locution elliptique.

(72) Pour Μοῦσαν.

(73) Pour Ἀθηναίους, les Athéniens.

(74) Pour ἐλάσσονες, non en plus petit nombre.

(75) Pour Θηροκτόνε, qui tue les bêtes, épithète de Diane considérée comme la déesse de la chasse.

(76) Pour παρθένε Δία. Plus bas, le σ est aussi à la place du θ et du Δ.

(77) Le Taygète, montagne de la Laconie.

(78) Pour ἐκλίπουσα μοῦσα. Dans ce morceau comme dans le précédent, le σ est mis souvent pour le θ : on y trouve aussi plusieurs formes du dialecte dorien.

(79) C'est à Amyclée, ville de Laconie, que se trouvait le plus fameux temple qu'Apollon eût dans le Péloponèse.

POÉSIE PASTORALE.

POLYPHÊME.

Ουδεν ποττον (1) ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία (2), οὔτ' ἔγχριστον (ἐμὶν δοκεῖ) οὔτ' ἐπίπαστον,
Ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
Γίνετ' ἐπ' ἀνθρώποις· εὑρῆν δ' οὐ ῥᾴδιόν ἐστι·
Γινώσκεν δ' οἶμαί τυ καλῶς, ἰατρὸν ἐόντα,
Καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα Μοίσαις.
Οὕτω γοῦν ῥᾷστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἡμῖν (3),
Ὡρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,
Ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε·
Ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίννοις,
Ἀλλ' ὀλοαῖς μανίαις· ἁγεῖτο δὲ πάντα πάρεργα.
Πολλάκι ταὶ ὄϊες ποτὶ τωὔλιον αὐταὶ ἀπῆνθον
Χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων,
Αὐτῶ ἐπ' αἰόνος κατετάκετο φυκιοέσσας,
Ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριος ἐκ μεγάλας τό οἱ ἥπατι πᾶξε βέλεμνον.
Ἀλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
Ὑψηλᾶς, ἐς πόντον ὁρῶν, ἄειδε τοιαῦτα·
Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;
Λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα δ' ἀρνὸς,
Μόσχῳ γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς·
Φοιτῇς δ' αὖθ' οὕτως, ὅκκα γλυκὺς ὕπνος ἔχῃ με·
Οἴχῃ δ' εὐθὺς ἰοῖσα, ὅκα γλυκὺς ὕπνος ἀνῇ με.
Φεύγεις δ', ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
Ἠράσθην μὲν ἔγωγε, κόρα, τεῦ, ἁνίκα πρᾶτον
Ἦνθες ἐμᾷ σὺν ματρὶ (4), θέλοισ' ὑακίνθινα φύλλα

Ὥστ' οὐκ ἂν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
Νῦν μὰν, ὦ κόριον, νῦν αὐτόθι νεῖν γε μαθεῦμαι,
Αἴκα τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται·
Ὡς κεν ἴδω τί ποθ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν.
Ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο,
(Ὥσπερ ἐγὼν νῦν ὧδε καθήμενος) οἴκαδ' ἀπενθεῖν·
Ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα, καὶ γάλ' ἀμέλγειν,
Καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ.
Οὐδὲν πᾷ ποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπὲρ μεῦ,
Καὶ ταῦτ', ἆμαρ ἐπ' ἆμαρ ὁρῶσά με λεπτὸν ἐόντα.
Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
Σφύσδειν· ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
Αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις, καὶ θαλλὸν ἀμάσας
Τοῖς ἄρνεσσι φέροις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νοῦν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
Εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
Πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται,
Κιχλίζοντι δὲ πᾶσαι, ἐπήν κ' αὐταῖς ὑπακούσω.
Δηλονότ' ἐν τᾷ γᾷ κἠγὼν τὶς φαίνομαι ἦμες.
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα,
Μουσίσδων· ῥᾷον δὲ διᾶγ', ἢ χρυσὸν ἔδωκεν.

THÉOCRITE.

Ménalque et Daphnis.

ARGUMENT.

Deux bergers, Ménalque et Daphnis, se disputent le prix du chant. Un chevrier est pris pour juge. Chaque berger chante à son tour, et le prix est décerné à Daphnis.

ΔΑΦΝΙΔΙ τῷ χαρίεντι συνήντετο βωκολέοντι
Μᾶλα νέμων, ὡς φαντὶ, κατ' ὤρεα μακρὰ Μενάλκας

Ἄμφω τώγ' ἤτην πυῤῥοτρίχω, ἄμφω ἀνάβω,
Ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
Πρᾶτος δ' ὧν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·

ΜΕΝΑΛΚΑΣ.

Μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;
Φαμί τυ νικασεῖν ὅσσον θέλω αὐτὸς ἀείδων.
Τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·

ΔΑΦΝΙΣ.

Ποιμὰν εἰροπόκων οἴων συρικτὰ Μενάλκα,
Οὔποτε νικασεῖς μ', οὐδ' εἴτι πάθοις τύ γ' ἀείδων.

ΜΕΝΑΛΚΑΣ.

Χρήσδεις ὧν ἐσιδεῖν, χρήσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ.

Χρήσδω τοῦτ' ἐσιδεῖν, χρήσδω καταθεῖναι ἄεθλον.

ΜΕΝΑΛΚΑΣ.

Ἀλλὰ τί θησεύμεσθ', ὅ κεν ἁμῖν ἄρκιον εἴη;

ΔΑΦΝΙΣ.

Μόσχον ἐγὼ θησῶ· τὺ δε θὲς γ' ἰσομάτορα ἀμνόν.

ΜΕΝΑΛΚΑΣ.

Οὐ θησῶ ποκα ἀμνόν· ἐπεὶ χαλεπός θ' ὁ πατήρ μευ
Χ' ἁ μάτηρ· τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι.

ΔΑΦΝΙΣ.

Ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἑξεῖ ὁ νικῶν;

ΜΕΝΑΛΚΑΣ.

Σύριγγ', ἂν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον,

Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἴσον ἄνωθεν,
Ταύταν κατθείην· τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.

ΔΑΦΝΙΣ.

Ἤ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἴσον ἄνωθεν.
Πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
Τοῦτον, ἐπεὶ κάλαμός γε διασχισθεὶς διέτμαξεν.
Ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἀμέων;

ΜΕΝΑΛΚΑΣ.

Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἤν καλέσωμες,
ᾯ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φαλαρὸς ὑλακτεῖ.
Χ' οἱ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακούσας·
Χ' οἱ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρῖναι.
Πρᾶτος δ' ὢν ἄειδε λαχὼν ἰΰκτὰ Μενάλκας.
Εἶτα δ' ἀμοιβαίην ὑπελάμβανε Δάφνις ἀοιδὰν
Βωκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος·

ΜΕΝΑΛΚΑΣ

Ἄγκεα καὶ ποταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
Πᾷ ποχ' ὁ συρικτὰ προσφιλὲς ᾆσε μέλος,
Βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἢν δέ ποκ' ἔνθῃ
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

ΔΑΦΝΙΣ.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον
Μουσίσδει Δάφνις ταῖσιν ἀηδονίσι,
Τοῦτο τὸ βωκόλιον πιαίνετε· κἤν τι Μενάλκας
Τῇδ' ἀγάγῃ, χαίρων ἄφθονα πάντα νέμοι.

ΜΕΝΑΛΚΑΣ.

Παντᾶ ἔαρ, παντᾶ δὲ νομοί, παντᾷ δὲ γάλακτος

Οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,
Ἔνθ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἱ δ' ἂν ἀφέρπῃ,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χ' αἱ βοτάναι.

ΔΑΦΝΙΣ.

Ἔνθ' ὄϊς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
Σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι,
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἱ δ' ἂν ἀφέρπῃ,
Χὠ τὰς βῶς βόσκων, χ' αἱ βόες αὐότεραι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι·
Ἐν τήνῳ γὰρ τῆνος· ἴθ' ὦ κόλε, καὶ λέγε Μίλῳ,
Ὡς Πρωτεὺς (5) φώκας, καὶ θεὸς ὤν, ἔνεμε.

ΔΑΦΝΙΣ.

Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχεν, μηδὲ πρόσθε θέειν ἀνέμων·
Ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τυ,
Σύννομα μᾶλ' ἐσορῶν, τὰν Σικελὰν ἐς ἅλα.

ΜΕΝΑΛΚΑΣ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμός,
Ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα·
Ταῦτα μὲν ὧν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν.
Τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας·

ΜΕΝΑΛΚΑΣ.

Φείδευ τὰν ἐρίφων, φείδευ, λύκε, τῶν τοκάδων μευ,
Μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
Ὦ λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τυ;
Οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παισὶ νέμοντα.

Ταὶ δ' ὄϊες, μηδ' ὔμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
Ποίας· οὔτι καμεῖσθ', ὅκκα πάλιν ἅδε φύηται.
Σίττα νέμεσθε, νέμεσθε· τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
Ὡς τὸ μὲν ὧ 'ρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν.

ΔΑΦΝΙΣ.

Κἀμ' ἐν τῷ ἄντρῳ σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
Τὰς δαμάλας παρελῶνθα, καλὸν καλὸν ἦμες ἔφασκεν·
Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
Ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἷρπον.
Ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα.
Ἁδὺ δὲ χὡ μόσχος γαρύεται, ἁδὺ δὲ χ' ἁ βῶς·
Ἁδὺ δὲ τῶ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν.
Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα
Τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί.
Ὣς οἱ παῖδες ἄεισαν, ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·

ΑΙΠΟΛΟΣ.

Ἁδύ τι τὸ στόμα τοι, καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά·
Κρέσσον μελπομένω τεῦ ἀκουέμεν ἢ μέλι λείχεν.
Λάσδεο τᾶς σύριγγας· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,
Τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
Ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.
Ὡς μὲν ὁ παῖς ἐχάρη, καὶ ἀνάλατο, καὶ πλατάγησε
Νικήσας· οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο.
Ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
Ὥτερος·

Κὴκ τούτω Δάφνις παρὰ ποιμέσι πρᾶτος ἔγεντο,
Καὶ νύμφαν, ἄκρηβος ἐὼν ἔτι, Ναΐδα γᾶμεν.

THÉOCRITE.

L'Amour fugitif.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
Εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
Δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ.
Ἔστι δ' ὁ παῖς περίσαμος· ἐν εἰκόσι πᾶσι μάθοις νιν.
Χρῶτα μὲν οὐ λευκὸς, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ
Δριμύλα καὶ φλογόεντα. Κακαὶ φρένες, ἁδὺ λάλημα·
Οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά·
Ἢν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτὰς,
Οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ πρόσωπον·
Μικκύλα μὲν τήνω τὰ χερύδρια, μακρὰ δὲ βάλλει,
Βάλλει κ' εἰς Ἀχέροντα καὶ εἰς ἀΐδεω βασιλῆα.
Γυμνὸς μὲν τόγε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
Καὶ πτερόεις, ὅσον ὄρνις, ἐφίπτατ' ἄλλοτ' ἐπ' ἄλλους,
Ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξῳ δὲ βέλεμνον.
Τυτθὸν ἐοῖ τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
Καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιτρώσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλεῖον δέ οἱ αὐτῷ
Βαιὰ λαμπὰς ἐοῖσα· τὸν ἅλιον αὐτὸν ἀναίθει.
Ἢν τύ γ' ἕλῃς τῆνον, δάσας ἄγε, μηδ' ἐλεήσῃς.
Κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ·
Κἢν γελάᾳ, τύ νιν ἕλκε· καὶ, ἢν ἐθέλῃ σε φιλᾶσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
Ἢν δὲ λέγῃ, Λάβε ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα,
Μήτι θίγῃς, πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

MOSCHUS.

L'enlèvement d'Europe.

Εὐρώπῃ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον,
Νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' ἠώς·
Ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων,
Λυσιμελὴς, πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ,
Εὖτε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων.
Τῆμος ὑπωροφίοισιν ἐνικνώσσουσα δόμοισι
Φοίνικος θυγάτηρ, ἔτι παρθένος Εὐρώπεια (6),
Ὠΐσατ' ἠπείρους δοιὰς (7) περὶ εἷο μάχεσθαι,
Ἀσιάδ' ἀντιπέρην τε· φυὴν δ' ἔχον οἷα γυναῖκες.
Τῶν δ' ἡ μὲν ξείνης μορφὴν ἔχεν· ἡ δ' ἄρ' ἐῴκει
Ἐνδαπίῃ, καὶ μᾶλλον ἑῆς περιίσχετο κούρης·
Φάσκεν δ' ὥς μιν ἔτικτε καὶ ὡς ἀπίτηλέ μιν αὐτή·
Ἡ δ' ἑτέρη, κρατερῇσι βιαζομένη παλάμῃσιν,
Εἴρυεν οὐκ ἀέκουσαν· ἐπεὶ φάτο μόρσιμον εἶναι
Ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρώπειαν.
Ἡ δ' ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
Παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον.
Ἑζομένη δ' ἐπὶ δηρὸν ἀκὴν ἔχεν, ἀμφοτέρας δὲ
Εἰσέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.
Ὀψὲ δὲ δὴ μάλ' ἔπειτ' ἀνενείκατο παρθένος αὐδήν·
　Τίς μοι τοιάδε φάσματ' ἐπουρανίων προΐηλε;
Ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
Ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι;
Τίς δ' ἦν ἡ ξείνη ἣν εἴσιδον ὑπνώουσα;
Ὥς μ' ἔβαλε κραδίην κείνης πόθος· ὥς με καὶ αὐτὴ
Ἀσπασίως ὑπέδεκτο, καὶ ὡς σφετέρην ἴδε παῖδα.
Ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρίνειαν ὄνειρον.
　Ὣς εἰποῦσ' ἀνόρουσε· φίλας δ' ἐπεδίζεθ' ἑταίρας
Ἥλικας, οἰέτεας, θυμήρεας, εὐπατερείας·
Τῇσιν ἀεὶ συνάθυρεν, ὅτ' ἐς χορὸν ἐντύναιτο,

Ἢ ὅτε φαιδρύνοιτο χρόα προχοῇσιν Ἀναύρου (8),
Ἢ ὁπότ' ἐκ λειμῶνος εὔπνοα λείρια κέρσοι.
Ταὶ δέ οἱ αἶψα φάνθεν· ἔχον δ' ἐν χερσὶν ἑκάστη
Ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
Ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο,
Τερπόμεναι ῥοδέῃ τε φυῇ καὶ κύματος ἠχῇ.
Αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρώπεια
Θηητὸν, μέγα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο,
Ὃν Λιβύῃ (9) πόρε δῶρον, ὅτ' ἐς λέχος Ἐννοσιγαίου
Ἤϊεν· ἡ δὲ πόρεν περικαλλέϊ Τηλεφαέσσῃ,
Ἥ τέ οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ,
Μήτηρ Τηλεφάεσσα περικλυτὸν ὤπασε δῶρον,
Ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα.
Ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰὼ
Εἰσέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναικός·
Φοιταλέη (10) δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα
Νηχομένῃ ἰκέλη· κυανὴ δ' ἐτέτυκτο θάλασσα.
Δοιοὶ δ' ἔστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο
Φῶτες ἀολλήδην· θηεῦντο δὲ ποντοπόρον βοῦν.
Ἐν δ' ἦν Ζεὺς ἐπαφώμενος ἠρέμα χειρὶ θεείῃ
Πόρτιος εἰναλίης, τὴν ἑπταπόρῳ παρὰ Νείλῳ
Ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα (11).
Ἀργύρεος μὲν ἔην Νείλου ῥόος· ἡ δ' ἄρα πόρτις,
Χαλκείη· χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.
Ἀμφὶ δὲ δινήεντος ὑπὸ στεφάνην ταλάροιο
Ἑρμείης ἤσκητο· πέλας δέ οἱ ἐκτετάνυστο
Ἄργος ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι.
Τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν
Ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ (12)
Ταρσὸν ἀναπλώσας, ὡσεί τέ τις ὠκύαλος νηῦς,
Χρυσοῖο ταλάροιο περίσκεπε χείλεα ταρσοῖς.
Τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.

Αἱ δ' (13), ἐπεὶ οὖν λειμῶνας ἐσήλυθον ἀνθεμόεντας,
Ἄλλαι ἐπ' ἀλλοίοισι τότ' ἄνθεσι θυμὸν ἔτερπον.
Τῶν ἡ μὲν νάρκισσον ἐΰπνοον, ἡ δ' ὑάκινθον,
Ἡ δ' ἴον, ἡ δ' ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ' ἔραζε
Λειμώνων ἐαροτροφέων πίπτεσκε πέτηλα.
Αἱ δ' αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἐθείρην
Δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέση ἔστη ἄνασσα
Ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα,
Οἷά περ ἐν Χαρίτεσσι διέπρεπεν Ἀφρογένεια (14)·
Οὐ μὲν δηρὸν ἔμελλεν ἐπ' ἄνθεσι θυμὸν ἰαίνειν·
Ἦ γὰρ δὴ Κρονίδης (15), ὥς μιν φράσαθ', ὡς ἐδέδμητο
Θυμὸν, ἀνωΐστοισιν ὑποδμηθεὶς βελέεσσι
Κύπριδος, ἣ μούνη δύναται καὶ Ζῆνα δαμάσσαι.
Δὴ γὰρ ἀλευόμενός τε χόλον ζηλήμονος Ἥρης,
Παρθενικῆς τ' ἐθέλων ἀταλὸν νόον ἐξαπατῆσαι,
Κρύψε θεὸν, καὶ τρέψε δέμας· καὶ γίνετο ταῦρος,
Οὐχ οἷος σταθμοῖς ἐνιφέρβεται, οὐδὲ μὲν οἷος
Ὦλκα διατμήσσει, σύρων εὐκαμπὲς ἄροτρον·
Οὐδ' οἷος ποίμνης ἐπιβόσκεται, οὐδὲ μὲν οἷος
Ὅστις ὑποδμηθεὶς ἐρύει πολύφορτον ἀπήνην.
Τοῦ δ' ἤτοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκεν,
Κύκλος δ' ἀργύφεος μέσσῳ μάρμαιρε μετώπῳ,
Ὄσσε δ' ὑπογλαύκεσκε δι' ἵμερον ἀστράπτοντε·
Ἶσά τ' ἐπ' ἀλλήλοισι κέρα ἀνέτελλε καρήνου,
Ἄντυγος ἡμιτόμου κεραῆς ἅτε κύκλα σελήνης.
Ἤλυθε δ' ἐς λειμῶνα· καὶ οὐκ ἐφόβησε φανθεὶς
Παρθενικάς· πάσῃσι δ' Ἔρως γένετ' ἐγγὺς ἱκέσθαι,
Ψαῦσαί θ' ἱμερτοῖο βοὸς, τοῦ ἄμβροτος ὀδμὴ
Τηλόθι καὶ λειμῶνος ἐκαίνυτο λαρὸν ἀϋτμήν.
Στῆ δὲ ποδῶν προπάροιθεν ἀμύμονος Εὐρωπείης,
Καί οἱ λιχμάζεσκε δέρην, κατέθελγε δὲ κούρην.
Ἡ δὲ μιν ἀμφαφάεσκε, καὶ ἠρέμα χείρεσιν ἀφρὸν

Πολλὸν ἀπὸ στομάτων ἀπομόργνυτο, καὶ κύε ταῦρον
Αὐτὰρ ὃ μειλίχιον μυκάσατο· φαίης κ' αὐλοῦ
Μυγδονίου λιγὺν ἦχον ἀνηπύοντος ἀκούειν.
Ὤκλασε δὲ πρὸ ποδοῖιν· ἐδέρκετο δ' Εὐρωπείην
Αὐχέν' ἐπιστρέψας, καὶ οἱ πλατὺ δείκνυε νῶτον.
Ἡ δὲ βαθυπλοκάμοισι μετέννεπε παρθενικῇσι·
Δεῦθ' ἑτάραι φίλιαι καὶ ὁμήλικες, ὄφρ' ἐπὶ τῷδε
Ἑζόμεναι ταύρῳ τερπώμεθα· δὴ γὰρ ἁπάσας
Νῶτον ὑποστορέσας ἀναδέξεται, οἷά τε νηῦς·
Πρηΰς ὅδ' εἰσιδέειν καὶ μείλιχος, οὐδέ τι ταύροις
Ἄλλοισι προσέοικε· νόος δέ οἱ ἠΰτε φωτὸς
Αἴσιμος ἀμφιθέει, μούνης δ' ἐπιδεύεται αὐδῆς.
Ὣς φαμένη, νώτοισιν ἐφίζανε μειδιόωσα.
Αἱ δ' ἄλλαι μέλλεσκον· ἄφαρ δ' ἀνεπίλατο ταῦρος,
Ἣν θέλεν ἁρπάξας· ὠκὺς δ' ἐπὶ πόντον ἵκανεν.
Ἡ δὲ μεταστρεφθεῖσα φίλας καλέεσκεν ἑταίρας,
Χεῖρας ὀρεγνυμένη· ταὶ δ' οὐκ ἐδύναντο κιχάνειν.
Ἀκτάων δ' ἐπιβὰς πρόσσω θέεν, ἠΰτε δελφίς.
Νηρεΐδες δ' ἀνέδυσαν ὑπ' ἐξ ἁλὸς, αἱ δ' ἄρα πᾶσαι
Κητείοις νώτοισιν ἐφήμεναι ἐστιχόωντο.
Καὶ δ' αὐτὸς βαρύδουπος ὑπεὶρ ἁλὸς Ἐννοσίγαιος,
Κῦμα κατιθύνων, ἁλίης ἡγεῖτο κελεύθου
Αὐτοκασιγνήτῳ· τοὶ δ' ἀμφί μιν ἠγερέθοντο
Τρίτωνες, πόντοιο βαθυρρόου ἐνναετῆρες,
Κόχλοισιν ταναοῖς γάμιον μέλος ἠπύοντες.
Ἡ δ' ἄρ' ἐφεζομένη Ζηνὸς βοέοις ἐπὶ νώτοις,
Τῇ μὲν ἔχεν ταύρου δολιχὸν κέρας, ἐν χερὶ δ' ἄλλῃ
Εἴρυε πορφυρέας κόλπου πτύχας, ὄφρα κεν ὤμων
Δεύοι ἐφελκομένην πολιῆς ἁλὸς ἄσπετον ὕδωρ.
Κολπώθη δ' ὤμοισι πέπλος βαθὺς Εὐρωπείης,
Ἱστίον οἷά τε νηὸς, ἐλαφρίζεσκε δὲ κούρην.
Ἡ δ' ὅτε δὴ γαίης ἀπὸ πατρίδος ἦεν ἄνευθεν,

Φαίνετο δ' οὔτ' ἀκτή τις ἁλίῤῥοος, οὔτ' ὄρος αἰπὺ,
Ἀλλ' ἀὴρ μὲν ὕπερθεν, ἔνερθε δὲ πόντος ἀπείρων,
Ἀμφί ἑ παπτήνασα, τοίην ἀνενείκατο φωνήν·
Πῇ με φέρεις, θεόταυρε; τίς ἔπλεο; πῶς δὲ κέλευθον
Ἀργαλέοισι πόδεσσι διέρχεαι, οὐδὲ θάλασσαν
Δειμαίνεις; νηυσὶν γὰρ ἐπίδρομός ἐστι θάλασσα
Ὠκυάλοις, ταῦροι δ' ἁλίην τρομέουσιν ἀταρπόν.
Ποῖόν σοι ποτὸν ἡδὺ; τίς ἐξ ἁλὸς ἔσσετ' ἐδωδή;
Ἦ ῥά τις ἐσσὶ θεός; τί θεοῖς ἀπεοικότα ῥέξεις;
Οὔθ' ἅλιοι δελφῖνες ἐπὶ χθονὸς, οὔτέ τι ταῦροι
Ἐν πόντῳ στείχουσι· σὺ δὲ χθόνα καὶ κατὰ πόντον
Ἄβροχος ἀΐσσεις, χηλαὶ δέ τοι εἰσὶν ἐρετμά.
Ἦ τάχα καὶ γλαυκῆς ὑπὲρ ἠέρος ὑψόσ' ἀερθεὶς
Εἴκελος αἰψηροῖσι ποτήσεαι οἰωνοῖσιν.
Οἴμοι! ἐγὼ μέγα δή τι δυσάμμορος, ἥ ῥά τε δῶμα
Πατρὸς ἀποπρολιποῦσα, καὶ ἑσπομένη βοῒ τῷδε,
Ξείνην ναυτιλίην ἐφέπω, καὶ πλάζομαι οἴη.
Ἀλλὰ σύ μοι, μεδέων πολιῆς ἁλὸς Ἐννοσίγαιε,
Ἵλαος ἀντιάσειας· ἐέλπομαι εἰσοράασθαι
Τόνδε κατιθύνοντα πλόον προκέλευθον ἐμεῖο.
Οὐκ ἀθεεὶ γὰρ ταῦτα διέρχομαι ὑγρὰ κέλευθα.
Ὣς φάτο· τὴν δ' ὧδε προσεφώνεεν εὐρύκερως βοῦς·
Θάρσει, παρθενικὴ, μὴ δείδιθι πόντιον οἶδμα.
Αὐτός τοι Ζεύς εἰμι, καὶ ἐγγύθεν εἴδομαι εἶναι
Ταῦρος· ἐπεὶ δύναμαί γε φανήμεναι, ὅττ' ἐθέλοιμι.
Σὸς δὲ πόθος μ' ἀνέηκε τόσην ἅλα μετρήσασθαι
Ταύρῳ ἐειδόμενον. Κρήτη δέ σε δέξεται ἤδη,
Ἥ μ' ἔθρεψε καὶ αὐτὸν, ὅπῃ νυμφήϊα σεῖο
Ἔσσεται· ἐξ ἐμέθεν δὲ κλυτοὺς μάλα φύσσεαι υἷας,
Οἳ σκηπτοῦχοι ἅπασιν ἐπιχθονίοισιν ἔσονται.
Ὣς φάτο· καὶ τετέλεστο τάπερ φάτο· φαίνετο μὲν δὴ
Κρήτη, Ζεὺς δὲ πάλιν ἑτέρην ἀνελάζετο μορφήν.

Ἡ δὲ πάρος κούρη, Ζηνὸς γένετ' αὐτίκα νύμφη,
Καὶ Κρονίδῃ τέκνα τίκτε, καὶ αὐτίκα γίνετο μήτηρ.

Idem.

La mort d'Adonis.

Αἰάζω τον Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις·
Ὤλετο καλὸς Ἄδωνις· ἐπαιάζουσιν Ἔρωτες.
Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι, Κύπρι, κάθευδε·
Ἔγρεο, δειλαία, κυανοστόλε, καὶ πλατάγησον
Στάθεα, καὶ λέγε πᾶσιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι (16), μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπεὶς, καὶ Κύπριν ἀνιᾷ
Λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
Χιονέας κατὰ σαρκός· ὑπ' ὀφρύσι δ' ὄμματα ναρκεῖ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
Θνάσκει καὶ τὸ φίλαμα τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει·
Ἀλλ' οὐκ εἶδεν Ἄδωνις ὅ μιν θνάσκοντ' ἐφίλασεν.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες·
Ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
Μεῖζον δ' ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
Κεῖνον μὲν περὶ παῖδα φίλοι κύνες ὠρύσαντο,
Καὶ Νύμφαι κλαίουσιν Ὀρειάδες· ἁ δ' Ἀφροδίτα,
Λυσαμένα πλοκαμίδας, ἀνὰ δρυμοὺς ἀλάληται
Πενθαλέα, νήπλεκτος, ἀσάνδαλος· αἱ δὲ βάτοι νιν
Ἐρχομέναν τείροντι, καὶ ἱερὸν αἷμα δρέπονται.
Ὀξὺ δὲ κωκύουσα, δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν (17), καὶ παῖδα καλεῦσα.
Ἀμφὶ δέ μιν μέλαν αἷμα παρ' ὀμφαλὸν ᾐωρεῖτο,
Στάθεα δ' ἐκ μηρῶν φοινίσσετο· οἱ δ' ὑπομαζοὶ
Χιόνεοι τοπάροιθεν Ἀδώνιδι πορφύροντο.

Αἶ αἶ τὰν Κυθέρειαν! ἐπαιάζουσιν Ἔρωτες.
Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις,
Κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος, αἴ! αἴ!
Ὤρεα πάντα λέγοντι καὶ αἱ δρύες· Αἶ τὸν Ἄδωνιν!
Καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
Καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
Ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθαίνεται· ἁ δὲ Κυθήρη
Πάντας ἀνὰ κναμὼς καὶ ἀνὰ πτόλιν οἰκτρὸν ἀείδει.
Αἶ αἶ τὰν Κυθέρειαν! Ἀπώλετο καλὸς Ἄδωνις!
Ἀχὼ δ' ἀντεβόασεν· Ἀπώλετο καλὸς Ἄδωνις!
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄν; Αἴ! αἴ!
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Πάχεας ἀμπετάσασα κινύρετο· Μεῖνον, Ἄδωνι,
Δύσποτμε, μεῖνον, Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
Ὥς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω.
Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλασον·
Τοσσοῦτόν με φίλασον ὅσον ζώει τὸ φίλαμα.
Ἄχρις ἀπὸ ψυχῆς ἐς ἐμὸν στόμα κεἰς ἐμὸν ἧπαρ
Πνεῦμα τεὸν ῥεύσῃ, τὸ δὲ σεῦ γλυκὺ φίλτρον ἀμέλξω,
Ἐκ δὲ πίω τὸν ἔρωτα φίλαμα δὲ τοῦτο φυλάξω
Ὡς αὐτὸν τὸν Ἄδωνιν· ἐπεὶ σύ με, δύσμορε, φεύγεις,
Φεύγεις μακρὸν, Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα·
Καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
Ζώω, καὶ θεός ἐμμι, καὶ οὐ δύναμαί σε διώκειν.
Λάμβανε, Περσεφόνα, τὸν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτὰ
Πολλὸν ἐμεῦ κρείσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
Εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίην,
Καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καί σε φοβεῦμαι.
Θνάσκεις, ὦ τριπόθατε! πόθος δέ μοι ὡς ὄναρ ἔπτη!
Χήρη δ' ἁ Κυθέρεια! κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες!

Σοὶ δ᾽ ἅμα κεστὸς ὄλωλε· τί γὰρ, τολμηρὲ, κυνάγεις;
Καλὸς ἐὼν τοσσοῦτον ἔμηνας θηρσὶ παλαίειν;
Ὧδ᾽ ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες.
Αἲ αἲ τὰν Κυθέρειαν! Ἀπώλετο καλὸς Ἄδωνις!
Δάκρυον ἁ Παφίη τόσον ἐκχέει, ὅσσον Ἄδωνις
Αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη·
Αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὸν Ἄδωνιν! Ἀπώλετο καλὸς Ἄδωνις!
Μηκέτ᾽ ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο, Κύπρι·
Ἔστ᾽ ἀγαθὰ στιβὰς, ἔστιν Ἀδώνιδι φυλλὰς ἑτοίμα.
Λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις.
Καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς οἷα καθεύδων.
Κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν,
Τοῖς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμόχθει,
Παγχρύσῳ κλιντῆρι· πόθει καὶ στυγνὸν Ἄδωνιν.
Βάλλε δ᾽ ἐνὶ στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
Ὡς τῆνος τέθνακε, καὶ ἄνθεα πάντ᾽ ἐμαράνθη.
Ῥαῖνε δέ μιν μύρτοισιν, ἀλείφασι, ῥαῖνε μύροισι·
Ὀλλύσθω μύρα πάντα· τὸ σὸν μύρον ὤλετ᾽ Ἄδωνις.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
Ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες,
Κειράμενοι χαίτας ἐπ᾽ Ἀδώνιδι· χὠ μὲν ὀϊστὼς,
Ὃς δ᾽ ἐπὶ τόξον ἔβαιν᾽, ὃς δ᾽ εὔπτερον ἆγε φαρέτρην·
Χὠ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος, ὃς δὲ λέβησι
Χρυσείοις φορέησιν ὕδωρ, ὁ δὲ μηρία λούει·
Ὃς δ᾽ ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζουσιν Ἔρωτες.
Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
Καὶ στέφος ἐξεπέτασσε γαμήλιον· οὐκέτι δ᾽ Ὑμὰν,
Ὑμὰν οὐκέτ᾽ ἀειδόμενον μέλος, ᾄδεται· αἲ! αἲ!
Αἲ αἲ καὶ τὸν Ἄδωνιν ἔτι πλέον! αἲ Ὑμέναιον!
Αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο·

Ὤλετο καλὸς Ἄδωνις, ἐν ἀλλήλησι λέγοισαι·
Αὐταὶ δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ τὺ Διώνα (18).
Καὶ Μοῖραι τὸν Ἄδωνιν ἀνακλαίουσιν Ἄδωνιν,
Καί μιν ἐπαείδουσιν· ὁ δέ σφισιν οὐκ ἐπακούει·
Οὐ μὰν οὐκ ἐθέλει, Κώρα (19) δέ μιν οὐκ ἀπολύει.
Λῆγε γόων, Κυθέρεια, τοσήμερον ἴσχεο κώμων·
Δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.

Bion.

Le Printemps.

Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
Πορφυρέη μείδησε φερανθέος εἴαρος ὥρη·
Γαῖα δὲ κυανέη χλοερὴν ἐστέψατο ποίην,
Καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμησε πετήλοις.
Οἱ δ' ἀπαλὴν πίνοντες ἀεξιφύτου δρόσον Ἠοῦς
Λειμῶνες γελόωσιν, ἀνοιγομένοιο ῥόδοιο.
Χαίρει καὶ σύριγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων,
Καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος αἰγῶν.
Ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται,
Πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα κολπώσαντες·
Ἤδη δ' εὐάζουσι φερεσταφύλῳ Διονύσῳ
Ἄνθεϊ βοτρυόεντος ἐρεψάμενοι τρίχα κισσοῦ·
Ἔργα δὲ τεχνήεντα βοηγενέεσσι μελίσσαις (20)
Καλὰ μέλει, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
Λευκὰ πολυτρήτοιο νεόῤῥυτα κάλλεα κηροῦ·
Πάντη δ' ὀρνίθων γενεὴ λιγύφωνον ἀείδει·
Ἀλκυόνες περὶ κῦμα, χελιδόνες ἀμφὶ μέλαθρα,
Κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών·
Εἰ δὲ φυτῶν χαίρουσι κόμαι, καὶ γαῖα τέθηλε,
Συρίζει δὲ νομεύς, καὶ τέρπεται εὔκομα μῆλα,
Καὶ ναῦται πλώουσι, Διώνυσος δὲ χορεύει,

Καὶ μέλπει πετεηνὰ, καὶ ὠδίνουσι μέλισσαι,
Πῶς οὐ χρὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀεῖσαι;

MÉLÉAGRE.

L'Oiseleur et le Vieillard.

Ἰξευτὰς ἔτι κῶρος, ἐν ἄλσεϊ δενδράεντι
Ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν Ἔρωτα
Ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόασε,
Χαίρων, ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
Τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
Τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευεν.
Χὠ παῖς ἀσχαλάων, ἕνεχ' οἱ τέλος οὐδὲν ἀπάντη,
Τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
Ὅς νιν τάνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ,
Καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. Αὐτὰρ ὁ πρέσβυς
Μειδιόων κίνησε κάρη, καὶ ἀμείβετο παῖδα·
Φείδεο τᾶς θήρας, μηδ' ἐς τόδε τὤρνεον ἔρχευ.
Φεῦγε μακράν· κακὸν ἐντὶ τὸ θηρίον· ὄλβιος ἐσσῆ,
Εἰσόκα μή μιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
Οὗτος ὁ νῦν φεύγων καὶ ἐπάλμενος, αὐτὸς ἀφ' αὐτῶ
Ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἐπὶ σεῖο καθιξεῖ.

BION.

NOTES

DE LA POÉSIE PASTORALE.

(1) Doriquement, pour πρὸς τόν.

(2) Nicias, médecin de Milet, à qui Théocrite avait adressé cette idylle.

(3) On sait que Polyphême habitait les côtes de la Sicile. Théocrite dit παρ' ἡμῖν, parce qu'il était de Syracuse.

(4) La nymphe Thoolla, dont Neptune eut Polyphême.

(5) Protée, dieu marin, était gardien des troupeaux de Neptune, appelés phoques ou veaux marins.

(6) Europe, fille de Téléphassa et d'Agénor, roi de Phénicie.

(7) Les anciens avaient différentes divisions générales de la terre. L'une de ces divisions n'assignait que deux parties du globe, *la septentrionale* et *la méridionale*. Celle-ci fut appelée *Asie*, du nom d'une nymphe, fille de l'Océan et de Téthys, ou de Pamphiloque, et femme de Japet. On voit dans cette idylle d'où vient le nom d'*Europe* donné à la partie septentrionale.

(8) Anaurus, nom du fleuve.

(9) Libye, fille d'Épaphus et de Cassiopée. Aimée de Neptune, elle devint mère d'Agénor et de Bélus, et donna son nom à la Libye.

(10) Junon, irritée de ce que Mercure avait délivré Io, envoya un taon persécuter cette princesse, qui, pour le fuir, traversa la mer à la nage.

(11) Io erra dans diverses contrées, et s'arrêta enfin sur les bords du Nil. C'est là que Jupiter lui rendit sa première forme, après avoir apaisé Junon.

(12) Junon métamorphosa Argus en paon, après que Mercure lui eut coupé la tête. Selon d'autres, elle prit ses yeux et les répandit sur la queue de cet oiseau.

(13) Europe et ses compagnes.

(14) Vénus, ainsi appelée parce qu'elle fut formée de l'écume de la mer.

(15) Le fils de Saturne, Jupiter.

(16) Sur le mont Liban, où Adonis fut mis en pièces par le sanglier que Diane avait suscité contre lui.

(17) Cinyre, père d'Adonis, était roi d'Assyrie ou de Chypre.

(18) Dionée, c'est-à-dire Vénus. Elle fut ainsi surnommée du nom de sa mère Dionée, fille de l'Océan et de Téthys.

(19) Ce mot désigne Proserpine, qui aima Adonis lorsqu'il fut descendu aux enfers, et qui refusa de le rendre au jour, lorsque Jupiter accorda à Vénus qu'Adonis recouvrerait la vie.

(20) Les nymphes, pour punir Aristée de la mort d'Eurydice, tuèrent toutes ses abeilles. Aristée, d'après les conseils de Protée, immola aux mânes d'Eurydice quatre jeunes taureaux et autant de génisses. On en vit sortir une nuée d'abeilles qui le dédommagèrent de ses pertes. (V. l'épisode d'Arist., *Géorg.* liv. IV.) De là l'épithète Βουγενής.

ÉPIGRAMMES.

La vie humaine.

Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ,
Πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
Τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
Ὡς ἐπὶ τοῦ πελάγευς ἀμφίβολοι πλέομεν·
Οἱ μὲν, ἐπ' εὔπλοιῃ, οἱ δ', ἔμπαλιν. Ἀλλ' ἅμα πάντες
Εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

Palladas d'Alexandrie.

Sur de faux cheveux.

Τὰς τρίχας, ὦ Νίκυλλα, τινὲς βάπτειν σε λέγουσιν
Ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

Lucilius.

Sur une statue de Bacchante qu'on voyait à Byzance

Ἴσχετε τὴν Βάκχην, μὴ λαϊνέη περ ἐοῦσα,
Οὐδὸν ὑπερθεμένη, νηὸν ὑπεκπροφύγῃ.

Sur Hérodote.

Ἡρόδοτος Μούσας ὑπεδέξατο· τῷ δ' ἄρ' ἑκάστη,
Ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν (1).

Sur la Rose.

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃς
Ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

Sur la Minerve d'Athènes.

Τὰν Κνιδίαν Κυθέρειαν ἰδὼν, ξένε, τοῦτό κεν εἴποις·

« Αὐτὰ καὶ θνατῶν ἄρχε καὶ ἀθανάτων. »
Τὰν δ' ἐν Κεκροπίδαις δορυθαρσέα Παλλάδα λεύσσων
Αὐδάσεις· « Ὄντως βουκόλος ἦν ὁ Πάρις (2). »

HERMODORE.

Sur sa sœur Eugénie.

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐῃ καὶ ἀοιδῇ,
Τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονία κόνις· αἱ δ' ἐπὶ τύμβῳ
Κείραντο πλοκάμους Μοῦσα, Θέμις, Παφίη.

AGATHIUS.

Sur la Niobé de Praxitèle.

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο
Ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

Sur un Icare en bronze, placé dans une salle de bains.

Ἴκαρε, κηρὸς μέν σε διώλεσε· νῦν δέ σε χαλκῷ
Ἤγαγεν εἰς μορφὴν αὖθις ὁ χαλκοτύπος.
Ἀλλ' ἄγε, μὴ πτερὰ πάλλε κατ' ἠέρα, μὴ τὸ λοετρὸν,
Ἠερόθεν πίπτων, Ἰκάριον τελέσῃς (3).

JULIEN D'ÉGYPTE.

Sur une statue représentant un Satyre endormi.

Τὸν Σάτυρον Διόδωρος (4) ἐκοίμισεν, οὐκ ἐτόρευσεν·
Ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

PLATON.

Sur le Jupiter olympien de Phidias.

Ἢ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ, εἰκόνα δείξων,
Φειδία, ἢ σύγ' ἔβης τὸν θεὸν ὀψόμενος.

PHILIPPE DE THESSALONIQUE.

Sur la Polyxène de Polyclète.

Ἅδε Πολυκλείτοιο Πολυξένα, οὐδέ τις ἄλλα
 Χεὶρ ἔθιγεν τούτου δαιμονίου πίνακος.
Ἥρας ἔργον ἀδελφόν. Ἴδ' ὡς πέπλοιο ῥαγέντος,
 Τὰν αἰδῶ γυμνὰν σώφρονι κρύπτε πέπλῳ.
Λίσσεται ἁ τλάμων ψυχᾶς ὕπερ· ἐν βλεφάροις δὲ
 Παρθενικᾶς ὁ Φρυγῶν κεῖται ὅλος πόλεμος.

Pomien.

Sur la vache de Myron.

Ὧδε Μύρων μ' ἔστησε τὸ βοΐδιον· οἱ δὲ νομῆες
Βάλλουσί με λίθοις, ὡς ἀπολειπόμενον.

Démétrius de Bithynie.

Sur la tombe d'un Vieillard.

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου, παροδῖτα·
 Οὐδὲν ἔχω θρήνων ἄξιον, οὐδὲ θανών·
Τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
 Συγγήρου· τρισσοῖς παισὶν ἔδωκα γάμους,
Ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
 Οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον·
Οἵ με κατασπείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
 Κοιμᾶσθαι, χώρην πέμψαν ἐπ' εὐσεβέων.

Carphylide.

Réponse d'un Astrologue.

Καλλιγένης (5) ἀγροῖκος, ὅτε σπόρον ἔμβαλε γαίῃ,
 Οἶκον Ἀριστοφάνους (6) ἦλθεν ἐς ἀστρολόγου,
Ἤτεε δ' ἐξερεείνων εἰ θέρος αἴσιον αὐτῷ
 Ἔσται, καὶ σταχύων ἄφθονος εὐπορίη.
Ὃς δὲ λαβὼν ψηφῖδας, ὑπὲρ πίνακός τε πυκάζων,

Δάκτυλα τε γνάμπτων, φθέγξατο Καλλιγένει.
Εἴπερ ἐπομβρηθῇ τὸ ἀρούριον, ὅσσον ἀπόχρη,
  Μηδέ τιν' ὑλαίην τέξεται ἀνθοσύνην,
Μηδὲ πάγος ῥήξῃ τὴν αὔλακα, μηδὲ χαλάζῃ
  Ἄκρον ἀποδρυφθῇ δράγματος ὀρνυμένου,
Μηδὲ νεβροὶ κείρωσι τὰ λήϊα, μηδέ τιν' ἄλλην
  Ἠέρος ἢ γαίης ὄψεται ἀμπλακίην,
Ἐσθλόν σοι τὸ θέρος μαντεύομαι, εὖ δ' ἀποκόψεις
  Τοὺς στάχυας· μούνας δείδιθι τὰς ἀκρίδας.

AGATHIUS.

Sur une statue de Bacchante.

Τίς ἅδε; — Βάκχα. — Τίς δέ μιν ξέσε; — Σκόπας (7). —
Τίς δ' ἐξέμηνε, Βάκχος, ἢ Σκόπας; — Σκόπας.

SIMONIDE.

Sur le Philoctète de Parrhasius.

Καὶ τὸν ἀπὸ Τρηχῖνος (8) ἰδὼν πολυώδυνον ἥρω,
  Τόνδε Φιλοκτήτην ἔγραφε Παῤῥάσιος.
Ἔν τε γὰρ ὀφθαλμοῖς ἐσκληκόσι κωφὸν ὑποικεῖ
  Δάκρυ, καὶ ὁ τρύχων ἐντὸς ἔνεστι πόνος.
Ζωγράφων ὦ λῷστε, σὺ μὲν σοφὸς, ἀλλ' ἀναπαῦσαι
  Ἄνδρα πόνων ἤδη τὸν πολύμοχθον ἔδει.

GLAUCUS.

Sur la tombe d'un jeune homme.

Ἅδης μὲν σύλησεν ἐμῆς νεότητος ὀπώρην,
  Κρύψε δὲ παππώῳ μνήματι τῷδε λίθος.
Οὔνομα Ῥουφῖνος γενόμην, παῖς Αἰθερίοιο (9),
  Μητρὸς δ' ἐξ ἀγαθῆς· ἀλλὰ μάτην γενόμην.
Ἐς γὰρ ἄκρον μούσης τε καὶ ἥβης ἧκον ἐλάσσας,
  Φεῦ! σοφὸς εἰς Ἀίδην, καὶ νέος εἰς ἔρεβος.

Κῶκυε καὶ σὺ βλέπων τάδε γράμματα μακρὸν, ὁδῖτα,
Δὴ γὰρ ἔφυς ζωῶν ἢ πάϊς, ἠὲ πατήρ.

Sur la tombe d'un enfant.

Πάντα Χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας αὔτως
Ἄτταλον; οὐ σὸς ἔην, κἂν θάνε γηραλέος;

BIANOR.

Sur une Médée qu'on voyait à Rome.

Τεχνη Τιμομάχου (10) στοργὴν καὶ ζῆλον ἔδειξε
Μηδείης, τέκνων εἰς μόρον ἑλκομένων.
Τῇ μὲν γὰρ συνένευσεν ἐπὶ ξίφος, ἣ δ' ἀνανεύει,
Σώζειν καὶ κτείνειν βουλομένη τέκεα.

Sur une Bacchante pudique.

Οὔπω ἐπισταμένην τάχα κύμβαλα χερσὶ τινάξαι,
Βάκχην αἰδομένην στήσατο λαοτύπος.
Οὕτω γὰρ προνένευκεν. Ἔοικε δὲ τοῦτο βοώσῃ·
« Ἔξιτε, καὶ παταγῶ, μηδενὸς ἱσταμένου. »

AGATHIUS.

L'occasion.

Τίς, πόθεν ὁ πλάστης; — Σικυώνιος. — Οὔνομα δὴ τίς; —
Λύσιππος. — Σὺ δὲ, τίς; — Καιρὸς ὁ πανδαμάτωρ. —
Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; — Ἀεὶ τροχάω. — Τί δὲ ταρσους
Ποσσὶν ἔχεις διφυεῖς; — Ἵπτα' ὑπηνέμιος. —
Χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; — Ἀνδράσι δεῖγμα
Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω. —
Ἡ δὲ κόμη, τί κατ' ὄψιν; — Ὑπαντιάσαντι λαβέσθαι;
Νὴ Δία. — Τἀξόπιθεν δ' εἰς τί φαλακρὰ πέλει; —
Τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσὶν
Οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν. —

Τοὔνεχ' ὁ τεχνίτας σε διέπλασεν; — Εἵνεκεν ὑμέων,
Ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

POSIDIPPE.

Sur la toilette d'une femme.

Ἠγόρασας πλοκάμους, φῦκος, μέλι, κηρὸν, ὀδόντας·
Τῆς αὐτῆς δαπάνης ὄψιν ἂν ἠγόρασας.

LUCILLIUS.

Le voleur et celui qui a perdu son trésor.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν,
Ὃν λίπεν, οὐχ εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

PLATON.

Sur une statue d'Ariane.

Οὐ βροτὸς ὁ γλύπτας· οἵαν δέ σε Βάκχος ἐραστὰς
Εἶδεν, ὑπὲρ πέτρας ἔξεσε κεκλιμέναν.

Sur le même sujet.

Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας,
Μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένη (11).

Sur une table de jeu de dés.

Ἑζόμενος μὲν τῇδε παρ' εὐλάϊγγι τραπέζῃ,
Παίγνια κινήσεις τερπνὰ βολοκτυπίης.
Μήτε δὲ νικήσας μεγαλίζεο, μήτ' ἀπολειφθεὶς
Ἄχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.
Καὶ γὰρ ἐπὶ σμικροῖσι νόος διαφαίνεται ἀνδρός·
Καὶ κύβος ἀγγέλλει βένθος ἐχεφροσύνης.

AGATHIUS.

Sur le même sujet.

Τοῖς μὲν πρηϋνόμοις τάδε παίγνια· τοῖς δ' ἀκολάστοις

Λύσσα καὶ ἀμπλακίη καὶ πόνος αὐτόματος·
Ἀλλὰ σὺ μὴ λέξης τι θεημάχον ὕστατος ἕρπων,
Μηδ' ἀνακροιβδήσῃς ῥινοβόλῳ πατάγῳ.
Δεῖ γὰρ μήτε πονεῖν ἐν ἀθύρμασι, μήτε τι παίζειν
Ἐν σπουδῇ. Καιρῷ δ' ἴσθι νέμειν τὸ πρέπον.

Le même.

Sur une femme vertueuse et très-attachée à son mari

Ἐς πόσιν ἀθρήσασα παρ' ἐσχατίης λίνα μοίρης,
Ἤνεσα καὶ χθονίους, ᾔνεσα καὶ ζυγίους·
Τοὺς μὲν, ὅτι ζωὸν λίπον ἀνέρα· τοὺς δ', ὅτι τοῖον·
Ἀλλὰ πατὴρ μίμνοι παισὶν ἐφ' ἡμετέροις.

Jean Barbucalle.

Sur un portrait de Pythagore.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος, ὃν μετὰ φωνῆς
Εἶδες ἂν, εἴ γε λαλεῖν ἤθελε Πυθαγόρης.

Sur Érinne.

Παυροεπὴς Ἤριννα, καὶ οὐ πολύμυθος ἀοιδαῖς·
Ἀλλ' ἔλαχεν Μούσας τοῦτο τὸ βαιὸν ἔπος.
Τοιγάρτοι μνήμης οὐκ ἤμβροτεν, οὐδὲ μελαίνης
Νυκτὸς ὑπὸ σκιερῇ κωλύεται πτέρυγι.
Αἱ δ' ἀναρίθμητοι νεαρῶν σωρηδὸν ἀοιδῶν
Μυριάδες λήθῃ, ξεῖνε, μαραινόμεθα.
Λωΐτερος κύκνου μικρὸς θρόος, ἠὲ κολοιῶν
Κρωγμὸς ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις.

Antipater de Sidon.

Sur Sapho.

Μναμοσύναν εἷλε θάμβος, ὅτ' ἔκλυε τᾶς μελιφώνου
Σαπφοῦς, μὴ δεκάταν Μοῖσαν ἔχουσι βροτοί.

Idem.

Sur la Vénus de Cnide.

Τίς λίθον ἐψύχωσε; τίς ἐν χθονὶ Κύπριν ἐσεῖδεν;
Ἵμερον ἐν πέτρῃ τίς τόσον εἰργάσατο;
Πραξιτέλους χειρῶν ὅδε που πόνος, ἢ τάχ' Ὄλυμπος
Χηρεύει Παφίης εἰς Κνίδον ἐρχομένης.

Dévouement de trois cents Spartiates.

Οἵδε τριηκόσιοι, Σπάρτα πατρὶ, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρέαν ἀμφὶ μαχεσσάμενοι·
Αὐχένας οὐ στρέψαντες, ὅπα ποδὸς ἴχνια πρᾶτον
Ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
Ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
Καρύσσει· Θυρέα, Ζεῦ, Λακεδαιμονίων.
Αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦν ἀπ' Ἀδράστου·
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

Simonide.

Sur le pantomime Pylade dans le rôle de Bacchus.

Εἰ τοῖος Διόνυσος ἐς ἱερὸν ἦλθεν Ὄλυμπον,
Κωμάζων Λήναις σύν ποτε καὶ Σατύροις,
Οἷον ὁ τεχνήεις Πυλάδης ὠρχήσατο κεῖνον,
Ὀρθὰ κατὰ τραγικῶν τέθμια μουσοπόλων,
Παυσαμένη ζήλου Διὸς ἂν φάτο σύγγαμος Ἥρη·
Ἐψεύσω, Σεμέλη, Βάκχον· ἐγὼ δ' ἔτεκον.

Boethus.

Sur un Parvenu.

Ἦν Στέφανος πτωχὸς, καὶ παῖς ἅμα· νῦν δὲ προκόψας
Πλουτεῖ, καὶ γεγένητ' εὐθὺ Φιλοστέφανος,
Τέσσαρα τῷ πρώτῳ Στεφάνῳ καλὰ γράμματα προσθείς.
Ἔσται δ' εἰς ὥρας Ἱπποκρατιππιάδης.

Ἡ διὰ τὴν σπατάλην Διονυσιοπηγανόδωρος.
Ἐν δ' ἀγορανομίῳ παντὶ μένει Στέφανος.

NICARQUE

Sur un tableau d'Iphigénie.

Μαίνεται Ἰφιγένεια· πάλιν δέ μιν εἶδος Ὀρέστου
Ἐς γλυκερὴν ἀνάγει μνῆστιν ὁμαιμοσύνης·
Τῆς δὲ χολωομένης, καὶ ἀδελφεὸν εἰσορόωσης,
Οἴκτῳ καὶ μανίῃ βλέμμα συνεξάγεται.

Sur le tombeau d'une épouse.

Οὔνομα μὲν Καλὴ, φρεσὶ δὲ πλέον ἠὲ προσώπῳ,
Κάτθανε· φεῦ! Χαρίτων ἐξαπόλωλεν ἔαρ.
Καὶ γὰρ ἔην Παφίῃ πανομοίϊος, ἀλλὰ συνεύνῳ
Μούνῳ· τοῖς δ' ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
Τίς λίθος οὐκ ἐνόησεν ὅτ' ἐξήρπαξεν ἐκείνην
Εὐρυβίης Ἀΐδης ἀνδρὸς ἀπ' ἀγκαλίδων;

JULIEN D'ÉGYPTE.

Dernière recommandation d'un père à sa fille

Ἀντιγένης ὁ Γελῷος ἔπος ποτὲ τοῦτο θυγατρὶ
Εἶπεν, ὅτ' ἦν ἤδη νεύμενος εἰς Ἀΐδην·
Παρθένε καλλιπάρῃε, κόρη δ' ἐμὴ, ἴσχε σύνεργον
Ἠλακάτην, ἀρκεῦν κτῆμα πένητι βίῳ·
Ἢν δ' ἵκῃ εἰς ὑμέναιον, Ἀχαιΐδος ἤθεα μητρὸς
Χρηστὰ φύλασσε, πόσει προῖκα βεβαιοτάτην.

ANTIPATER DE THESSALONIQUE

Sur Pindare.

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
Τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς·
Οὐδὲ μάτην ἁπαλοῖς ξουθὸς περὶ χείλεσιν ἑσμὸς
Ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.

Μάρτυς ὁ Μαινάλιος κεροέις Θεὸς, ὕμνον ἀείσας
Τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.

ANTIPATER DE SIDON.

Sur le tombeau de Sophocle.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσὲ,
Ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους,
Καὶ πεταλὸν πάντη θάλλοι ῥόδον, ἥ τε φιλοῤῥὼξ
Ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
Εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
Ἤσκεσεν, Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

SIMMIAS DE THÈBES

Sur l'Iliade et l'Odyssée.

Αἱ βίβλοι, τίνες ἐστέ; τί κεύθετε; — Θυγατέρες μὲν
Μαιονίδεω, μύθων δ' ἵστορες Ἰλιακῶν·
Ἁ μία μὲν μηνιθμὸν Ἀχιλλέος, ἔργα τε χειρῶν
Ἑκτορέαν, δεκέτευς τ' ἆθλα λέγει πολέμου·
Ἁ δ' ἑτέρα μόχθον τὸν Ὀδυσσέος, ἀμφί τε λέκτροις
Χηρείοις ἀγαθᾶς δάκρυα Πηνελόπας. —
Ἵλατε σὺν Μούσαισι· μεθ' ὑμετέρας γὰρ ἀοιδὰς,
Εἶπεν ἔχειν αἰὼν ἕνδεκα Πιερίδας.

ANTIPHILE.

Sur le tombeau d'Archiloque.

Σᾶμα τόδ' Ἀρχιλόχου παραπόντιον, ὅς ποτε πικρὴν
Μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ,
Αἱμάξας Ἑλικῶνα τὸν ἥμερον. Οἶδε Λυκάμβης,
Μυρόμενος τρισσῶν ἅμματα θυγατέρων.
Ἠρέμα δὲ παράμειψον, ὁδοιπόρε, μήποτε τοῦδε
Κινήσῃς τύμβῳ σφῆκας ἐφεζομένους.

CN. LENTULUS GÆTULICUS.

Sur les guerriers morts aux Thermopyles.

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες,
   Κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
Οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
   Κυδαίνουσ', ἀνάγει δώματος ἐξ Ἀΐδεω.

SIMONIDE.

Sur le même sujet.

Ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
   Κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

Idem.

Sur un Antée étouffé par Hercule.

Χαλκὸν ἀποιμώζοντα τίς ἔπλασε; τίς δ' ὑπὸ τέχνας
   Καὶ πόνον ἐν μορφᾷ καὶ θράσος εἰργάσατο;
Ἔμψυχον τὸ πλάσμα· καὶ οἰκτείρω μογέοντα,
   Καὶ φρίσσω κρατερὸν τὸν θρασὺν Ἡρακλέην.
Ἀνταῖον γὰρ ἔχει πεπονημένον ἐκ παλαμάων·
   Ἰδνωθεὶς δὲ δοκεῖ καὶ στοναχὰν ἱέναι.

Sur Érinne.

Ἄρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
   Ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
Ἤλασεν εἰς Ἀχέροντα διὰ πλατὺ κῦμα καμόντων
   Μοῖρα, λινοκλώστου δεσπότις ἠλακάτας.
Σὸς δ' ἐπέων, Ἤριννα, καλὸς πόνος οὔ σε γεγωνεῖ
   Φθίσθαι, ἔχειν δὲ χοροὺς ἄμμιγα Πιερίσιν.

Sur Euripide.

Οὐ σὸν μνῆμα τόδ' ἔστ', Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε·
   Τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ' ἀμπέχεται.

Sur Orphée.

Οὐκ ἔτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
Ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
Οὐκ ἔτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
Οὐ νιφετῶν συρμοὺς, οὐ παταγεῦσαν ἅλα
Ὤλεο γάρ. Σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
Τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἀνίκ' ἀλάλκειν
Τῶν παίδων Ἀΐδην οὐδὲ θεοῖς δύναμις;

ANTIPATER DE SIDON.

Sur la tombe d'un enfant.

Ἄγγελε Περσεφόνης, Ἑρμῆ (12), τίνα τόνδε προπέμπεις
Εἰς τὸν ἀμείδητον τάρταρον Ἀΐδεω; —
Μοῖρά τις ἀεικέλιος τὸν Ἀρίστων' (13) ἥρπασ' ἀπ' αὐγῆς
Ἑπταετῆ· μέσσος δ' ἐστὶν ὁ παῖς γενετῶν. —
Δακρυχαρὴς Πλούτων, οὐ πλήρεα πάντα βρότεια
Σοὶ νέμεται; τί τρυγᾷς ὄμφακας ἡλικίης;

NOTES
DES ÉPIGRAMMES.

(1) On sait qu'Hérodote choisit le moment où toute la Grèce assemblée célébrait les jeux Olympiques, pour faire la lecture de son histoire. Son style fut trouvé si doux et si coulant, qu'on donna aux neuf livres qui la composent le nom des neuf Muses.

(2) Ceci est dit contre Pâris, qui décerna à Vénus le prix de la beauté.

(3) Allusion à la chute d'Icare dans la mer, qui de son nom fut appelée Icarienne.

(4) Diodore, nom du statuaire.

(5) Calligène, nom du paysan.

(6) Aristophane, nom de l'astrologue.

(7) Scopa, nom du statuaire.

(8) Trachys, ville de Thessalie, patrie de Philoctète.

(9) Rufinas et Athérius, noms propres.

(10) Timomachus, nom du statuaire.

(11) Thésée, délivré de tous les dangers par le secours d'Ariane, avait emmené sa libératrice en quittant la Crète; mais il l'abandonna dans l'île de Naxos.

(12) Mercure était chargé de conduire aux enfers les âmes des morts.

(13) Ariston, nom de l'enfant qui était mort.

HISTORIENS.

Entretien de Solon et de Crésus.

SOMMAIRE.

Lorsque Pisistrate se fut emparé du souverain pouvoir, Solon ne pouvant se résoudre à lui obéir, s'exila volontairement d'Athènes, et entreprit plusieurs voyages. Il alla d'abord en Égypte et demeura quelque temps à la cour du roi Amasis. A cette même époque, un grand nombre de Grecs quittèrent leur pays et se réfugièrent à Sardes. Ils parlaient si avantageusement de Solon, que Crésus désira de voir ce célèbre législateur. Solon se rendit à Sardes, à la sollicitation de ce prince. Voici leur entretien.

(1) ΑΠΙΚΝΕΟΝΤΑΙ ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταὶ, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτέων ἀπικνέοιτο· καὶ δὴ καὶ Σόλων, ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας, ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο. Αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἄν σφισι Σόλων θῆται.

Αὐτῶν δὴ ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν, ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν, καὶ δὴ καὶ ἐς Σάρδεις παρὰ Κροῖσον. Ἀπικόμενος δὲ, ἐξεινίζετο ἐν τοῖσι βασιληΐοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ, ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. Θεησάμενον δέ μιν τα πάντα, καὶ σκεψάμενον ὥς οἱ κατὰ καιρὸν ἦν,

εἴρετο ὁ Κροῖσος τάδε· « Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ » σέο λόγος ἀπῖκται πολλὸς, καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ » πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελήλυ- » θας· νῦν ὦν ἵμερος ἐπείρεσθαί με ἐπῆλθέ σε, εἴ τινα ἤδη πάν- » των εἶδες ὀλβιώτατον; » Ὁ μὲν, ἐλπίζων εἶναι ἀνθρώπων ὀλ- βιώτατος, ταῦτα ἐπηρώτα· Σόλων δὲ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος, λέγει, « Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον. » Ἀποθωϋμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο ἐπιστρεφέως, « Κοίῃ » δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον; » Ὁ δὲ εἶπε, « Τέλλῳ » τούτῳ μὲν, τῆς πόλιος εὖ ἡκούσης, παῖδες ἦσαν καλοί τε κἀγα- » θοὶ, καί σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα, καὶ πάντα παρα- » μείναντα· τούτῳ δὲ τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, » τελευτὴ βίου λαμπροτάτη ἐπεγένετο. Γενομένης γὰρ Ἀθηναίοισι » μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι, βοηθήσας, καὶ » τροπὴν ποιήσας τῶν πολεμίων, ἀπέθανε κάλλιστα. Καί μιν » Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇπερ ἔπεσε, καὶ ἐτίμησαν » μεγάλως. » Ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων τὸν Κροῖσον, εἴπας πολλά τε καὶ ὄλβια, ἐπηρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι; δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι. Ὁ δὲ εἶπε, « Κλέοβίν τε καὶ Βίτωνα. Τούτοισι γὰρ ἐοῦσι γένος Ἀρ- » γείοισι βίος τε ἀρκέων ὑπῆν, καὶ πρὸς τούτῳ, ῥώμη σώματος » τοιήδε· ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἔσαν, καὶ δὴ καὶ λέ- » γεται ὅδε ὁ λόγος· ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι, ἔδεε » πάντως τὴν μητέρα αὐτῶν ζεύγεϊ κομισθῆναι ἐς τὸ ἱρόν. Οἱ δέ » σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν ὥρῃ· ἐκκληϊόμενοι δὲ » τῇ ὥρῃ οἱ νεηνίαι, ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην, εἷλκον » τὴν ἅμαξαν. Ἐπὶ τῆς ἁμάξης δέ σφι ὀχέετο ἡ μήτηρ. Σταδίους » δὲ πέντε καὶ τεσσαράκοντα διακομίσαντες, ἀπίκοντο ἐς τὸ » ἱρόν. » Ταῦτα δέ σφι ποιήσασι, καὶ ὀφθεῖσι ὑπὸ τῆς πανη- γύριος, τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο. Διέδεξέ τε ἐν τού- τοισι ὁ Θεὸς, ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην,

αἱ δὲ Ἀργεῖαι, τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε. Ἡ δὲ μήτηρ περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος, εὔχετο, Κλέοβί τε καὶ Βίτωνι, τοῖσι ἑωϋτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν μεγάλως, δοῦναι τὴν Θεὸν τὸ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι. Μετὰ ταύτην δὲ τὴν εὐχὴν, ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι, οὐκέτι ἀνέστησαν, ἀλλ' ἐν τέλει τούτῳ ἔσχοντο. Ἀργεῖοι δὲ σφέων εἰκόνας ποιησάμενοι, ἀνέθεσαν ἐς Δελφοὺς, ὡς ἀνδρῶν ἀρίστων γενομένων.

Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τούτοισι· Κροῖσος δὲ σπερχθεὶς, εἶπε· « Ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμο- » νίη οὕτω τοι ἀπέῤῥιπται ἐς τὸ μηδὲν, ὥστε οὐδὲ ἰδιωτέων » ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας; » Ὁ δὲ εἶπε· « Ὦ Κροῖσε, » ἐπιστάμενόν με τὸ Θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες, » ἐπειρωτᾷς ἀνθρωπηΐων πρηγμάτων πέρι; ἐν γὰρ τῷ μακρῷ » χρόνῳ πολλὰ μέν ἐστιν ἰδέειν τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ » παθέειν. Ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ » προτίθημι. Οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα, παρέχονται » ἡμέρας διηκοσίας καὶ πεντακισχιλίας καὶ δισμυρίας, ἐμβολί- » μου μηνὸς μὴ γενομένου (2). Εἰ δὲ δὴ ἐθελήσει τοὔτερον τῶν » ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι » παραγινόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα » οἱ ἐμβόλιμοι γίνονται τριήκοντα πέντε· ἡμέραι δὲ ἐκ τῶν μηνῶν » τούτων, χίλιαι πεντήκοντα. Τουτέων τῶν ἁπασέων ἡμερέων » τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκο- » σίων καὶ ἑξακισχιλιέων καὶ δισμυριέων, ἡ ἑτέρη αὐτέων τῇ » ἑτέρῃ ἡμέρῃ τοπαράπαν οὐδὲν ὅμοιον προσάγει πρῆγμα. Οὕτω » ὦν, ὦ Κροῖσε, πᾶν ἐστι ἄνθρωπος συμφορή. Ἐμοὶ δὲ σὺ καὶ » πλουτέειν μὲν μέγα φαίνεαι, καὶ βασιλεὺς εἶναι πολλῶν ἀν- » θρώπων· ἐκεῖνο δὲ τὸ εἰρεό με, οὔκω σε ἐγὼ λέγω, πρὶν ἂν » τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. Οὐ γάρ τοι ὁ μέγα » πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστι, εἰ

» μή οἱ τύχη ἐπίσποιτο, πάντα καλὰ ἔχοντα τελευτῆσαι εὖ
» τὸν βίον. Πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων, ἀνόλβιοί
» εἰσι· πολλοὶ δὲ μετρίως ἔχοντες βίου, εὐτυχέες. Ὁ μὲν δὴ
» μέγα πλούσιος, ἀνόλβιος δὲ, δυοῖσι προέχει τοῦ εὐτυχέος
» μούνοισι· οὗτος δὲ, τοῦ πλουσίου καὶ ἀνολβίου πολλοῖσι.
» Ὁ μὲν, ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην προσπεσοῦσαν
» ἐνεῖκαι δυνατώτερος· ὁ δὲ, τοῖσι δὴ προέχει ἐκείνου, ἄτην
» μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα
» δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει. Ἄπηρος δέ ἐστι, ἄνουσος, ἀπαθὴς
» κακῶν, εὔπαις, εὐειδής. Εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει
» τὸν βίον εὖ, οὗτος ἐκεῖνος, τον συ ζητεῖς, ὄλβιος κεκλῆσθαι
» ἄξιός ἐστι. Πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχέειν, μηδὲ καλέειν
» κω ὄλβιον, ἀλλ' εὐτυχέα. Τὰ πάντα μέν νυν ταῦτα συλλα-
» βεῖν ἄνθρωπον ἐόντα, ἀδύνατον· ὥσπερ χώρη οὐδεμίη κατ-
» αρκέει πάντα ἑωϋτῇ παρέχουσα, ἀλλὰ ἄλλο μὲν ἔχει, ἑτέρου
» δὲ ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, ἀρίστη αὕτη. Ὣς δὲ
» καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὔταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει,
» ἄλλου δὲ ἐνδεές ἐστι. Ὃς δ' ἂν αὐτέων πλεῖστα ἔχων διατελέῃ,
» καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ
» τὸ οὔνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐστι φέρεσθαι. Σκο-
» πέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτὴν κῆ ἀποβήσεται.
» Πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ Θεὸς, προῤῥίζους ἀνέ-
» τρεψε. »

Ταῦτα λέγων τῷ Κροίσῳ, οὔκως οὔτε ἐχαρίζετο, οὔτε λόγου μιν ποιησάμενος οὐδενὸς, ἀποπέμπεται· κάρτα δόξας ἀμαθὴς εἶναι, ὃς τὰ παρεόντα ἀγαθὰ μετεὶς, τὴν τελευτὴν παντὸς χρήματος ὁρᾷν ἐκέλευε.

Hérod. liv. 1. ch. 29—33.

Bataille de Marathon.

SOMMAIRE.

Hippias, chassé d'Athènes, se retira auprès de Darius, qui faisait la guerre contre les Grecs, et lui offrit de servir dans son armée. Les Athéniens, instruits de la marche de Darius, demandent du secours aux Lacédémoniens, qui étaient alors leurs alliés. Miltiade n'attendit pas que les Perses vinssent l'attaquer. Le combat s'engagea dans les plaines de Marathon : les Grecs y remportèrent cette victoire si célèbre dans les fastes de l'antiquité. (Justin, liv. 2, ch. 9.)

Τοῖσι δὲ Ἀθηναίων στρατηγοῖσι ἐγίνοντο δίχα αἱ γνῶμαι· τῶν μὲν, οὐκ ἐώντων συμβάλλειν· ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων συμβαλέειν· τῶν δὲ, καὶ Μιλτιάδεω, κελευόντων. Ὡς δὲ δίχα τε ἐγίνοντο, καὶ ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα, ἦν γὰρ ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ (3) λαχὼν Ἀθηναίων πολεμαρχέειν· τοπαλαιὸν γὰρ Ἀθηναῖοι ὁμόψηφον τὸν πολέμαρχον ἐποιεῦντο τοῖσι στρατηγοῖσι· ἦν δὲ τότε πολέμαρχος Καλλίμαχος Ἀφιδναῖος· πρὸς τοῦτον ἐλθὼν Μιλτιάδης, ἔλεγε τάδε·

« Ἐν σοὶ νῦν, Καλλίμαχε, ἔστι ἢ καταδουλῶσαι Ἀθήνας, ἢ ἐλευθέρας ποιήσαντα, μνημόσυνον λιπέσθαι ἐς τὸν ἅπαντα ἀνθρώπων βίον, οἷον οὐδὲ Ἁρμόδιός τε καὶ Ἀριστογείτων λείπουσι (4). Νῦν γὰρ δὴ ἐξ οὗ ἐγίνοντο Ἀθηναῖοι, ἐς κίνδυνον ἥκουσι μέγιστον. Καὶ ἢν μέν γε ὑποκύψωσι τοῖσι Μήδοισι, δέδοκται τὰ πείσονται παραδεδομένοι Ἱππίῃ· ἢν δὲ περιγένηται αὕτη ἡ πόλις, οἵη τέ ἐστι πρώτη τῶν Ἑλληνίδων πολίων γενέσθαι. Κῶς ὦν δὴ ταῦτα οἷά τέ ἐστι γενέσθαι, καὶ κῶς ἐς σέ τι τουτέων ἀνήκει τῶν πρηγμάτων τὸ κῦρος ἔχειν, νῦν ἔρχομαι φράσων. Ἡμέων τῶν στρατηγῶν ἐόντων δέκα, δίχα γίνονται αἱ γνῶμαι, τῶν μὲν, κελευόντων συμβαλέειν, τῶν δὲ, οὐ συμβαλέειν. Ἢν μὲν νῦν μὴ συμβάλωμεν, ἔλπομαί τινα στάσιν μεγάλην ἐμπεσοῦσαν διασείσειν τὰ Ἀθηναίων φρονήματα, ὥστε

μηδίσαι· ἢν δὲ συμβάλωμεν, πρίν τι καὶ σαθρὸν Ἀθηναίων μετεξετέροισι ἐγγενέσθαι, θεῶν τὰ ἴσα νεμόντων, οἷοί τέ εἰμεν περιγενέσθαι τῇ συμβολῇ. Ταῦτα ὦν πάντα ἐς σὲ νῦν τείνει, καὶ ἐκ σέο ἤρτηται· ἢν γὰρ σὺ γνώμῃ τῇ ἐμῇ προσθῇ, ἔστι τοι πατρίς τε ἐλευθέρη, καὶ πόλις πρώτη τῶν ἐν τῇ Ἑλλάδι· ἢν δὲ τῶν ἀποσπευδόντων τὴν συμβουλὴν ἕλῃ, ὑπάρξει τοι τῶν ἐγὼ κατέλεξα ἀγαθῶν τὰ ἐναντία. »

Ταῦτα λέγων ὁ Μιλτιάδης, προσκτᾶται τὸν Καλλίμαχον. Προσγενομένης δὲ τοῦ πολεμάρχου τῆς γνώμης, ἐκεκύρωτο συμβάλλειν. Μετὰ δὲ, οἱ στρατηγοὶ, τῶν ἡ γνώμη ἔφερε συμβάλλειν, ὡς ἑκάστου αὐτέων ἐγίνετο πρυτανηΐη τῆς ἡμέρης (5), Μιλτιάδῃ παρεδίδοσαν· ὁ δὲ, δεκόμενος, οὔτι κω συμβολὴν ἐποιέετο, πρίν γε δὴ αὐτοῦ πρυτανηΐη ἐγένετο.

Ὡς δὲ ἐς ἐκεῖνον περιῆλθε, ἐνθαῦτα δὴ ἐτάσσοντο ὧδε Ἀθηναῖοι ὡς συμβαλέοντες. Τοῦ μὲν δεξιοῦ κέρεος ἡγέετο ὁ πολέμαρχος Καλλίμαχος· ὁ γὰρ νόμος τότε εἶχε οὕτω τοῖσι Ἀθηναίοισι, τὸν πολέμαρχον ἔχειν κέρας τὸ δεξιόν. Ἡγεομένου δὲ τούτου, ἐξεδέκοντο ὡς ἀριθμέοντο αἱ φυλαὶ, ἐχόμεναι ἀλληλέων· τελευταῖοι δὲ ἐτάσσοντο, ἔχοντες τὸ εὐώνυμον κέρας, Πλαταιέες. Ἀπὸ ταύτης γάρ σφι τῆς μάχης, θυσίας Ἀθηναίων ἀναγόντων καὶ πανηγύριας τὰς ἐν τῇσι πεντετηρίσι γινομένας, κατεύχεται ὁ κήρυξ ὁ Ἀθηναῖος, ἅμα τε Ἀθηναίοισι λέγων γίνεσθαι ἀγαθὰ καὶ Πλαταιεῦσι. Τότε δὲ τασσομένων τῶν Ἀθηναίων ἐν τῷ Μαραθῶνι, ἐγίνετο τοιόνδε τι. Τὸ στρατόπεδον ἐξισούμενον τῷ Μηδικῷ στρατοπέδῳ, τὸ μὲν αὐτοῦ μέσον ἐγίνετο ἐπὶ τάξιας ὀλίγας, καὶ ταύτῃ ἦν ἀσθενέστατον τὸ στρατόπεδον· τὸ δὲ κέρας ἑκάτερον ἔρρωτο πλήθεϊ.

Ὡς δέ σφι διετέτακτο, καὶ τὰ σφάγια ἐγίνετο καλὰ, ἐνθαῦτα ὡς ἀπείθησαν οἱ Ἀθηναῖοι, δρόμῳ ἵεντο ἐς τοὺς βαρβάρους. Ἦσαν δὲ στάδιοι οὐκ ἐλάσσονες τὸ μεταίχμιον αὐτέων, ἢ ὀκτώ. Οἱ δὲ Πέρσαι, ὁρέωντες δρόμῳ ἐπιόντας, παρεσκευάζοντο ὡς δεξόμενοι· μανίην τε τοῖσι Ἀθηναίοισι ἐπέφερον, καὶ πάγχυ ὀλεθρίην, ὁρέων-

τες αὐτοὺς ὀλίγους, καὶ τούτους δρόμῳ ἐπειγομένους, οὔτε ἵππου ὑπαρχούσης σφι, οὔτε τοξευμάτων· ταῦτα μέν νυν οἱ βάρβαροι κατείκαζον. Ἀθηναῖοι δὲ, ἐπεί τε ἀθρόοι προσέμιξαν τοῖσι βαρβάροισι, ἐμάχοντο ἀξίως λόγου. Πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων τῶν ἡμεῖς ἴδμεν, δρόμῳ ἐς πολεμίους ἐχρήσαντο, πρῶτοι δὲ ἀνέσχοντο ἐσθῆτά τε Μηδικὴν ὁρέωντες, καὶ τοὺς ἄνδρας ταύτην ἐσθημένους· τέως δὲ ἦν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα τὸ Μήδων φόβος ἀκοῦσαι.

Μαχομένων δὲ ἐν τῷ Μαραθῶνι, χρόνος ἐγίνετο πολλός. Καὶ τὸ μὲν μέσον τοῦ στρατοπέδου ἐνίκων οἱ βάρβαροι, τῇ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι (6) ἐτετάχατο· κατὰ τοῦτο μὲν δὴ ἐνίκων οἱ βάρβαροι, καὶ ῥήξαντες, ἐδίωκον ἐς τὴν μεσόγαιαν· τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Ἀθηναῖοί τε καὶ Πλαταιέες. Νικῶντες δὲ, τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν ἔων· τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτέων, συναγαγόντες τὰ κέρεα ἀμφότερα, ἐμάχοντο, καὶ ἐνίκων Ἀθηναῖοι. Φεύγουσι δὲ τοῖσι Πέρσῃσι εἵποντο κόπτοντες, ἐς ὃ ἐπὶ τὴν θάλασσαν ἀπικόμενοι, πῦρ τε αἴτεον, καὶ ἐπελαμβάνοντο τῶν νεῶν.

Καὶ τοῦτο μὲν, ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός· ἀπὸ δ' ἔθανε τῶν στρατηγῶν Στησίλεως ὁ Θρασύλεω· τοῦτο δὲ, Κυνέγειρος ὁ Εὐφορίωνος, ἐνθαῦτα ἐπιλαβόμενος τῶν ἀφλάστων νηὸς, τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ, πίπτει· τοῦτο δὲ, ἄλλοι Ἀθηναίων πολλοί τε καὶ ὀνομαστοί.

Ἐν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας· Ἀθηναίων δὲ, ἑκατὸν ἐνενήκοντα καὶ δύο.

Id. liv. VI. ch. 109—114 : 117.

Entretien de Xerxès et de Démarate.

SOMMAIRE.

L'histoire ancienne ne fait mention d'aucune armée aussi considérable que celle de Xerxès, lorsqu'il marcha contre la Grèce. Ce roi, dans un entretien avec Démarate, lui demanda s'il pensait que les Grecs oseraient lui disputer le passage. La réponse de Démarate est remarquable par une noblesse et une liberté bien dignes d'un Spartiate.

Ὡς δὲ καὶ ταύτας (τὰς νέας) διεξέπλωσε, καὶ ἐξέβη ἐκ τῆς νεός, μετεπέμψατο Δημάρητον (7) τὸν Ἀρίστωνος συστρατευόμενον αὐτῷ ἐπὶ τὴν Ἑλλάδα. Καλέσας δ' αὐτὸν, εἴρετο τάδε·

« Ὦ Δημάρητε, νῦν μοί σε ἡδύ τί ἐστι ἐπείρεσθαι τὰ θέλω· σὺ εἶς Ἕλλην τε, καὶ, ὡς ἐγὼ πυνθάνομαι σεῦ τε καὶ τῶν ἄλλων Ἑλλήνων τῶν ἐμοὶ ἐς λόγους ἀπικομένων, πόλιος οὔτ' ἐλαχίστης, οὔτ' ἀσθενεστάτης. Νῦν ὦν μοι τόδε φράσον, εἰ Ἕλληνες ὑπομενέουσι χεῖρας ἐμοὶ ἀνταειρόμενοι· οὐ γὰρ, ὡς ἐγὼ δοκέω, οὐδ' εἰ πάντες Ἕλληνες, καὶ οἱ λοιποὶ οἱ πρὸς ἑσπέρης οἰκέοντες ἄνθρωποι συλλεχθείησαν, οὐκ ἀξιόμαχοί εἰσι ἐμὲ ἐπιόντα ὑπομεῖναι, μὴ ἐόντες ἄρθμιοι. Ἐθέλω μέντοι καὶ τὸ ἀπὸ σεῦ, ὁκοῖόν τι λέγεις περὶ αὐτέων, πυθέσθαι. »

Ὁ μὲν ταῦτα εἰρώτα. Ὁ δὲ, ὑπολαβὼν ἔφη· « Ὦ βασιλεῦ, κότερα ἀληθηίῃ χρήσομαι πρὸς σὲ, ἢ ἡδονῇ; » Ὁ δέ μιν ἀληθηίῃ χρήσασθαι ἐκέλευε, φὰς οὐδέν οἱ ἀηδέστερον ἔσεσθαι ἢ πρότερον ἦν. Ὡς δὲ ταῦτα ἤκουσε Δημάρητος, ἔλεγε τάδε·

« Βασιλεῦ, ἐπειδὴ ἀληθηίῃ διαχρήσασθαι πάντως με κελεύεις, ταῦτα λέγοντα, τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται, τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφός ἐστι· ἀρετὴ δὲ ἔπακτός ἐστι, ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ· τῇ διαχρεομένη ἡ Ἑλλὰς, τήν τε πενίην ἀπαμύνεται καὶ τὴν δεσποσύνην. Αἰνέω μὲν νῦν πάντας τοὺς Ἕλληνας τοὺς περὶ κείνους τοὺς Δωρι-

τοὺς χώρους οἰκημένους· ἔρχομαι δὲ λέξων οὐ περὶ πάντων τούσδε τοὺς λόγους, ἀλλὰ περὶ Λακεδαιμονίων μούνων· πρῶτα μὲν, ὅτι οὐκ ἔστι ὅκως κοτὲ σοὺς δέξονται λόγους δουλοσύνην φέροντας τῇ Ἑλλάδι· αὖτις δὲ, ὡς ἀντιώσονταί τοι ἐς μάχην, καὶ ἢν οἱ ἄλλοι Ἕλληνες πάντες τὰ σὰ φρονέωσι. Ἀριθμοῦ δὲ πέρι, μὴ πύθῃ ὅσοι τινές ἐόντες ταῦτα ποιέειν οἷοί τέ εἰσι· ἤν τε γὰρ τύχωσι ἐξεστρατευμένοι χίλιοι, οὗτοι μαχέσονταί τοι, ἤν τε ἐλάσσονες τουτέων, ἤν τε καὶ πλεῦνες. »

Ταῦτα ἀκούσας Ξέρξης, γελάσας ἔφη·

« Δημάρητε, οἷον ἐφθέγξαο ἔπος, ἄνδρας χιλίους στρατιῇ τοσῇδε μαχέσασθαι! Ἄγε εἰπέ μοι, σὺ φῂς τουτέων τῶν ἀνδρῶν αὐτὸς βασιλεὺς γενέσθαι; σὺ ὦν ἐθελήσεις αὐτίκα μάλα πρὸς ἄνδρας δέκα μάχεσθαι; Καί τοι εἰ τὸ πολιτικὸν ὑμῖν πᾶν ἐστι τοιοῦτον οἷον σὺ διαιρέεις, σέ γε τὸν κείνων βασιλῆα πρέπει πρὸς τὸ διπλήσιον ἀντιτάσσεσθαι κατὰ νόμους τοὺς ὑμετέρους· εἰ γὰρ κείνων ἕκαστος δέκα ἀνδρῶν τῆς στρατιῆς τῆς ἐμῆς ἀντάξιός ἐστι, σὲ δέ γε δίζημαι εἴκοσι εἶναι ἀντάξιον· καὶ οὕτω μὲν ὀρθοῖτ' ἂν ὁ λόγος ὁ παρὰ σεῦ εἰρημένος· εἰ δὲ τοιοῦτοί τε ἐόντες, καὶ μεγάθεα τοσοῦτοι οἷος σύ τε καὶ οἱ παρ' ἐμὲ φοιτῶσι Ἑλλήνων ἐς λόγους, αὐχέετε τοσοῦτον, ὅρα μὴ μάτην κόμπος ὁ λόγος οὗτος ὁ εἰρημένος εἴη· ἐπεὶ φέρε ἴδω παντὶ τῷ οἰκότι, κῶς ἂν δυναίατο χίλιοι, ἢ καὶ μύριοι, ἢ καὶ πεντακισμύριοι, ἐόντες γε ἐλεύθεροι πάντες ὁμοίως, καὶ μὴ ὑπ' ἑνὸς ἀρχόμενοι, στρατῷ τοσῷδε ἀντιστῆναι; ἐπεί τοι πλεῦνες περὶ ἕνα ἕκαστον γινόμεθα, ἢ χίλιοι, ἐόντων κείνων πέντε χιλιάδων· ὑπὸ μὲν γὰρ ἑνὸς ἀρχόμενοι κατὰ τρόπον τὸν ἡμέτερον, γενοίατ' ἂν δειμαίνοντες τοῦτον, καὶ παρὰ τὴν ἑωϋτῶν φύσιν ἀμείνονες, καὶ ἴοιεν ἀναγκαζόμενοι μάστιγι ἐς πλεῦνας ἐλάσσονες ἐόντες· ἀνειμένοι δὲ ἐς τὸ ἐλεύθερον, οὐκ ἂν ποιέοιεν τουτέων οὐδέτερα· δοκέω δὲ ἔγωγε καὶ ἀνισωθέντας πλήθεϊ, χαλεπῶς ἂν Ἕλληνας Πέρσῃσι μούνοισι μάχεσθαι· ἀλλὰ παρ' ἡμῖν τοῦτό ἐστι τὸ σὺ λέγεις· ἔστι γε μέντοι οὐ πολλὸν, ἀλλὰ

σπάνιον· εἰσὶ γὰρ Περσέων τῶν ἐμῶν αἰχμοφόρων, οἳ ἐθελήσουσι Ἑλλήνων ἀνδράσι τρισὶ ὁμοῦ μάχεσθαι· τῶν σὺ ἐὼν ἄπειρος, πολλὰ φλυηρέεις. »

Πρὸς ταῦτα Δημάρητος λέγει·

« Ὦ βασιλεῦ, ἀρχῆθεν ἠπιστάμην ὅτι ἀληθείῃ χρεώμενος, οὐ φίλα τοι ἐρέω· σὺ δὲ ἐπεὶ ἠνάγκασας λέγειν τῶν λόγων τοὺς ἀληθεστάτους, ἔλεγον τὰ κατήκοντα Σπαρτιήτῃσι· καίτοι ὡς ἐγὼ τυγχάνω τὰ νῦν τάδε ἐστοργὼς ἐκείνους, αὐτὸς μάλιστα ἐξεπίστεαι, οἵ με τιμήν τε καὶ γέρεα ἀπελόμενοι πατρώϊα, ἄπολίν τε καὶ φυγάδα πεποιήκασι· πατὴρ δὲ σὸς ὑποδεξάμενος, βίον τέ μοι καὶ οἶκον δέδωκε· οὔκων εἰκός ἐστι ἄνδρα τὸν σώφρονα εὐνοίην φαινομένην διωθέεσθαι, ἀλλὰ στέργειν μάλιστα· ἐγὼ δὲ οὔτε δέκα ἀνδράσι ὑπίσχομαι οἷός τε εἶναι μάχεσθαι, οὔτε δυοῖσι· ἑκών τε εἶναι οὐδ᾽ ἂν μουνομαχέοιμι· εἰ δὲ ἀναγκαίη εἴη, ἢ μέγας τις ὁ ἐποτρύνων ἀγὼν, μαχοίμην ἂν πάντων ἥδιστα ἑνὶ τουτέων τῶν ἀνδρῶν, οἳ Ἑλλήνων ἕκαστός φησι τριῶν ἄξιος εἶναι· ὣς δὲ καὶ Λακεδαιμόνιοι, κατὰ μὲν ἕνα μαχεόμενοι, οὐδαμῶν εἰσι κακίονες ἀνδρῶν· ἁλέες δὲ, ἄριστοι ἀνδρῶν ἁπάντων· ἐλεύθεροι γὰρ ἐόντες, οὐ πάντα ἐλεύθεροί εἰσι· ἔπεστι γάρ σφι δεσπότης, ὁ νόμος, τὸν ὑποδειμαίνουσι πολλῷ ἔτι μᾶλλον, ἢ οἱ σοὶ, σέ· ποιεῦσι γῶν τὰ ἂν ἐκεῖνος ἀνώγῃ· ἀνώγει δὲ τωὐτὸ αἰεὶ, οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης, ἀλλὰ μένοντας ἐν τῇ τάξει, ἐπικρατέειν ἢ ἀπόλλυσθαι· σοὶ δὲ, εἰ φαίνομαι ταῦτα λέγων φλυηρέειν, τἆλλα σιγᾷν ἐθέλω τὸ λοιπόν· νῦν δὲ ἀναγκασθεὶς ἔλεξα· γένοιτο μέντοι κατὰ νόον τοι, βασιλεῦ. »

Id. liv. VII, ch. 101—103.

Description du passage des Thermopyles.

Οἱ δὲ Ἕλληνες ἐπεί τε ἀπίκατο ἐς τὸν Ἰσθμὸν, ἐβουλεύοντο πρὸς τὰ λεχθέντα ἐξ Ἀλεξάνδρου (8), ἢ τε στήσονται τὸν πόλεμον καὶ ἐν οἵοισι χώροισι. Ἡ νικῶσα δὲ γνώμη ἐγένετο. τὴν ἐν

Θερμοπύλησι ἐσβολὴν φυλάξαι· στεινοτέρη γὰρ ἐφαίνετο ἐοῦσα τῆς ἐς Θεσσαλίην, καὶ ἅμα ἀγχοτέρη τε τῆς ἑωϋτῶν· τὴν δὲ ἀτραπὸν δι' ἣν ἥλωσαν οἱ ἁλόντες Ἑλλήνων ἐν Θερμοπύλῃσι, οὐδὲ ᾔδεσαν ἐοῦσαν πρότερον ἤπερ ἀπικόμενοι ἐς Θερμοπύλας ἐπύθοντο Τρηχινίων· ταύτην ὦν ἐβουλεύσαντο φυλάσσοντες τὴν ἐσβολὴν, μὴ παριέναι ἐς τὴν Ἑλλάδα τὸν βάρβαρον, τὸν δὲ ναυτικὸν στρατὸν πλέειν γῆς τῆς Ἱστιαιώτιδος ἐπὶ Ἀρτεμίσιον (9)· ταῦτα γὰρ ἀγχοῦ τε ἀλλήλων ἐστὶ, ὥστε πυνθάνεσθαι τὰ κατ' ἑκατέρους ἐόντα· οἵ τε χῶροι οὕτως ἔχουσι.

Τοῦτο μὲν, τὸ Ἀρτεμίσιον ἐκ τοῦ πελάγεος τοῦ Θρηϊκίου ἐξ εὐρέος συνάγεται ἐς στεινὸν πόρον, τὸν μεταξὺ ἐόντα νήσου τε Σκιάθου (10) καὶ ἠπείρου Μαγνησίης (11)· ἐκ δὲ τοῦ στεινοῦ, τῆς Εὐβοίης ἤδη τὸ Ἀρτεμίσιον ἐκδέκεται αἰγιαλός· ἐν δὲ, Ἀρτέμιδος ἱρόν· ἡ δὲ αὖ διὰ Τρηχῖνος ἔσοδος ἐς τὴν Ἑλλάδα, ἔστι, τῇ στεινοτάτῃ, ἡμίπλεθρον· οὐ μέντοι κατὰ τοῦτό γ' ἔστι τὸ στεινότατον τῆς χώρης τῆς ἄλλης, ἀλλ' ἔμπροσθέν τε Θερμοπυλέων καὶ ὄπισθεν· κατά τε Ἀλπηνοὺς ὄπισθεν ἐόντας ἐοῦσα ἁμαξιτὸς μούνη, καὶ ἔμπροσθεν κατὰ Φοίνικα ποταμὸν, ἄγχου Ἀνθήλης πόλιος (12), ἁμαξιτὸς ἄλλη μούνη· τῶν δὲ Θερμοπυλέων τὸ μὲν πρὸς ἑσπέρης, ὄρος ἄβατόν τε καὶ ἀπόκρημνον, ὑψηλὸν, ἀνατεῖνον ἐς τὴν Οἴτην· τὸ δὲ πρὸς τὴν ἠῶ τῆς ὁδοῦ, θάλασσα ὑποδέκεται καὶ τενάγεα· ἔστι δὲ ἐν τῇ ἐσόδῳ ταύτῃ θερμὰ λουτρὰ, τὰ Χύτρους καλέουσι οἱ ἐπιχώριοι· καὶ βωμὸς ἵδρυται Ἡρακλέος ἐπ' αὐτοῖσι· ἐδέδμητο δὲ τεῖχος κατὰ ταύτας τὰς ἐσβολάς· καὶ τό γε παλαιὸν πύλαι ἐπῆσαν· ἔδειμαν δὲ Φωκέες τὸ τεῖχος, δείσαντες, ἐπεὶ Θεσσαλοὶ ἦλθον ἐκ Θεσπρωτῶν (13) οἰκήσοντες γῆν τὴν Αἰολίδα, τήνπερ νῦν ἐκτέαται· ἅτε δὴ πειρωμένων τῶν Θεσσαλῶν καταστρέφεσθαι σφέας, τοῦτο προεφυλάξαντο οἱ Φωκέες· καὶ τὸ ὕδωρ τὸ θερμὸν τότε ἐπῆκαν ἐπὶ τὴν ἔσοδον, ὡς ἂν χαραδρωθείη ὁ χῶρος· πᾶν μηχανεώμενοι ὅκως μή σφι ἐσβάλοιεν οἱ Θεσσαλοὶ ἐπὶ τὴν χώρην· τὸ μέν νυν τεῖχος τὸ ἀρχαῖον ἐκ παλαιοῦ τε ἐδέδμητο, καὶ τὸ πλέον αὐτοῦ ἤδη

ὑπὸ χρόνου ἔκειτο· τοῖσι δὲ αὖτις ὀρθῶσασι, ἔδοξε ταύτῃ ἀπαμύνειν ἀπὸ τῆς Ἑλλάδος τὸν βάρβαρον· κώμη δέ ἐστι ἀγχοτάτω τῆς ὁδοῦ, Ἀλπηνοὶ οὔνομα· ἐκ ταύτης δὲ ἐπισιτιεῖσθαι ἐλογίζοντο οἱ Ἕλληνες.

Οἱ μέν νυν χῶροι οὗτοι τοῖσι Ἕλλησι εἶναι ἐφαίνοντο ἐπιτήδεοι· ἅπαντα γὰρ προσκεψάμενοι καὶ ἐπιλογισθέντες, ὅτι οὔτε πλήθεϊ ἕξουσι χρᾶσθαι οἱ βάρβαροι, οὔτε ἵππῳ, ταύτῃ σφι ἔδοξε δέκεσθαι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα· ὡς δὲ ἐπύθοντο τὸν Πέρσην ἐόντα ἐν Πιερίῃ (14), διαλυθέντες ἐκ τοῦ Ἰσθμοῦ, ἐστρατεύοντο αὐτέων οἱ μὲν, ἐς Θερμοπύλας πεζῇ, ἄλλοι δὲ, κατὰ θάλασσαν ἐπ' Ἀρτεμίσιον.

Id. liv. VII. c. 175—177

Mort de Léonidas et des trois cents Spartiates.

Ξέρξης δὲ, ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον, ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω· ἀπὸ γὰρ τοῦ οὔρεος ἡ κατάβασις συντομωτέρη τέ ἐστι, καὶ βραχύτερος ὁ χῶρος πολλὸν ἤπερ ἡ περίοδός τε καὶ ἀνάβασις· οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξεα προσήϊσαν, καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι ἤδη πολλῷ μᾶλλον ἢ κατ' ἀρχὰς ἐπεξήϊσαν ἐς τὸ εὐρύτατον τοῦ αὐχένος· τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο· οἱ δὲ, ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα, ἐμάχοντο· τότε δὴ συμμίσγοντες ἔξω τῶν στεινῶν, ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων· ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας, ἐῤῥάπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες· πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτέων ἐς τὴν θάλασσαν, καὶ διεφθείροντο· πολλῷ δ' ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου· ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντά σφι ἔσεσθαι θάνατον ἐκ τῶν περιϊόντων τὸ οὔρος, ἐπ-

ἐδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώμενοί τε καὶ ἀτέοντες.

Δόρατα μέν νυν τοῖσι πλέοσι αὐτέων τηνικαῦτα ἐτύγχανε κατεηγότα ἤδη, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας· Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει, ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ' αὐτοῦ ὀνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα· ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκοσίων.

Ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω Περσέων τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγένετο πολλός· ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν, καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις· τοῦτο δὲ συνεστήκεε μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο· ὡς δὲ τούτους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος· ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος, ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ ἄλλοι πλὴν Θηβαίων· ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ· ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτέων ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι, κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν, ἐξ ἐναντίης ἐπισπόμενοι, καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες· οἱ δὲ, περιελθόντες πάντοθεν περισταδόν.

Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων, ὅμως λέγεται ἄριστος ἀνὴρ γενέσθαι Σπαρτιήτης Διηνέκης· τὸν τόδε φασὶ εἶπαι τὸ ἔπος πρὶν ἢ συμμῖξαι σφέας τοῖσι Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων ὡς ἐπεὰν οἱ βάρβαροι ἀπιέωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν οἰστῶν ἀποκρύπτουσι· τοσοῦτό τι πλῆθος αὐτέων εἶναι. Τὸν δὲ, οὐκ ἐκπλαγέντα τούτοισι, εἶπαι, ἐν ἀλογίῃ ποιεύμενον τὸ τῶν Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον, ὑπὸ σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη, καὶ οὐκ ἐν ἡλίῳ. Ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα.

Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ τῇπερ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι ἢ τοὺς ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε·

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
Ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

Ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται. Τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ·

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο. Τῷ δὲ μάντι, τόδε·

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι·
Μάντιος, ὃς τότε Κῆρας ἐπερχομένας σάφα εἰδὼς,
Οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτύονές εἰσι σφέας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω, Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.

Id. liv. VII. c. 223—228.

État primitif des Grecs.

Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους· ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων· τεκμαιρόμενος, ὅτι ἀκμάζοντές τε ἦσαν εἰς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθὺς, τὸ δὲ καὶ διανοούμενον. Κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο,

καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. Τὰ γὰρ πρὸ αὐτῶν, καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα.

Φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων. Τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὐτῶν ἕκαστοι ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες (ἄδηλον ὂν, ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος ἀφαιρήσεται), τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο. Καὶ δι' αὐτὸ, οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ· μάλιστα δὲ τῆς γῆς ἡ ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων εἶχεν· ἥ τε νῦν Θεσσαλία καλουμένη, καὶ Βοιωτία, Πελοποννήσου τε τὰ πολλὰ, πλὴν Ἀρκαδίας, τῆς τε ἄλλης ὅσα ἦν κράτιστα. Διὰ γὰρ ἀρετὴν γῆς, αἵ τε δυνάμεις τισὶ μείζους ἐγγινόμεναι στάσεις ἐνεποίουν, ἐξ ὧν ἐφθείροντο, καὶ ἅμα ὑπὸ ἀλλοφύλων μᾶλλον ἐπεβουλεύοντο· τὴν γοῦν Ἀττικὴν, ἐκ τοῦ ἐπιπλεῖστον, διὰ τὸ λεπτόγεων, ἀστασίαστον οὖσαν, ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί. Καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι, διὰ τὰς μετοικίας, ἐς τὰ ἄλλα μὴ ὁμοίως, αὐξηθῆναι· ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος οἱ πολέμῳ ἢ στάσει ἐκπίπτοντες, παρ' Ἀθηναίους οἱ δυνατώτατοι, ὡς βέβαιον ὂν, ἀνεχώρουν· καὶ πολῖται γιγνόμενοι, εὐθὺς ἀπὸ παλαιοῦ μείζω ἔτι ἐποίησαν πλήθει ἀνθρώπων τὴν πόλιν· ὥστε καὶ ἐς Ἰωνίαν ὕστερον, ὡς οὐχ ἱκανῆς οὔσης τῆς Ἀττικῆς, ἀποικίας ἐξέπεμψαν.

Δηλοῖ δέ μοι καὶ τόδε τῶν παλαιῶν ἀσθένειαν οὐχ' ἥκιστα· πρὸ γὰρ τῶν Τρωϊκῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς· δοκεῖ δέ μοι, οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν,

ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ, ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπὶ πλεῖστον, ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι. Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ Φθιώτιδι (15) ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείᾳ ἐς τὰς ἄλλας πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι Ἕλληνας. Οὐ μέν τοι πολλοῦ γε χρόνου ἠδύνατο καὶ ἅπασιν ἐκνικῆσαι. Τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος. Πολλῷ γὰρ ὕστερος ἔτι καὶ τῶν Τρωϊκῶν γενόμενος (16), οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν· Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι, καὶ Ἀργείους, καὶ Ἀχαιοὺς ἀνακαλεῖ. Οὐ μὴν οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ Ἕλληνάς πω, ὡς ἐμοὶ δοκεῖ, ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι. Οἱ δ' οὖν ὡς ἕκαστοι Ἕλληνες κατὰ πόλεις τε ὅσοι ἀλλήλων ξυνίεσαν, καὶ ξύμπαντες ὕστερον κληθέντες, οὐδὲν πρὸ τῶν Τρωϊκῶν δι' ἀσθένειαν καὶ ἀμιξίαν ἀλλήλων ἀθρόοι ἔπραξαν· ἀλλὰ καὶ ταύτην τὴν στρατείαν, θαλάσσῃ ἤδη τὰ πλείω χρώμενοι, ξυνῆλθον.

THUCYDIDE, liv. 1. c. 1—3.

Thémistocle exilé se retire chez les Perses.

Τοῦ Μηδισμοῦ τοῦ Παυσανίου Λακεδαιμόνιοι πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους, ξυνεπητιῶντο καὶ τὸν Θεμιστοκλέα, ὡς εὕρισκον ἐκ τῶν περὶ Παυσανίαν ἐλέγχων· ἠξίουν τε τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν. Οἱ δὲ, πεισθέντες (ἔτυχε γὰρ ὠστρακισμένος, καὶ ἔχων δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον) πέμπουσι μετὰ τῶν Λακεδαιμονίων, ἑτοίμων ὄντων ξυνδιώκειν, ἄνδρας οἷς εἴρητο ἄγειν ὅπου ἂν περιτύχωσιν.

Ὁ δὲ Θεμιστοκλῆς προαισθόμενος φεύγει ἐκ Πελοποννήσου ἐς Κέρκυραν (17), ὢν αὐτῶν εὐεργέτης. Δεδιέναι δὲ φασκόντων τῶν Κερκυραίων ἔχειν αὐτὸν, ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις

ἀπέχθεσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν ἤπειρον τὴν καταντικρύ. Καὶ διωκόμενος ὑπὸ τῶν προστεταγμένων, κατὰ πύστιν οἵ χωροίη, ἀναγκάζεται κατά τι ἄπορον παρὰ Ἄδμητον τὸν Μολοσσῶν (18) βασιλέα, ὄντα αὐτῷ οὐ φίλον, καταλῦσαι. Καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν· ὁ δὲ, τῆς γυναικὸς ἱκέτης γενόμενος, διδάσκεται ὑπ' αὐτῆς τὸν παῖδα σφῶν λαβὼν καθίζεσθαι ἐπὶ τὴν ἑστίαν. Καὶ ἐλθόντος οὐ πολὺ ὕστερον τοῦ Ἀδμήτου, δηλοῖ τε ὅς ἐστι, καὶ οὐκ ἀξιοῖ, εἴ τι ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ Ἀθηναίων δεομένῳ, φεύγοντα τιμωρεῖσθαι· καὶ γὰρ ἂν ὑπ' ἐκείνου πολλῷ ἀσθενεστέρου ἐν τῷ παρόντι κακῶς πάσχειν· γενναῖον δὲ εἶναι, τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι· καὶ ἅμα, αὐτὸς μὲν ἐκείνῳ χρείας τινὸς, καὶ οὐκ ἐς τὸ σῶμα σώζεσθαι, ἐναντιωθῆναι· ἐκεῖνον δ' ἂν, εἰ ἐκδοίη αὐτὸν (εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται), σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι. Ὁ δὲ ἀκούσας, ἀνίστησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος, ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο.

Καὶ ὕστερον οὐ πολλῷ τοῖς τε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλθοῦσι, καὶ πολλὰ εἰποῦσιν, οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποστέλλει βουλόμενον ὡς βασιλέα πορευθῆναι, ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ, ἐς Πύδναν τὴν Ἀλεξάνδρου· ἐν ᾗ ὁλκάδος τυχὼν ἀναγομένης ἐπ' Ἰωνίας, καὶ ἐπιβὰς, καταφέρεται χειμῶνι ἐς τὸ Ἀθηναίων στρατόπεδον, ὃ ἐπολιόρκει Νάξον (19)· καὶ (ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηΐ) δείσας φράζει τῷ ναυκλήρῳ, ὅστις ἐστὶ, καὶ δι' ἃ φεύγει· καὶ, εἰ μὴ σώσει αὐτὸν, ἔφη ἐρεῖν, ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει· τὴν δὲ ἀσφάλειαν εἶναι, μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς, μέχρι πλοῦς γένηται· πειθομένῳ δ' αὐτῷ χάριν απομνήσεσθαι ἀξίαν. Ὁ δὲ ναύκληρος ποιεῖ τε ταῦτα, καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ τοῦ στρατοπέδου, ὕστερον ἀφικνεῖται ἐς Ἔφεσον (20). Καὶ ὁ Θεμιστοκλῆς ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων δόσει (ἦλθε γὰρ αὐτῷ ὕστερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων, καὶ ἐξ Ἄργους, ἃ ὑπεξέκειτο), καὶ μετὰ τῶν κάτω Περσῶν τινὸς πορευθεὶς ἄνω, ἐσπέμπει γράμματα εἰς βασιλέα Ἀρταξέρξην τὸν

Ξέρξου, νεωστὶ βασιλεύοντα. Ἐδήλου δ' ἡ γραφὴ ὅτι, « Θεμιστοκλῆς ἥκω παρὰ σὲ, ὃς κακὰ μὲν πλεῖστα Ἑλλήνων εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπιόντα ἐμοὶ ἀνάγκῃ ἠμυνόμην· πολὺ δ' ἔτι πλείω ἀγαθὰ, ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. Καί μοι εὐεργεσία ὀφείλεται (γράψας τήν τε ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως, καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προσεποιήσατο τότε δι' αὐτὸν, οὐ διάλυσιν) καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι, πάρειμι, διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν. Βούλομαι δ' ἐνιαυτὸν ἐπισχὼν, αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι. »

Βασιλεὺς δὲ, ὡς λέγεται, ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν, καὶ ἐκέλευσε ποιεῖν οὕτως. Ὁ δ' ἐν τῷ χρόνῳ, ὃν ἐπέσχε, τῆς τε Περσίδος γλώσσης, ὅσα ἠδύνατο, κατενόησε, καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας. Ἀφικόμενος δὲ μετὰ τὸν ἐνιαυτὸν, γίγνεται παρ' αὐτῷ μέγας, καὶ ὅσους οὐδείς πω Ἑλλήνων, διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν, καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν· μάλιστα δὲ ἀπὸ τοῦ πεῖραν διδοὺς ξυνετὸς φαίνεσθαι. Ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι· οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν, οὔτ' ἐπιμαθὼν, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων, καὶ τῶν μελλόντων ἐπιπλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής, καὶ ἃ μὲν μετὰ χεῖρας ἔχει, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο· τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιστα, καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι, κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. Νοσήσας δὲ, τελευτᾷ τὸν βίον. Λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτὸν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ ἃ ὑπέσχετο. Μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μαγνησίᾳ (21) ἐστὶ τῇ Ἀσιανῇ ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασι-

λέως αὐτῷ, Μαγνησίαν μὲν, ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ· Λάμψακον δὲ (22), οἶνον (ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι)· Μυοῦντα δὲ (23), ὄψον. Τὰ δὲ ὀστᾶ φασὶ κομισθῆναι αὐτοῦ οἱ προσήκοντες οἴκαδε, κελεύσαντος ἐκείνου, καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ· οὐ γὰρ ἐξῆν θάπτειν; ὡς ἐπὶ προδοσίᾳ φεύγοντος. Τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, λαμπροτάτους γενομένους τῶν καθ' ἑαυτοὺς Ἑλλήνων, οὕτως ἐτελεύτησε.

Id. liv. I. c. 135—138.

Discours de Périclès sur l'invasion des Péloponésiens.

ARGUMENT.

Archidamus avait envoyé Mélésippe vers les Athéniens, pour voir s'ils voudraient se relâcher de leurs prétentions. Mais ceux-ci ne consentirent pas même à entendre ce député. Alors Archidamus fit avancer les troupes vers l'Attique. Les Béotiens avaient donné aux Péloponésiens une grande partie de leurs troupes : avec ce qui leur restait, ils entrèrent sur le territoire de Platée. Les Péloponésiens n'avaient pas encore pénétré dans l'Attique. Tel était l'état des choses, lorsque Périclès adressa ce discours à ses concitoyens :

Ἔτι δὲ τῶν Πελοποννησίων ξυλλεγομένων τε ἐς τὸν Ἰσθμὸν, καὶ ἐν ὁδῷ ὄντων, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν, Περικλῆς ὁ Ξανθίππου στρατηγὸς ὢν Ἀθηναίων, δέκατος αὐτὸς, ὡς ἔγνω τὴν ἐσβολὴν ἐσομένην, ὑποτοπήσας ὅτι Ἀρχίδαμος αὐτῷ ξένος ὢν ἐτύγχανε, μὴ πολλάκις ἢ αὐτὸς ἰδίᾳ βουλόμενος χαρίζεσθαι, τους ἀγροὺς αὐτοῦ παραλίπῃ, καὶ μὴ δῃώσῃ, ἢ καὶ Λακεδαιμονίων κελευσάντων, ἐπὶ διαβολῇ τῇ ἑαυτοῦ γένηται τοῦτο, ὥσπερ καὶ τὰ ἄγη ἐλαύνειν προεῖπον ἕνεκα ἐκείνου· προηγόρευε τοῖς Ἀθηναίοις ἐν τῇ ἐκκλησίᾳ, ὅτι Ἀρχίδαμος μέν οἱ ξένος εἴη, οὐ μεντοι ἐπὶ κακῷ γε τῆς πόλεως γένοιτο· τοὺς δ' ἀγροὺς τοὺς ἑαυτοῦ καὶ οἰκίας ἢν ἄρα μὴ δῃώσωσιν οἱ πολέμιοι, ὥσπερ καὶ

τὰ τῶν ἄλλων, ἀφίησιν αὐτὰ δημόσια εἶναι, καὶ μηδεμίαν οἱ ὑποψίαν κατὰ ταῦτα γίγνεσθαι. Παρῄνει δὲ καὶ περὶ τῶν παρόντων, ἅπερ καὶ πρότερον, παρασκευάζεσθαί τε ἐς τὸν πόλεμον καὶ τὰ ἐκ τῶν ἀγρῶν ἐσκομίζεσθαι· ἔς τε τὴν μάχην μὴ ἐπεξιέναι, ἀλλὰ τὴν πόλιν ἐσελθόντας φυλάσσειν· καὶ τὸ ναυτικὸν, ᾗπερ ἰσχύουσιν, ἐξαρτύεσθαι· τά τε τῶν ξυμμάχων διὰ χειρὸς ἔχειν· λέγων, τὴν ἰσχὺν αὐτοῖς ἀπὸ τούτων εἶναι τῶν χρημάτων τῆς προσόδου, τὰ δὲ πολλὰ τοῦ πολέμου, γνώμῃ καὶ χρημάτων περιουσίᾳ κρατεῖσθαι. Θαρσεῖν τε ἐκέλευε, προσιόντων μὲν ἑξακοσίων ταλάντων ὡς ἐπιτοπολὺ φόρου κατ' ἐνιαυτὸν ἀπὸ τῶν ξυμμάχων τῇ πόλει, ἄνευ τῆς ἄλλης προσόδου, ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων. Τὰ γὰρ πλεῖστα, τριακοσίων ἀποδέοντα μύρια ἐγένετο, ἀφ' ὧν ἔς τε τὰ προπύλαια τῆς ἀκροπόλεως, καὶ τἄλλα οἰκοδομήματα, καὶ ἐς Ποτίδαιαν, ἀπανηλώθη. Χωρὶς δὲ, χρυσίου ἀσήμου καὶ ἀργυρίου, ἔν τε ἀναθήμασιν ἰδίοις καὶ δημοσίοις, καὶ ὅσα ἱερὰ σκεύη περί τε τὰς πομπὰς καὶ τοὺς ἀγῶνας, καὶ σκῦλα Μηδικὰ, καὶ εἴτι τοιουτότροπον, οὐκ ἐλάσσονος ἦν, ἢ πεντακοσίων ταλάντων. Ἔτι δὲ καὶ τὰ ἐκ τῶν ἄλλων ἱερῶν προσετίθει χρήματα οὐκ ὀλίγα, οἷς χρήσεσθαι αὐτούς· καὶ ἢν πάνυ ἐξείργωνται πάντων, καὶ αὐτῆς τῆς θεοῦ τοῖς περικειμένοις χρυσίοις· ἀπέφαινε δ' ἔχον τὸ ἄγαλμα τεσσαράκοντα τάλαντα σταθμὸν χρυσίου ἀπέφθου. καὶ περιαιρετὸν εἶναι ἅπαν· χρησαμένους τε ἐπὶ σωτηρίᾳ, ἔφη, χρῆναι μὴ ἐλάσσω ἀντικαταστῆσαι πάλιν. Χρήμασι μὲν οὖν οὕτως ἐθάρσυνεν αὐτούς. Ὁπλίτας δὲ τρισχιλίους καὶ μυρίους εἶναι, ἄνευ τῶν ἐν τοῖς φρουρίοις, καὶ τῶν παρ' ἔπαλξιν ἑξακισχιλίων καὶ μυρίων. Τοσοῦτοι γὰρ ἐφύλασσον τοπρῶτον, ὁπότε οἱ πολέμιοι ἐσβάλοιεν, ἀπό τε τῶν πρεσβυτάτων καὶ τῶν νεωτάτων, καὶ μετοίκων, ὅσοι ὁπλῖται ἦσαν. Τοῦ τε γὰρ Φαληρικοῦ τείχους (24) στάδιοι ἦσαν πέντε καὶ τριάκοντα πρὸς τὸν κύκλον τοῦ ἄστεως, καὶ αὐτοῦ τοῦ κύκλου τὸ φυλασσόμενον τρεῖς καὶ τεσσαράκοντα· ἔστι δὲ αὐτοῦ ὃ καὶ ἀφύλακτον

ἦν, τὸ μεταξὺ τοῦ τε μακροῦ καὶ τοῦ Φαληρικοῦ· τὰ δὲ μακρὰ τείχη πρὸς τὸν Πειραιᾶ (25), τεσσαράκοντα σταδίων, ὧν τὸ ἔξωθεν ἐτηρεῖτο· καὶ τοῦ Πειραιέως ξὺν Μουνυχίᾳ (26), ἑξήκοντα μὲν σταδίων ὁ ἅπας περίβολος, τὸ δ' ἐν φυλακῇ ὂν ἦν ἥμισυ τούτου· ἱππέας δ' ἀπέφαινε διακοσίους καὶ χιλίους, ξὺν ἱπποτοξόταις, ἑξακοσίους δὲ καὶ χιλίους τοξότας· καὶ τριήρεις τὰς πλωΐμους τριακοσίας. Ταῦτα γὰρ ὑπῆρχεν Ἀθηναίοις, καὶ οὐκ ἐλάσσω ἕκαστα τούτων, ὅτε ἡ ἐσβολὴ τοπρῶτον ἔμελλε Πελοποννησίων ἔσεσθαι, καὶ ἐς τὸν πόλεμον καθίσταντο. Ἔλεγε δὲ καὶ ἄλλα, οἷά περ εἰώθει Περικλῆς, ἐς ἀπόδειξιν τοῦ περιέσεσθαι τῷ πολέμῳ.

Οἱ δὲ Ἀθηναῖοι ἀκούσαντες ἀνεπείθοντό τε, καὶ ἐσεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας καὶ γυναῖκας, καὶ τὴν ἄλλην παρασκευὴν, ᾗ κατ' οἶκον ἐχρῶντο, καὶ αὐτῶν τῶν οἰκιῶν καθαιροῦντες τὴν ξύλωσιν. Πρόβατα δὲ καὶ ὑποζύγια ἐς τὴν Εὔβοιαν (27) διεπέμψαντο, καὶ ἐς τὰς νήσους τὰς ἐπικειμένας. Χαλεπῶς δὲ αὐτοῖς, διὰ τὸ ἀεὶ εἰωθέναι τοὺς πολλοὺς ἐν τοῖς ἀγροῖς διαιτᾶσθαι, ἡ ἀνάστασις ἐγίγνετο.

Id. liv. II. c. 13 et 14

Apologie de l'administration de Périclès par lui-même.

Μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τῶν Πελοποννησίων, οἱ Ἀθηναῖοι, ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τοδεύτερον, καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας· καὶ τὸν μὲν Περικλέα ἐν αἰτίᾳ εἶχον, ὡς πείσαντα σφᾶς πολεμεῖν, καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες· πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν, καὶ πρέσβεις τινὰς πέμψαντες ὡς αὐτοὺς, ἄπρακτοι ἐγένοντο· πανταχόθεν τε τῇ γνώμῃ ἄποροι καθεστῶτες, ἐνέκειντο τῷ Περικλεῖ. Ὁ δὲ, ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας καὶ πάντα ποιοῦντας, ἅπερ αὐτὸς ἤλπιζε, ξύλλογον ποιήσας (ἔτι δ' ἐστρατήγει) ἐβούλετο θρασῦναί τε, καὶ

ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης, πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον καταστῆσαι· καὶ παρελθὼν ἔλεξε τοιάδε·

« Καὶ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἔς με γεγένηται· αἰσθάνομαι γὰρ τὰς αἰτίας, καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω, καὶ μέμψωμαι εἴτι μὴ ὀρθῶς ἢ ἐμοὶ, χαλεπαίνετε, ἢ ταῖς ξυμφοραῖς εἴκετε. Ἐγὼ γὰρ ἡγοῦμαι πόλιν πλέω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας, ἢ καθ' ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην· καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν, διαφθειρομένης τῆς πατρίδος, οὐδὲν ἧσσον ξυναπόλλυται· κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ, πολλῷ μᾶλλον διασώζεται. Ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμφορὰς οἵα τε φέρειν, εἷς δὲ ἕκαστος τὰς ἐκείνης ἀδύνατος, πῶς οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ; καὶ μὴ, ὃ νῦν ὑμεῖς δρᾶτε, ταῖς κατ' οἶκον κακοπραγίαις ἐκπεπληγμένοι, τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε, καὶ ἐμὲ, τὸν παραινέσαντα πολεμεῖν, καὶ ὑμᾶς αὐτοὺς, οἳ ξυνέγνωτε, δι' αἰτίας ἔχετε. Καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς ἥσσων οἴομαι εἶναι γνῶναί τε τὰ δέοντα, καὶ ἑρμηνεῦσαι ταῦτα· φιλόπολίς τε, καὶ χρημάτων κρείσσων. Ὅ τε γὰρ γνοὺς, καὶ μὴ σαφῶς διδάξας, ἐν ἴσῳ, εἰ καὶ μὴ ἐνεθυμήθη· ὅ τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τι οἰκείως φράζοι· προσόντος δὲ καὶ τοῦδε, χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο. Ὥστ', εἴ μοι καὶ μέσως ἡγούμενοι μᾶλλον ἑτέρων προσεῖναι αὐτὰ, πολεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν γε τοῦ ἀδικεῖν αἰτίαν φεροίμην.

» Καὶ γὰρ, οἷς μὲν αἵρεσις γεγένηται τἄλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν, ἢ εἴξαντας, εὐθὺς τοῖς πέλας ὑπακοῦσαι, ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον, τοῦ ὑποστάντος μεμπτότερος. Καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι, καὶ οὐκ ἐξίσταμαι· ὑμεῖς δὲ μεταβάλλετε, ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὲν ἀκεραίοις, μεταμέλειν δὲ κακουμένοις, καὶ τον ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν

φαίνεσθαι· διότι τὸ μὲν λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ, τῆς δὲ ὠφελείας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι· καὶ μεταβολῆς μεγάλης, καὶ ταύτης ἐξ ὀλίγου ἐμπεσούσης, ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν, ἃ ἔγνωτε. Δουλοῖ γὰρ φρόνημα, τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον, καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον· ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον γεγένηται. Ὅμως δὲ, πόλιν μεγάλην οἰκοῦντας, καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους, χρεὼν καὶ ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι, καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν (ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι ὅστις μαλακίᾳ ἐλλείπει, καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον), ἀπαλγήσαντας δὲ τὰ ἴδια, τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι.

» Τὸν δὲ πόνον τὸν κατὰ τὸν πόλεμον, μὴ γένηταί τε πολὺς, καὶ οὐδὲν μᾶλλον περιγενώμεθα, ἀρκείτω μὲν ὑμῖν καὶ ἐκεῖνα, ἐν οἷς ἄλλοτε πολλάκις γε δὴ ἀπέδειξα, οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον. Δηλώσω δὲ καὶ τόδε, ὅ μοι δοκεῖτε οὔτ' αὐτοὶ πώποτε ἐνθυμηθῆναι, ὑπάρχον ὑμῖν, μεγέθους πέρι ἐς τὴν ἀρχὴν, οὔτ' ἐγὼ ἐν τοῖς πρὶν λόγοις. Οὐδ' ἂν νῦν ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσποίησιν, εἰ μὴ καταπεπληγμένους ὑμᾶς παρὰ τὸ εἰκὸς ἑώρων. Οἴεσθε μὲν γὰρ τῶν ξυμμάχων μόνον ἄρχειν· ἐγὼ δὲ ἀποφαίνω, δύο μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους ὄντας, ἐφ' ὅσον τε νῦν νέμεσθε, καὶ ἢν ἐπὶ πλέον βουληθῆτε· καὶ οὐκ ἔστιν ὅστις τῇ ὑπαρχούσῃ παρασκευῇ τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς οὔτε βασιλεὺς κωλύσει, οὔτε ἄλλο οὐδὲν ἔθνος τῶν ἐν τῷ παρόντι. Ὥστε οὐ κατὰ τὴν τῶν οἰκιῶν καὶ τῆς γῆς χρείαν (ὧν μεγάλων νομίζετε ἐστερῆσθαι) αὕτη ἡ δύναμις φαίνεται· οὐδ' εἰκὸς, χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐ κήπιον, καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας, ὀλιγωρῆσαι, καὶ γνῶναι ἐλευθερίαν μὲν, ἢν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν, ῥᾳδίως ταῦτα ἀναληψομένην, ἄλλων δ' ὑπακούσασι, καὶ τὰ προσκεκτημένα φιλεῖν ἐλ-

λασσοῦσθαι· τῶν τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων, καὶ οὐ παρ' ἄλλων δεξάμενοι κατέσχον τε καὶ προσέτι διασώσαντες παρέδοσαν ἡμῖν αὐτά. Αἴσχιον δὲ ἔχοντας ἀφαιρεθῆναι, ἢ κτωμένους ἀτυχῆσαι· ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε, μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. Αὔχημα μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίγνεται· καταφρόνησις δὲ, ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει. Καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς. γνώμῃ δ' ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια.

» Τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν (ᾧπερ ἅπαντες ἀγάλλεσθε) βοηθεῖν καὶ μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι, περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας, ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως, καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε· ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἐστιν· εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται· ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν· ἣν λαβεῖν μὲν, ἄδικον δοκεῖ εἶναι, ἀφεῖναι δὲ ἐπικίνδυνον. Τάχιστ' ἄν τε πόλιν οἱ τοιοῦτοι ἑτέρους τε πείσαντες ἀπολέσειαν, καὶ εἴπου ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν. Τὸ γὰρ ἄπραγμον οὐ σώζεται, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον, οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει, ἀλλ' ἐν ὑπηκόῳ, ἀσφαλῶς δουλεύειν.

» Ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε, μήτ' ἐμὲ δι' ὀργῆς ἔχετε (ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν), εἰ καὶ ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν, ἅπερ εἰκὸς ἦν, μὴ ἐθελησάντων ὑμῶν ὑπακούειν. Ἐπεὶ γεγένηταί τε, πέρα ὧν προσεδεχόμεθα, ἡ νόσος ἥδε (πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγενημένον), καὶ δι' αὐτήν· οἶδ' ὅτι μέρος τι μᾶλλον ἔτι μισοῦμαι· οὐ δικαίως, εἰ μὴ καὶ, ὅταν παρὰ λόγον τι εὖ πράξητε, ἐμοὶ ἀναθήσετε. Φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως, τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως· ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει

πρότερόν τε ἦν, νῦν τε μὴ ἂν ὑμῖν κωλυθῇ· γνῶτε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀνθρώποις, διὰ τὸ ταῖς ξυμφοραῖς μὴ εἴκειν, πλεῖστα δὲ σώματα καὶ πόνους ἀναλωκέναι πολέμῳ, καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε κεκτημένην, ἧς ἐς ἀΐδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε (πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι) μνήμη καταλελείψεται. Ἑλλήνων τε ὅτι Ἕλληνες πλείστων δὴ ἤρξαμεν, καὶ πολέμοις μεγίστοις ἀντέσχομεν, πρός τε ξύμπαντας, καὶ καθ' ἑκάστους· πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην καὶ μεγίστην ᾠκήσαμεν. Καίτοι ταῦτα ὁ μὲν ἀπράγμων μέμψαιτ' ἄν, ὁ δὲ δρᾷν τι βουλόμενος, καὶ αὐτὸς ζηλώσει· εἰ δέ τις μὴ κέκτηται, φθονήσει. Τὸ δὲ μισεῖσθαι καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι, πᾶσι μὲν ὑπῆρξε δὴ, ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται. Μῖσος μὲν γὰρ οὐκ ἐπιπολὺ ἀντέχει· ἡ δὲ παραυτίκα τε λαμπρότης, καὶ ἐς τὸ ἔπειτα δόξα ἀείμνηστος καταλείπεται. Ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προγνόντες, ἔς τε τὸ αὐτίκα μὴ αἰσχρὸν, τῷ ἤδη προθύμῳ ἀμφότερα κτήσασθε, καὶ Λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε, μήτε ἔνδηλοί ἐστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι. Ὡς οἵτινες πρὸς τὰς ξυμφορὰ γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσι. »

Τοιαῦτα ὁ Περικλῆς λέγων, ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τ ἐπ' αὐτὸν ὀργῆς παραλύειν, καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην· οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον, ἔς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο· ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο ὁ μὲν πένης, ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος, ἐστέρητο καὶ τούτων· οἱ δὲ δυνατοὶ, καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες· τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. Οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν, πρὶν ἐζημίωσαν χρήμασιν· ὕστερον δ' αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο,

καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν· ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει, ἀμβλύτεροι ἤδη ὄντες· ὧν δὲ ἡ ξύμπασα πόλις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. Ὅσον τε γὰρ χρόνον προὔστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο, καὶ ἀσφαλῶς διεφύλαξεν αὐτήν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπειδή τε ὁ πόλεμος κατέστη, ὅδε φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν. Ἐπεβίω δὲ δύο ἔτη, καὶ ἕξ μῆνας· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπιπλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἡ ἐς τὸν πόλεμον. Ὁ μὲν γάρ, ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας, καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ, μήτε τῇ πόλει κινδυνεύοντας, ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν, καὶ ἄλλα ἔξω τοῦ πολέμου, δοκοῦντα εἶναι κατὰ τὰς ἰδίας φιλοτιμίας, καὶ ἴδια κέρδη, κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν· ἃ κατορθούμενα μέν, τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν σφαλέντα δέ, τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. Αἴτιον δὲ ἦν, ὅτι ἐκεῖνος μέν, δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ, ἢ αὐτὸς ἦγε, διὰ τὸ μή, κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν, πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. Ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι· καὶ δεδιότας αὖ ἀλόγως, ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. Ἐγίνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δέ, ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. Οἱ δὲ ὕστερον, ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους ὄντες, καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι, ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι· ἐξ ὧν ἄλλα τε πολλά, ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ, ἡμαρτήθη, καὶ ὁ ἐς Σικελίαν πλοῦς (28)· ὃς οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῄεσαν, ὅσον οἱ ἐκπέμψαντες, οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαφορὰς περὶ τῆς τοῦ δήμου προστασίας, τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα

ἐποίουν, καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. Σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλέονι μορίῳ, καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες, ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις, καὶ τοῖς ἀπὸ Σικελίας μετ' αὐτῶν, καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλέοσι ἀφεστηκόσι, Κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν. Καὶ οὐ πρότερον ἐνέδοσαν, ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. Τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε, ἀφ' ὧν αὐτὸς προέγνω, καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τὴν πόλιν τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

Id. liv. II. c. 59—65.

Portraits des généraux grecs qui avaient servi dans l'armée de Cyrus, et qui périrent par la trahison de Tissapherne.

SOMMAIRE.

Tissapherne s'était engagé, au nom d'Artaxerce, à conduire les Grecs dans leur patrie et à leur fournir des vivres, à condition que les Grecs, de leur côté, ne feraient aucun acte d'hostilité. La marche se fit d'abord en bonne intelligence; mais cette bonne intelligence fut bientôt troublée par les motifs de défiance que Tissapherne et les siens donnaient sans cesse aux Grecs. Cléarque se rendit dans la tente du Satrape avec quatre généraux, plusieurs capitaines, et deux cents soldats. Tissapherne les fit arrêter; et Cléarque fut conduit avec les autres généraux vers le roi, qui leur fit trancher la tête.

Οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες, ἀνήχθησαν ὡς βασιλέα, καὶ ἀποτμηθέντες τὰς κεφαλὰς ἐτελεύτησαν. Εἷς μὲν αὐτῶν ΚΛΕΑΡΧΟΣ ὁμολογουμένως ἐκ πάντων τῶν ἐμπείρως αὐτοῦ ἐχόντων, δόξας γενέσθαι ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος ἐσχάτως. Καὶ γὰρ δὴ, ἕως μὲν πόλεμος ἦν τοῖς Λακεδαιμονίοις

πρὸς τοὺς Ἀθηναίους, παρέμεινεν· ἐπεὶ δὲ εἰρήνη ἐγένετο, πείσας τὴν αὑτοῦ πόλιν ὡς οἱ Θρᾷκες ἀδικοῦσι τοὺς Ἕλληνας, καὶ διαπραξάμενος ὡς ἐδύνατο παρὰ τῶν Ἐφόρων, ἐξέπλει ὡς πολεμήσων τοῖς ὑπὲρ Χεῤῥονήσου (29) καὶ Περίνθου (30) Θρᾳξίν. Ἐπεὶ δὲ μεταγνόντες πως οἱ Ἔφοροι, ἤδη ἔξω ὄντος αὐτοῦ, ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα οὐκέτι πείθεται, ἀλλ' ᾤχετο πλέων εἰς Ἑλλήσποντον· ἐκ τούτου καὶ ἐθανατώθη ὑπὸ τῶν ἐν τῇ Σπάρτῃ τελῶν, ὡς ἀπειθῶν. Ἤδη δὲ φυγὰς ὢν ἔρχεται πρὸς Κῦρον· καὶ ὁποίοις μὲν λόγοις ἔπεισε Κῦρον, ἄλλαχοῦ γέγραπται· δίδωσι δ' αὐτῷ Κῦρος μυρίους δαρεικούς. Ὁ δὲ λαβὼν, οὐκ ἐπὶ ῥαθυμίαν ἐτράπετο, ἀλλ' ἀπὸ τούτων τῶν χρημάτων συλλέξας στράτευμα, ἐπολέμει τοῖς Θρᾳξί· καὶ μάχῃ τε ἐνίκησε, καὶ ἀπὸ τούτου ἔφερε καὶ ἦγεν αὐτούς· καὶ πολεμῶν διεγένετο, μέχρις οὗ Κῦρος ἐδεήθη τοῦ στρατεύματος· τότε δ' ἀπῆλθεν, ὡς σὺν ἐκείνῳ αὖ πολεμήσων. Ταῦτα οὖν φιλοπολέμου δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις, ἐξὸν μὲν εἰρήνην ἔχειν ἄνευ αἰσχύνης καὶ βλάβης, αἱρεῖται πολεμεῖν· ἐξὸν δὲ ῥαθυμεῖν, βούλεται πονεῖν ὥστε πολεμεῖν· ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως, αἱρεῖται πολεμῶν μείονα ταῦτα ποιεῖν· ἐκεῖνος δὲ, ὥσπερ εἰς παιδικὰ, ἢ εἰς ἄλλην τινὰ ἡδονὴν, ἤθελε δαπανᾶν πόλεμον. Οὕτω μὲν φιλοπόλεμος ἦν. Πολεμικὸς δὲ αὖ ταύτῃ εἶναι ἐδόκει, ὅτι φιλοκίνδυνός τε ἦν, καὶ ἡμέρας καὶ νυκτὸς ἄγων ἐπὶ τοὺς πολεμίους, καὶ ἐν τοῖς δεινοῖς φρόνιμος, ὡς οἱ παρόντες πανταχοῦ πάντες ὡμολόγουν. Καὶ ἀρχικὸς δὲ ἐλέγετο εἶναι, ὡς δυνατὸν, ἐκ τοῦ τοιούτου τρόπου, οἷον καὶ ἐκεῖνος εἶχεν. Ἱκανὸς μὲν γὰρ, ὥς τις καὶ ἄλλος, φροντίζειν ἦν, ὅπως ἕξει ἡ στρατιὰ αὐτοῦ τὰ ἐπιτήδεια, καὶ παρασκευάζειν ταῦτα· ἱκανὸς δὲ καὶ ἐμποιῆσαι τοῖς παροῦσιν, ὡς πειστέον εἴη Κλεάρχῳ· τοῦτο δὲ ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι· καὶ γὰρ ὁρᾷν στυγνὸς ἦν, καὶ τῇ φωνῇ τραχύς· ἐκόλαζέ τε αἰεὶ ἰσχυρῶς, καὶ ὀργῇ ἐνίοτε, ὥστε καὶ αὐτῷ μεταμέλειν ἔσθ' ὅτε. Καὶ γνώμῃ δ' ἐκόλαζεν· ἀκολάστου γὰρ στρατεύματος οὐδὲν ἡγεῖτο ὄφελος εἶναι· ἀλλὰ καὶ λέγειν αὐτὸν

ἔφασαν· « Ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρ-
» χοντα, ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ φυλακὰς φυλάξειν, ἢ
» φίλων ἀφέξεσθαι, ἢ ἀπροφασίστως ἰέναι πρὸς τοὺς πολεμίους. »
Ἐν μὲν οὖν τοῖς δεινοῖς ἤθελον αὐτοῦ ἀκούειν σφόδρα, καὶ οὐχ ἄλλον ᾑροῦντο οἱ στρατιῶται· καὶ γὰρ τὸ στυγνὸν τότε φαιδρὸν αὐτοῦ ἐν τοῖς προσώποις ἔφασαν φαίνεσθαι· καὶ τὸ χαλεπὸν, ἐῤῥωμένον πρὸς τοὺς πολεμίους ἐδόκει εἶναι, ὥστε καὶ σωτήριον καὶ οὐκέτι χαλεπὸν ἐφαίνετο. Ὅτε δ' ἔξω τοῦ δεινοῦ γένοιντο, καὶ ἐξείη πρὸς ἄλλους ἀρχομένους ἀπιέναι, πολλοὶ αὐτὸν ἀπέλειπον· τὸ γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλὰ ἀεὶ χαλεπὸς καὶ ὠμὸς ἦν· ὥστε διέκειντο πρὸς αὐτὸν οἱ στρατιῶται ὥσπερ παῖδες πρὸς διδάσκαλον. Καὶ γὰρ οὖν φιλίᾳ μὲν καὶ εὐνοίᾳ ἑπομένους οὐδέποτ' εἶχεν· οἵτινες δὲ ἢ ὑπὸ πόλεως τεταγμένοι, ἢ ὑπὸ τοῦ δεῖσθαι, ἢ ἄλλῃ τινὶ ἀνάγκῃ κατεχόμενοι παρείησαν αὐτῷ, σφόδρα πειθομένοις ἐχρῆτο. Ἐπειδὴ δὲ καὶ ἤρξαντο νικᾷν σὺν αὐτῷ τοὺς πολεμίους, μεγάλα ἤδη ἦν τὰ χρησίμους ποιοῦντα εἶναι τοὺς σὺν αὐτῷ στρατιώτας· τό τε γὰρ πρὸς τοὺς πολεμίους θαῤῥαλέως ἔχειν παρῆν, καὶ τὸ τὴν παρ' ἐκείνου τιμωρίαν φοβεῖσθαι, αὐτοὺς εὐτάκτους ἐποίει. Τοιοῦτος μὲν δὴ ἄρχων ἦν· ἄρχεσθαι δ' ὑπὸ ἄλλων οὐ μάλα ἐθέλειν ἐλέγετο. Ἦν δὲ, ὅτε ἐτελεύτα, ἀμφὶ τὰ πεντήκοντα ἔτη.

ΠΡΟΞΕΝΟΣ δὲ ὁ Βοιώτιος εὐθὺς μὲν μειράκιον ὢν ἐπεθύμει γενέσθαι ἀνὴρ τὰ μεγάλα πράττειν ἱκανὸς, καὶ διὰ ταύτην τὴν ἐπιθυμίαν ἔδωκε Γοργίᾳ ἀργύριον τῷ Λεοντίνῳ. Ἐπεὶ δὲ συνεγίνετο ἐκείνῳ, ἱκανὸς ἤδη νομίσας εἶναι καὶ ἄρχειν, καὶ φίλος ὢν τοῖς πρώτοις, μὴ ἡττᾶσθαι εὐεργετῶν, ἦλθεν εἰς ταύτας τὰς σὺν Κύρῳ πράξεις, καὶ ᾤετο κτήσεσθαι ἐκ τούτων ὄνομα μέγα, καὶ δύναμιν μεγάλην, καὶ χρήματα πολλά. Τούτων δ' ἐπιθυμῶν, σφόδρα ἔνδηλον αὖ καὶ τοῦτο εἶχεν, ὅτι τούτων οὐδὲν ἂν θέλοι κτᾶσθαι μετὰ ἀδικίας, ἀλλὰ σὺν τῷ δικαίῳ καὶ καλῷ ᾤετο δεῖν τούτων τυγχάνειν, ἄνευ δὲ τούτων, μή. Ἄρχειν δὲ καλῶν μὲν καὶ ἀγαθῶν ἱκανὸς ἦν· οὐ μέντοι οὐδ' αἰδῶ τοῖς στρατιώταις

ἑαυτοῦ οὐδὲ φόβον ἱκανὸς ἐμποιῆσαι, ἀλλὰ καὶ ᾐσχύνετο μᾶλλον τοὺς στρατιώτας, ἢ οἱ ἀρχόμενοι ἐκεῖνον, καὶ φοβούμενος μᾶλλον ἦν φανερὸς τὸ ἀπεχθάνεσθαι τοῖς στρατιώταις, ἢ οἱ στρατιῶται, τὸ ἀπιστεῖν ἐκείνῳ. Ὤετο δὲ ἀρκεῖν πρὸς τὸ ἀρχικὸν εἶναι καὶ δοκεῖν, τὸν μὲν καλῶς ποιοῦντα ἐπαινεῖν, τὸν δὲ ἀδικοῦντα μὴ ἐπαινεῖν· τοιγαροῦν αὐτῷ οἱ καλοὶ κἀγαθοὶ τῶν συνόντων εὔνοι ἦσαν, οἱ δ' ἄδικοι ἐπεβούλευον, ὡς εὐμεταχειρίστῳ ὄντι. Ὅτε δὲ ἀπέθνησκεν, ἦν ἐτῶν ὡς τριάκοντα.

ΜΕΝΩΝ δὲ ὁ Θετταλὸς δῆλος ἦν ἐπιθυμῶν μὲν πλούτου ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι· ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι. Φίλος τ' ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις, ἵνα ἀδικῶν μὴ διδοίη δίκην. Ἐπὶ δὲ τὸ κατεργάζεσθαι, ὧν ἐπιθυμοίη, συντομωτάτην ὁδὸν ᾤετο εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι, καὶ ἐξαπατᾷν· τὸ δὲ ἁπλοῦν τε καὶ ἀληθὲς, τὸ αὐτὸ τῷ ἠλιθίῳ εἶναι. Στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα, ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνδηλος ἦν ἐπιβουλεύων. Καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα, τῶν δὲ συνόντων πάντων ὡς καταγελῶν αἰεὶ διελέγετο. Καὶ τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε (χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν)· τὰ δὲ τῶν φίλων μόνος ᾤετο εἰδέναι ὅτι ῥᾷστον ἀφύλακτα λαμβάνειν. Καὶ ὅσους μὲν ᾐσθάνετο ἐπιόρκους καὶ ἀδίκους, ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο· τοῖς δὲ ὁσίοις καὶ ἀλήθειαν ἀσκοῦσιν, ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι. Ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ, καὶ ἀληθείᾳ, καὶ δικαιότητι, οὕτω καὶ Μένων ἠγάλλετο τῷ ἐξαπατᾷν δύνασθαι, τῷ πλάσασθαι ψευδῆ, τῷ φίλους διαγελᾷν, τὸν δὲ μὴ πανοῦργον, ἀπαίδευτον ἐνόμιζεν εἶναι. Καὶ παρ' οἷς μὲν ἐπεχείρει πρωτεύεινφιλίᾳ, διαβάλλων τοὺς πρώτους, τούτους ᾤετο δεῖν κτήσασθαι. Τὸ δὲ πειθομένους τοὺς στρατιώτας παρέχεσθαι, ἐκ τοῦ συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. Τιμᾶσθαι δὲ καὶ θεραπεύεσθαι ἠξίου, ἐπιδεικνύμενος ὅτι πλεῖστα δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν. Εὐεργεσίαν δὲ κατέλεγεν, ὁπότε τις αὐτοῦ ἀφίσταιτο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐτόν.

Καὶ τὰ μὲν δὴ ἀφανῆ ἔξεστι περὶ αὐτοῦ ψεύδεσθαι· ἃ δὲ πάντες ἴσασι, τάδ' ἐστί. Ἀποθνησκόντων δὲ τῶν στρατηγῶν, ὅτι ἐστράτευσαν ἐπὶ βασιλέα σὺν Κύρῳ, τὰ αὐτὰ πεποιηκὼς, οὐκ ἀπέθανε· μετὰ δὲ τὸν τῶν ἄλλων στρατηγῶν θάνατον, τιμωρηθεὶς ὑπὸ βασιλέως ἀπέθανεν, οὐχ ὥσπερ Κλέαρχος καὶ οἱ ἄλλοι στρατηγοὶ ἀποτμηθέντες τὰς κεφαλὰς, ὅσπερ κάλλιστος θανάτων ἐδόκει εἶναι· ἀλλὰ ζῶν αἰκισθεὶς ἐνιαυτὸν, ὡς πονηρὸς, λέγεται τελευτῆς τυχεῖν.

ΑΓΙΑΣ δὲ ὁ Ἀρκὰς, καὶ ΣΩΚΡΑΤΗΣ ὁ Ἀχαιὸς καὶ τούτω ἀπεθανέτην. Τούτων δὲ οὐδεὶς οὔθ' ὡς ἐν πολέμῳ κακῶν κατεγέλα, οὔτ' ἐς φιλίαν αὐτοὺς ἐμέμφετο. Ἤστην τε ἄμφω ἀμφὶ τετταράκοντα ἔτη ἀπὸ γενεᾶς.

XÉNOPHON, *Retraite des dix mille*, liv. II. c. 6.

Xénophon harangue les soldats.

SOMMAIRE.

Le massacre de Cléarque et des autres généraux avait répandu la consternation dans le camp des Grecs. Ils se trouvaient à cinq ou six cents lieues de leur patrie, environnés de grands fleuves, au milieu de nations ennemies, et dépourvus de toute ressource Cependant, ranimés par leurs officiers, ils nomment cinq généraux, et forment la résolution de retourner dans la Grèce, déterminés à triompher de tous les obstacles. Avant de se mettre en marche, Xénophon parle à ses soldats, pour enflammer leur ardeur.

Ἐπεὶ δὲ ᾕρηντο, ἡμέρα τε σχεδὸν ὑπέφαινε, καὶ εἰς τὸ μέσον ἧκον οἱ ἄρχοντες, ἔδοξεν αὐτοῖς, προφύλακας καταστήσαντας, συγκαλεῖν τοὺς στρατιώτας. Ἐπεὶ δὲ καὶ οἱ ἄλλοι στρατιῶται συνῆλθον, ἀνέστη πρῶτον μὲν Χειρίσοφος ὁ Λακεδαιμόνιος, καὶ ἔλεξεν ὧδε·

« Ὦ ἄνδρες στρατιῶται, χαλεπὰ μὲν τὰ παρόντα, ὁπότε ἀν-

δρῶν στρατηγῶν τοιούτων στερόμεθα. καὶ λοχαγῶν καὶ στρατιωτῶν· πρὸς δ' ἔτι, καὶ οἱ ἀμφὶ Ἀριαῖον, οἱ πρόσθεν σύμμαχοι ὄντες, προδεδώκασιν ἡμᾶς· Ὅμως δὲ δεῖ ἐκ τῶν παρόντων ἄνδρας ἀγαθούς τε ἐλθεῖν, καὶ μὴ ὑφίεσθαι, ἀλλὰ πειρᾶσθαι, ὅπως, ἢν μὲν δυνώμεθα, καλῶς νικῶντες σωζώμεθα· εἰ δὲ μὴ, ἀλλὰ καλῶς γε ἀποθνήσκωμεν, ὑποχείριοι δὲ μήποτε γενώμεθα ζῶντες τοῖς πολεμίοις. Οἶμαι γὰρ ἂν ἡμᾶς τοιαῦτα παθεῖν, οἷα τοὺς ἐχθροὺς οἱ Θεοὶ ποιήσειαν. »

Ἐπὶ τούτῳ Κλεάνωρ Ὀρχομένιος ἀνέστη, καὶ ἔλεξεν ὧδε·

« Ἀλλ' ὁρᾶτε μὲν, ὦ ἄνδρες, τὴν βασιλέως ἐπιορκίαν καὶ ἀσέβειαν· ὁρᾶτε δὲ τὴν Τισσαφέρνους ἀπιστίαν, ὅστις λέγων, ὡς γείτων τε εἴη τῆς Ἑλλάδος, καὶ περὶ πλείστου ἂν ποιήσαιτο σῶσαι ἡμᾶς, καὶ ἐπὶ τούτοις αὐτὸς ὀμόσας ἡμῖν, αὐτὸς δεξιὰς δοὺς, αὐτὸς ἐξαπατήσας, συνέλαβε τοὺς στρατηγούς· καὶ οὐδὲ Δία ξένιον ᾐδέσθη, ἀλλὰ Κλεάρχῳ καὶ ὁμοτράπεζος γενόμενος, αὐτοῖς τούτοις ἐξαπατήσας τοὺς ἄνδρας ἀπολώλεκεν. Ἀριαῖος δὲ, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι, καὶ ἐδώκαμεν καὶ ἐλάβομεν πιστὰ, μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος οὔτε τοὺς Θεοὺς δείσας, οὔτε Κῦρον τὸν τεθνηκότα αἰδεσθεὶς, τιμώμενος μάλιστα ὑπὸ Κύρου ζῶντος, νῦν πρὸς τοὺς ἐκείνου ἐχθίστους ἀποστὰς, ἡμᾶς τοὺς Κύρου φίλους κακῶς ποιεῖν πειρᾶται. Ἀλλὰ τούτους μὲν οἱ Θεοὶ ἀποτίσαιντο· ἡμᾶς δὲ δεῖ ταῦτα ὁρῶντας, μήποτε ἐξαπατηθῆναι ἔτι ὑπὸ τούτων, ἀλλὰ μαχομένους ὡς ἂν δυνώμεθα κράτιστα, τοῦτο ὅ τι ἂν δοκῇ τοῖς Θεοῖς, πάσχειν. »

Ἐκ τούτου Ξενοφῶν ἀνίσταται, ἐσταλμένος εἰς πόλεμον ὡς ἠδύνατο κάλλιστα, νομίζων, εἴτε νίκην διδοῖεν οἱ Θεοὶ, τὸν κάλλιστον κόσμον τῷ νικᾷν πρέπειν· εἴτε τελευτᾷν δέοι, ὀρθῶς ἔχειν, τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα, ἐν τούτοις τῆς τελευτῆς τυγχάνειν. Τοῦ δὲ λόγου ἤρχετο ὧδε· « Τὴν μὲν τῶν βαρβάρων ἐπιορκίαν τε καὶ ἀπιστίαν, λέγει Κλεάνωρ, ἐπίστασθε δὲ, οἶμαι, καὶ ὑμεῖς. Εἰ μὲν οὖν βουλευόμεθα πάλιν αὐτοῖς διὰ φιλίας ἰέναι, ἀνάγκη ἡμᾶς πολλὴν ἀθυμίαν ἔχειν, ὁρῶντας τοὺς στρατηγους,

οἱ διὰ πίστεως αὐτοῖς ἑαυτοὺς ἐνεχείρισαν, οἷα πεπόνθασιν· εἰ μέντοι διανοούμεθα σὺν τοῖς ὅπλοις ὧν τε πεποιήκασι δίκην ἐπιθεῖναι αὐτοῖς καὶ τολοιπὸν διὰ παντὸς πολέμου αὐτοῖς ἰέναι, σὺν τοῖς θεοῖς, πολλαὶ ἡμῖν καὶ καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας. » Τοῦτο δὲ λέγοντος αὐτοῦ, πτάρνυταί τις (31)· ἀκούσαντες δὲ οἱ στρατιῶται, πάντες μιᾷ ὁρμῇ προσεκύνησαν τὸν θεόν. Καὶ Ξενοφῶν εἶπε· « Δοκεῖ μοι, ὦ ἄνδρες, ἐπεὶ περὶ σωτηρίας ἡμῶν λεγόντων οἰωνὸς τοῦ Διὸς τοῦ σωτῆρος ἐφάνη, εὔξασθαι τῷ θεῷ τούτῳ θύσειν σωτήρια, ὅπου ἂν πρῶτον εἰς φιλίαν χώραν ἀφικώμεθα. Συνεπεύξασθαι δὲ καὶ τοῖς ἄλλοις θεοῖς θύσειν κατὰ δύναμιν· καὶ ὅτῳ δοκεῖ ταῦτ', ἔφη, ἀνατεινάτω τὴν χεῖρα. » Καὶ ἀνέτειναν ἅπαντες· ἐκ τούτου εὔξαντο καὶ ἐπαιάνισαν· ἐπεὶ δὲ τὰ τῶν θεῶν καλῶς εἶχεν, ἤρχετο πάλιν ὧδε·

« Ἐτύγχανον λέγων, ὅτι πολλαὶ καὶ καλαὶ ἐλπίδες ἡμῖν εἶεν σωτηρίας. Πρῶτον μὲν γὰρ ἡμεῖς μὲν ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε, καὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους λελύκασιν· οὕτω δ' ἐχόντων, εἰκὸς τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τοὺς θεούς, ἡμῖν δὲ συμμάχους, οἵπερ ἱκανοί εἰσι καὶ τοὺς μεγάλους ταχὺ μικροὺς ποιεῖν, καὶ τοὺς μικρούς, κἂν ἐν δεινοῖς ὦσι, σώζειν εὐπετῶς, ὅταν βούλωνται. Ἔπειτα δέ· ἀναμνήσω γὰρ ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων κινδύνους, ἵν' ἴδητε ὡς ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι, σώζονταί τε σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί· ἐλθόντων μὲν γὰρ Περσῶν καὶ τῶν σὺν αὐτοῖς παμπληθεῖ στόλῳ, ὡς ἀφανιούντων τὰς Ἀθήνας, ὑποστῆναι αὐτοῖς Ἀθηναῖοι τολμήσαντες, ἐνίκησαν αὐτούς, καὶ εὐξάμενοι τῇ Ἀρτέμιδι, ὁπόσους ἂν κατακτάνοιεν τῶν πολεμίων, τοσαύτας χιμαίρας καταθύσειν τῇ θεῷ, ἐπεὶ οὐκ εἶχον ἱκανὰς εὑρεῖν, ἔδοξεν αὐτοῖς κατ' ἐνιαυτὸν πεντακοσίας θύειν· καὶ ἔτι καὶ νῦν ἀποθύουσιν. Ἔπειτα, ὅτε Ξέρξης ὕστερον ἀγείρας τὴν ἀναρίθμητον στρατιὰν ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, καὶ τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τούτων προγόνους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· ὧν ἐστὶ μὲν τεκμήρια ὁρᾷν τὰ τρόπαια, μέγιστον δὲ

μαρτύριον ἡ ἐλευθερία τῶν πόλεων ἐν αἷς ὑμεῖς ἐγένεσθε καὶ ἐτράφητε· οὐδένα γὰρ ἀνθρώπων δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσκυνεῖτε. Τοιούτων μὲν ἐστὲ προγόνων οὐ μὲν δὴ τοῦτό γε ἐρῶ, ὡς ὑμεῖς καταισχύνετε αὐτούς· ἀλλ' οὔπω πολλαὶ ἡμέραι ἀφ' οὗ ἀντιταξάμενοι τούτοις τοῖς ἐκείνων ἐκγόνοις, πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς. Καὶ τότε μὲν δὴ περὶ τῆς Κύρου βασιλείας ἄνδρες ἦτε ἀγαθοί· νῦν δ', ὁπότε περὶ τῆς ὑμετέρας σωτηρίας ὁ ἀγών ἐστι, πολὺ δήπου ὑμᾶς προσήκει καὶ ἀμείνονας καὶ προθυμοτέρους εἶναι. Ἀλλὰ μὴν καὶ θαρραλεωτέρους νῦν πρέπει εἶναι πρὸς τοὺς πολεμίους· τότε μὲν γὰρ ἄπειροι ὄντες αὐτῶν, τό τε πλῆθος ἄμετρον ὁρῶντες, ὅμως ἐτολμήσατε σὺν τῷ πατρίῳ φρονήματι ἰέναι εἰς αὐτούς· νῦν δ', ὁπότε καὶ πεῖραν ἤδη ἔχετε αὐτῶν, ὅτι θέλουσι καὶ πολλαπλάσιοι ὄντες μὴ δέχεσθαι ὑμᾶς, τί ὑμῖν ἔτι προσήκει τούτους φοβεῖσθαι; Μηδὲ μέντοι τοῦτο μεῖον δόξητε ἔχειν, εἰ οἱ Κυρεῖοι πρόσθεν σὺν ὑμῖν ταττόμενοι, νῦν ἀφεστήκασιν· ἔτι γὰρ οὗτοι κακίονες εἰσὶ τῶν ὑφ' ἡμῶν ἡττημένων· ἔφευγον οὖν πρὸς ἐκείνους, καταλιπόντες ὑμᾶς. Τοὺς δὲ ἐθέλοντας φυγῆς ἄρχειν, πολὺ κρεῖττον, σὺν τοῖς πολεμίοις ταττομένους ἢ ἐν τῇ ὑμετέρᾳ τάξει, ὁρᾶν. Εἰ δέ τις αὖ ὑμῶν ἀθυμεῖ, ὅτι ὑμῖν μὲν οὐκ εἰσὶν ἱππεῖς, τοῖς δὲ πολεμίοις πολλοὶ πάρεισιν, ἐνθυμήθητε, ὅτι οἱ μύριοι ἱππεῖς οὐδὲν ἄλλο, ἢ μύριοι ἄνθρωποι εἰσίν. Ὑπὸ μὲν γὰρ ἵππου ἐν μάχῃ οὐδεὶς πώποτε οὔτε δηχθεὶς οὔτε λακτισθεὶς ἀπέθανεν· οἱ δὲ ἄνδρες εἰσὶν οἱ ποιοῦντες ὅ τι ἂν ἐν ταῖς μάχαις γίγνηται. Οὐκοῦν τῶν γε ἱππέων πολὺ ἡμεῖς ἐπ' ἀσφαλεστέρου ὀχήματος ἐσμέν· οἱ μὲν γὰρ ἐφ' ἵππων κρέμανται, φοβούμενοι οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ τὸ καταπεσεῖν· ἡμεῖς δὲ ἐπὶ τῆς γῆς βεβηκότες, πολὺ μὲν ἰσχυρότερον παίσομεν, ἤν τις προσίῃ, πολὺ δ' ἔτι μᾶλλον ὅτου ἂν ἐθέλωμεν, τευξόμεθα. Ἑνὶ μόνῳ προέχουσιν ἡμᾶς οἱ ἱππεῖς· φεύγειν αὐτοῖς ἀσφαλέστερόν ἐστιν ἢ ἡμῖν. Εἰ δὲ δὴ τὰς μὲν μάχας θαρρεῖτε, ὅτι δ' οὐκέτι ἡμῖν Τισσαφέρνης ἡγήσεται, οὐδὲ βασιλεὺς ἀγορὰν παρέξει, τοῦτο ἄχθεσθε, σκέψασθε πότερον κρεῖττον, Τισσα-

φέρνην ἡγεμόνα ἔχειν, ὃς ἐπιβουλεύων ἡμῖν φανερός ἐστιν, ἢ οὓς ἂν ἡμεῖς ἄνδρας λαβόντες ἡγεῖσθαι κελεύωμεν, οἳ εἴσονται ὅτι, ἤν τι περὶ ἡμᾶς ἁμαρτάνωσι, περὶ τὰς ἑαυτῶν ψυχὰς καὶ τὰ σώματα ἁμαρτάνουσι· τὰ δὲ ἐπιτήδεια πότερον ὠνεῖσθαι κρεῖττον ἐκ τῆς ἀγορᾶς, ἧς οὗτοι παρεῖχον, μικρὰ μέτρα πολλοῦ ἀργυρίου, μηδὲ τοῦτο ἔτι ἔχοντας αὐτοὺς λαμβάνειν· ἢ ἥνπερ κρατῶμεν, μέτρῳ χρωμένους ὁπόσῳ ἂν ἕκαστος βούληται. Εἰ δὲ ταῦτα μὲν γιγνώσκετε, ὅτι οὕτω κρεῖττον, τοὺς δὲ ποταμοὺς ἄπορον νομίζετε εἶναι, καὶ μεγάλως ἡγεῖσθε ἐξαπατηθῆναι διαβάντες, σκέψασθε εἰ ἄρα τοῦτο καὶ μωρότατον πεποιήκασιν οἱ βάρβαροι. Πάντες μὲν γὰρ οἱ ποταμοὶ, ἢν πρόσω τῶν πηγῶν ἄποροι ὦσι, προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται, οὐδὲ τὸ γόνυ βρέχοντες. Εἰ δὲ μήθ' οἱ ποταμοὶ διήσουσιν, ἡγεμών τε μηδεὶς φανεῖται, οὐδ' ὣς ἡμῖν γε ἀθυμητέον. Ἐπιστάμεθα γὰρ Μυσοὺς (32), οὓς οὐκ ἂν ἡμῶν φαίημεν βελτίους εἶναι, οἳ βασιλέως ἄκοντος ἐν τῇ βασιλέως χώρᾳ πολλάς τε καὶ μεγάλας, καὶ εὐδαίμονας πόλεις οἰκοῦσιν· ἐπιστάμεθα δὲ Πεισίδας ὡσαύτως. Λυκάονας δὲ (33) καὶ αὐτοὶ εἴδομεν, ὅτι ἐν τοῖς πεδίοις τὰ ἐρυμνὰ καταλαβόντες, τὴν τούτου χώραν καρποῦνται. Καὶ ἡμᾶς δ' ἂν φαίην ἔγωγε χρῆναι μήπω φανεροὺς εἶναι οἴκαδε ὡρμημένους, ἀλλὰ κατασκευάζεσθαι, ὡς αὐτοῦ που οἰκήσοντας. Οἶδα γὰρ, ὅτι καὶ Μυσοῖς βασιλεὺς πολλοὺς μὲν ἡγεμόνας ἂν δοίη, πολλοὺς δ' ἂν ὁμήρους τοῦ ἀδόλως ἐκπέμψειν· καὶ ὁδοποιήσειέ γ' ἂν αὐτοὺς, καὶ εἰ σὺν τεθρίπποις βούλοιντο ἀπιέναι· καὶ ἡμῖν γ' ἂν οἶδ' ὅτι τρισάσμενος ταῦτα ἐποίει, εἰ ἑώρα ἡμᾶς μένειν παρασκευαζομένους. Ἀλλὰ γὰρ δέδοικα μὴ, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν, καὶ ἐν ἀφθόνοις βιοτεύειν, ὥσπερ οἱ λωτοφάγοι, ἐπιλαθώμεθα τῆς οἴκαδε ὁδοῦ. Δοκεῖ οὖν μοι εἰκὸς καὶ δίκαιον εἶναι, πρῶτον εἰς τὴν Ἑλλάδα καὶ πρὸς τοὺς οἰκείους πειρᾶσθαι ἀφικνεῖσθαι· καὶ ἐπιδεῖξαι τοῖς Ἕλλησιν, ὅτι ἑκόντες πένονται, ἐξὸν αὐτοῖς, τοὺς νῦν οἴκοι ἀκλήρους πολιτεύοντας ἐνθάδε κομισαμένους, πλουσίους ὁρᾷν. Ἀλλὰ γὰρ, ὦ ἄνδρες,

πάντα ταῦτ' ἀγαθὰ δηλονότι τῶν κρατούντων ἐστί· τοῦτο δὴ δεῖ λέγειν, πῶς ἂν πορευοίμεθά τε ὡς ἀσφαλέστατα, καὶ, εἰ μάχεσθαι δέοι, ὡς κράτιστα μαχοίμεθα. Πρῶτα μὲν τοίνυν (ἔφη) δοκεῖ μοι κατακαῦσαι τὰς ἁμάξας, ἃς ἔχομεν, ἵνα μὴ τὰ ζεύγη ἡμῶν στρατηγῇ, ἀλλὰ πορευώμεθα ὅποι ἂν τῇ στρατιᾷ συμφέρῃ· ἔπειτα καὶ τὰς σκηνὰς συγκατακαῦσαι· αὗται γὰρ αὖ ὄχλον μὲν παρέχουσιν ἄγειν, συνωφελοῦσι δὲ οὐδὲν, οὔτε εἰς τὸ μάχεσθαι, οὔτ' εἰς τὸ τὰ ἐπιτήδεια ἔχειν. Ἔτι δὲ τῶν ἄλλων σκευῶν τὰ περιττὰ ἀπαλλάξωμεν, πλὴν ὅσα πολέμου ἕνεκεν, ἢ σίτων, ἢ ποτῶν ἔχομεν, ἵν' ὡς πλεῖστοι μὲν ἡμῶν ἐν τοῖς ὅπλοις ὦσιν, ὡς ἐλάχιστοι δὲ σκευοφορῶσι. Κρατουμένων μὲν γὰρ ἐπίστασθε ὅτι πάντα τὰ ἀλλότρια· ἢν δὲ κρατῶμεν, καὶ τοὺς πολεμίους δεῖ σκευοφόρους ἡμετέρους νομίζειν. Λοιπόν μοι εἰπεῖν, ὅπερ καὶ μέγιστον νομίζω εἶναι· ὁρᾶτε γὰρ καὶ τοὺς πολεμίους, ὅτι οὐ πρόσθεν ἐξενεγκεῖν ἐτόλμησαν πρὸς ἡμᾶς πόλεμον, πρὶν τοὺς στρατηγοὺς ἡμῶν συνέλαβον, νομίζοντες, ὄντων μὲν τῶν ἀρχόντων, καὶ ἡμῶν πειθομένων, ἱκανοὺς εἶναι ἡμᾶς περιγενέσθαι τῷ πολέμῳ· λαβόντες δὲ τοὺς ἄρχοντας, ἀναρχίᾳ καὶ ἀταξίᾳ ἐνόμιζον ἡμᾶς ἀπολέσθαι. Δεῖ οὖν πολὺ μὲν τοὺς ἄρχοντας ἐπιμελεστέρους γενέσθαι τοὺς νῦν τῶν πρόσθεν, πολὺ δὲ τοὺς ἀρχομένους εὐτακτοτέρους, καὶ πειθομένους μᾶλλον τοῖς ἄρχουσι νῦν ἢ καὶ πρόσθεν. Ἢν δέ τις ἀπειθῇ, ἢν ψηφίσησθε τὸν ἀεὶ ὑμῶν ἐντυγχάνοντα σὺν τῷ ἄρχοντι κολάζειν, οὕτως οἱ πολέμιοι πλεῖστον ἐψευσμένοι ἔσονται. Τῇδε γὰρ τῇ ἡμέρᾳ μυρίους ὄψονται ἀνθ' ἑνὸς Κλεάρχους, τοὺς οὐδενὶ ἐπιτρέψοντας κακῷ εἶναι. Ἀλλὰ γὰρ καὶ περαίνειν ἤδη ὥρα· ἴσως γὰρ οἱ πολέμιοι αὐτίκα παρέσονται. Ὅ τι μὲν οὖν τούτων δοκεῖ καλῶς ἔχειν, ἐπικυρώσατε ὡς τάχιστα, ἵν' ἔργῳ περαίνητε· εἰ δέ τίς τι οἶδε τῶν ἄλλων βέλτιον ἢ ταύτῃ, τολμάτω καὶ ὁ ἰδιώτης διδάσκειν· πάντες γὰρ κοινῆς σωτηρίας δεόμεθα. »

Μετὰ δὲ ταῦτα Χειρίσοφος εἶπεν· « Ἀλλ' εἰ μέν τινος ἄλλου δεῖ πρὸς τούτοις, οἷς λέγει Ξενοφῶν, καὶ αὐτίκα ἔξεστι ποιεῖν·

ἃ δὲ νῦν εἴρηκε, δοκεῖ μοι ὡς τάχιστα ψηφίσασθαι ἄριστον εἶναι, καὶ ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. » Ἀνέτειναν ἅπαντες· ἀναστὰς δὲ πάλιν εἶπε Ξενοφῶν.

« Ὦ ἄνδρες, ἀκούσατε ὧν προσδοκᾷν δοκεῖ μοι. Δῆλον ὅτι πορεύεσθαι ὑμᾶς δεῖ, ὅπου ἕξομεν τὰ ἐπιτήδεια. Ἀκούω δὲ κώμας εἶναι καλὰς, οὐ πλεῖον εἴκοσι σταδίων ἀπεχούσας. Οὐκ ἂν οὖν θαυμάζοιμι, εἰ οἱ πολέμιοι, ὥσπερ οἱ δειλοὶ κύνες, τοὺς μὲν παριόντας διώκουσί τε καὶ δάκνουσιν, ἢν δύνωνται, τοὺς δὲ διώκοντας φεύγουσιν· εἰ καὶ αὐτοὶ ἡμῖν ἀπιοῦσιν ἐπακολουθοῖεν. Ἴσως οὖν ἀσφαλέστερον ἡμῖν πορεύεσθαι πλαίσιον ποιησαμένους τῶν ὅπλων, ἵνα τὰ σκευοφόρα καὶ ὁ πολὺς ὄχλος ἐν ἀσφαλεστέρῳ ᾖ. Εἰ οὖν νῦν ἀποδειχθείη, τίνα χρὴ ἡγεῖσθαι τοῦ πλαισίου, καὶ τὰ πρόσθεν κοσμεῖν, καὶ τίνας ἐπὶ τῶν πλευρῶν ἑκατέρων εἶναι, καὶ τίνας ὀπισθοφυλακεῖν· οὐκ ἂν, ὁπότε οἱ πολέμιοι ἔλθοιεν, βουλεύεσθαι ἡμᾶς δέοι, ἀλλὰ χρῴμεθ' ἂν εὐθὺς τοῖς τεταγμένοις. Εἰ μὲν οὖν ἄλλος τις βέλτιον ὁρᾷ, ἄλλως ἐχέτω· εἰ δὲ μὴ, Χειρίσοφος μὲν ἡγοῖτο, ἐπειδὴ καὶ Λακεδαιμόνιος ἐστί· τῶν δὲ πλευρῶν ἑκατέρων δύο τῶν πρεσβυτάτων στρατηγὼ ἐπιμελοίσθην· ὀπισθοφυλακῶμεν δὲ ἡμεῖς οἱ νεώτατοι, ἐγώ τε καὶ Τιμασίων, τὸ νῦν εἶναι· τὸ δὲ λοιπὸν, πειρώμενοι ταύτης τῆς τάξεως, βουλευσόμεθα ὅ τι ἂν ἀεὶ κράτιστον δοκοίη εἶναι. Εἰ δέ τις ἄλλο βέλτιον ὁρᾷ, λεξάτω. »

Ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, εἶπεν « Ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. » Ἔδοξε ταῦτα. « Νῦν (ἔφη) ἀπιόντας ποιεῖν δεῖ τὰ δεδογμένα. Καὶ ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπιθυμεῖ ἰδεῖν, μεμνήσθω ἀνὴρ ἀγαθὸς εἶναι· οὐ γάρ ἐστιν ἄλλως τούτου τυχεῖν. Ὅστις τε ζῆν ἐπιθυμεῖ, πειράσθω νικᾷν· τῶν μὲν γὰρ νικώντων, τὸ κατακαίνειν· τῶν δὲ ἡττωμένων, τὸ ἀποθνήσκειν ἐστί. Καὶ εἴ τις γε χρημάτων ἐπιθυμεῖ, κρατεῖν πειράσθω· τῶν γὰρ νικώντων ἐστὶ καὶ τὰ ἑαυτῶν σώζειν, καὶ τὰ τῶν ἡττωμένων λαμβάνειν. »

Id. liv. III. c. 2.

Les Grecs traversent l'Arménie.

SOMMAIRE.

Les dix mille, dans leur mémorable retraite, eurent non-seulement des ennemis à combattre, des fleuves, des montagnes à traverser : ils eurent encore à lutter contre la pluie, le froid, la neige et la famine. Voici le tableau des obstacles qu'ils rencontrèrent dans la grande Arménie.

Ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς ἐρήμους τρεῖς, παρὰ τὸν Εὐφράτην ποταμόν· καὶ διέβαινον αὐτὸν βρεχόμενοι πρὸς τὸν ὀμφαλόν· ἐλέγοντο δὲ αὐτοῦ αἱ πηγαὶ οὐ πρόσω εἶναι. Ἐντεῦθεν ἐπορεύοντο διὰ χιόνος πολλῆς καὶ πεδίου σταθμοὺς τρεῖς, παρασάγγας πεντεκαίδεκα· ὁ δὲ τρίτος ἐγένετο χαλεπὸς, καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει, παντάπασιν ἀποκαίων καὶ πηγνὺς τοὺς ἀνθρώπους. Ἔνθα δὴ τῶν μάντεών τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ· καὶ σφαγιάζεται, καὶ πᾶσι περιφανῶς ἔδοξε λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος. Ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά· ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν ἀνδραπόδων πολλὰ ἀπώλετο, καὶ τῶν στρατιωτῶν ὡς τριάκοντα. Διεγένοντο δὲ τὴν νύκτα πῦρ καίοντες· ξύλα δ' ἦν ἐν τῷ σταθμῷ πολλά· οἱ δὲ ὀψὲ προϊόντες, ξύλα οὐκ εἶχον· οἱ οὖν πάλαι ἥκοντες, καὶ πῦρ καίοντες, οὐ προσίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας, εἰ μὴ μεταδίδοιεν αὐτοῖς πυροὺς, ἢ ἄλλο τι ὧν ἔχοιεν βρωτῶν· ἔνθα δὴ μετεδίδοσαν ἀλλήλοις ὧν εἶχον ἕκαστοι. Ἔνθα δὲ τὸ πῦρ ἐκαίετο, διατηκομένης τῆς χιόνος, βόθροι ἐγίγνοντο μεγάλοι ἔς τε ἐπὶ τὸ δάπεδον, οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος.

Ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν ὅλην ἐπορεύοντο διὰ χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν. Ξενοφῶν δὲ ὀπισθοφυλακῶν, καὶ καταλαμβάνων τοὺς πίπτοντας τῶν ἀνθρώπων, ἠγνόει ὅ τι τὸ πάθος εἴη. Ἐπειδὴ δὲ εἶπέ τις αὐτῷ τῶν ἐμπείρων, ὅτι σαφῶς βουλιμιῶσι, καὶ ἐάν τι φάγωσιν, ἀναστήσονται,

προϊὼν ἐπὶ τὰ ὑποζύγια, εἴπου ποτὸν ἢ βρωτὸν ὁρῴη, ἐδίδου, καὶ διέπεμπε διδόντας τοὺς δυναμένους παρατρέχειν τοῖς βουλιμιῶσιν· ἐπειδὴ δέ τι ἐμφάγοιεν, ἀνίσταντο καὶ ἐπορεύοντο. Πορευομένων δὲ, Χειρίσοφος μὲν ἀμφὶ κνέφας πρὸς κώμην ἀφικνεῖται, καὶ ὑδροφορούσας ἐκ τῆς κώμης γυναῖκας καὶ κόρας πρὸς τῇ κρήνῃ καταλαμβάνει ἔμπροσθεν τοῦ ἐρύματος· αὗται ἠρώτων αὐτοὺς τίνες εἶεν; ὁ δὲ ἑρμηνεὺς εἶπε Περσιστὶ, ὅτι παρὰ βασιλέως πορεύοιντο πρὸς τὸν σατράπην· αἱ δὲ ἀπεκρίναντο, ὅτι οὐκ ἐνταῦθα εἴη, ἀλλ' ἀπέχει ὅσον παρασάγγην. Οἱ δὲ ἐπεὶ ὀψὲ ἦν, πρὸς τὸν κωμάρχην συνεισέρχονται εἰς τὸ ἔρυμα σὺν ταῖς ὑδροφόροις. Χειρίσοφος μὲν οὖν καὶ ὅσοι ἐδυνήθησαν τοῦ στρατεύματος, ἐνταῦθα ἐστρατοπεδεύσαντο.

Τῶν δὲ ἄλλων στρατιωτῶν οἱ μὴ δυνάμενοι διατελέσαι τὴν ὁδὸν, ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός· καὶ ἐνταῦθα τινὲς ἀπώλοντο τῶν στρατιωτῶν. Ἐφείποντο δὲ τῶν πολεμίων συνειλεγμένοι τινὲς, καὶ τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων ἥρπαζον, καὶ ἀλλήλοις ἐμάχοντο περὶ αὐτῶν. Ἐλείποντο δὲ καὶ τῶν στρατιωτῶν οἵτε διεφθαρμένοι ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς, οἵτε ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες. Ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος εἴτις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν πορεύοιτο· τῶν δὲ ποδῶν, εἴτις κινοῖτο, καὶ μηδέποτε ἡσυχίαν ἔχοι, καὶ εἰ τὴν νύκτα ὑπολύοιτο· ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο εἰς τοὺς πόδας οἱ ἱμάντες, καὶ τὰ ὑποδήματα περιεπήγνυντο. Καὶ γὰρ ἦσαν, ἐπειδὴ ἀπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν.

Διὰ τὰς τοιαύτας οὖν ἀνάγκας ὑπελίποντό τινες τῶν στρατιωτῶν, καὶ ἰδόντες μέλαν τι χωρίον, διὰ τὸ ἐκλελοιπέναι αὐτόθεν τὴν χιόνα, εἴκαζον τετηκέναι τὴν χιόνα· καὶ ἐτετήκει διὰ κρήνην τινὰ, ἣ πλησίον ἦν ἀτμίζουσα ἐν νάπει· ἐνταῦθα ἐκτραπόμενοι ἐκάθηντο, καὶ οὐκ ἔφασαν πορεύεσθαι. Ὁ δὲ Ξενοφῶν, ἔχων ὀπισθοφύλακας, ὡς ᾔσθετο, ἐδεῖτο αὐτῶν πάσῃ τέχνῃ καὶ μη-

χανῇ μὴ ἀπολείπεσθαι, λέγων, ὅτι ἕπονται πολλοὶ πολέμιοι συνειλεγμένοι· καὶ τελευτῶν ἐχαλέπαινεν. Οἱ δὲ σφάττειν ἐκέλευον, οὐδὲ γὰρ ἂν δύνασθαι πορευθῆναι. Ἐνταῦθα ἔδοξε κράτιστον εἶναι τοὺς ἑπομένους πολεμίους φοβῆσαι, εἴτις δύναιτο, μὴ ἐπιπέσοιεν τοῖς κάμνουσι. Καὶ ἦν μὲν σκότος, οἱ δὲ προσῄεσαν πολλῷ θορύβῳ ἀμφὶ ἃ εἶχον διαφερόμενοι. Ἔνθα δὴ οἱ μὲν ὀπισθοφύλακες ἐξαναστάντες, ἅτε ὑγιαίνοντες, ἔδραμον εἰς τοὺς πολεμίους· οἱ δὲ κάμνοντες ἀνακραγόντες ὅσον ἐδύναντο μέγιστον, τὰς ἀσπίδας πρὸς τὰ δόρατα ἔκρουσαν. Οἱ δὲ πολέμιοι δείσαντες, ἧκαν ἑαυτοὺς κατὰ τῆς χιόνος εἰς τὴν νάπην, καὶ οὐδεὶς ἔτι οὐδαμοῦ ἐφθέγξατο.

Καὶ Ξενοφῶν μὲν καὶ οἱ σὺν αὐτῷ, εἰπόντες τοῖς ἀσθενοῦσιν ὅτι τῇ ὑστεραίᾳ ἥξουσί τινες ἐπ' αὐτοὺς, πορευόμενοι, πρὶν τέτταρα στάδια διελθεῖν, ἐντυγχάνουσιν ἐν τῇ ὁδῷ ἀναπαυομένοις ἐπὶ τῆς χιόνος στρατιώταις ἐγκεκαλυμμένοις, καὶ οὐδὲ φυλακὴ οὐδεμία καθειστήκει· καὶ ἀνίστασαν αὐτούς· οἱ δ' ἔλεγον, ὅτι οἱ ἔμπροσθεν οὐχ ὑποχωροῖεν. Ὁ δὲ παριὼν, καὶ παραπέμπων τῶν πελταστῶν τοὺς ἰσχυροτάτους, ἐκέλευε σκέψασθαι τί εἴη τὸ κωλύον· οἱ δὲ ἀπήγγελλον, ὅτι ὅλον οὕτως ἀναπαύοιτο τὸ στράτευμα. Ἐνταῦθα καὶ οἱ περὶ Ξενοφῶντα ηὐλίσθησαν αὐτοῦ ἄνευ πυρὸς, καὶ ἄδειπνοι, φυλακὰς οἵας ἐδύναντο καταστησάμενοι. Ἐπειδὴ δὲ πρὸς ἡμέραν ἦν, ὁ Ξενοφῶν πέμψας πρὸς τοὺς ἀσθενοῦντας τοὺς νεωτάτους ἀναστήσοντας, ἐκέλευσεν ἀναγκάζειν προϊέναι· ἐν δὲ τούτῳ Χειρίσοφος πέμπει τοὺς ἐκ τῆς κώμης, πευσομένους πῶς ἔχοιεν οἱ τελευταῖοι. Οἱ δὲ, ἄσμενοι ἰδόντες, τοὺς μὲν ἀσθενοῦντας τούτοις παρέδοσαν κομίζειν ἐπὶ τὸ στρατόπεδον, αὐτοὶ δὲ ἐπορεύοντο· καὶ πρὶν εἴκοσι στάδια διεληλυθέναι, ἦσαν ἐν τῇ κώμῃ, ᾗ Χειρίσοφος ηὐλίζετο. Ἐπεὶ δὲ συνεγίγνοντο ἀλλήλοις, ἔδοξε κατὰ τὰς κώμας ἀσφαλὲς εἶναι τὰς τάξεις σκηνοῦν· καὶ Χειρίσοφος μὲν αὐτοῦ ὑπέμεινεν, οἱ δὲ ἄλλοι, διαλαχόντες ἃς ἑώρων κώμας, ἐπορεύοντο ἕκαστοι τὰς ἑαυτῶν ἔχοντες.

Ἔνθα δὴ Πολυκράτης Ἀθηναῖος λοχαγὸς ἐκέλευσεν ἀφιέναι αὐτόν· καὶ λαβὼν αὐτὸς τοὺς εὐζώνους, θέων ἐπὶ τὴν κώμην, ἣν εἰλήχει Ξενοφῶν, καταλαμβάνει πάντας ἔνδον τοὺς κωμήτας καὶ τὸν κωμάρχην, καὶ πώλους εἰς δασμὸν βασιλεῖ τρεφομένους ἑπτακαίδεκα, καὶ τὴν θυγατέρα τοῦ κωμάρχου, ἐνάτην ἡμέραν γεγαμημένην· ὁ δὲ ἀνὴρ αὐτῆς λαγὼς ᾤχετο θηράσων, καὶ οὐχ ἥλω ἐν ταῖς κώμαις. Αἱ δὲ οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέατος, κάτω δὲ εὐρεῖαι· αἱ δ' εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταὶ, οἱ δὲ ἄνθρωποι κατὰ κλίμακας κατέβαινον. Ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες, ὄρνιθες, καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο. Ἦσαν δὲ καὶ πυροὶ, καὶ κριθαὶ, καὶ ὄσπρια, καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν· ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς, καὶ κάλαμοι ἐνέκειντο, οἱ μὲν, μείζους, οἱ δὲ, ἐλάττους, γόνατα οὐκ ἔχοντες· τούτους δ' ἔδει, ὁπότε τις διψῴη, λαβόντα εἰς τὸ στόμα ἀμύζειν· καὶ πάνυ ἄκρατος ἦν, εἰ μή τις ὕδωρ ἐπιχέοι· καὶ μάλα ἡδὺ πόμα συμμαθόντι ἦν.

Ὁ δὲ Ξενοφῶν τὸν μὲν ἄρχοντα τῆς κώμης ταύτης σύνδειπνον ἐποιήσατο, καὶ θαῤῥεῖν ἐκέλευεν αὐτὸν, λέγων ὅτι οὔτε τῶν τέκνων στερήσοιτο, τήν τε οἰκίαν αὐτῷ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν, ἢν ἀγαθόν τι τῷ στρατεύματι ἐξηγησόμενος φαίνηται, ἔστ' ἂν ἐν ἄλλῳ ἔθνει γένωνται. Ὁ δὲ ταῦτα ὑπισχνεῖτο, καὶ φιλοφρονούμενος, οἶνον ἔφρασεν ἔνθα ἦν κατορωρυγμένος. Ταύτην μὲν οὖν τὴν νύκτα διασκηνήσαντες οὕτως ἐκοιμήθησαν ἐν πᾶσιν ἀφθόνοις ἀγαθοῖς οἱ στρατιῶται, ἐν φυλακῇ ἔχοντες τὸν κωμάρχην, καὶ τὰ τέκνα αὐτοῦ ὁμοῦ ἐν ὀφθαλμοῖς. Τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Ξενοφῶν λαβὼν τὸν κωμάρχην, πρὸς τὸν Χειρίσοφον ἐπορεύετο. Ὅπου δὲ παρίοι κώμην, ἐτρέπετο πρὸς τοὺς ἐν ταῖς κώμαις, καὶ κατελάμβανε πανταχοῦ εὐωχουμένους καὶ εὐθυμουμένους, καὶ οὐδαμόθεν ἀφίεσαν πρὶν παραθεῖεν αὐτῷ ἄριστον· οὐκ ἦν δ' ὅπου οὐ παρετίθεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέα ἄρνεια, ἐρίφεια, χοίρεια, μόσχεια, ὀρνίθεια, σὺν πολλοῖς ἀρ-

τοις, τοῖς μὲν, πυρίνοις, τοῖς δὲ, κριθίνοις. Ὁπότε δέ τις φιλοφρονούμενος τῷ βούλοιτο προπιεῖν, εἷλκεν ἐπὶ τὸν κρατῆρα· ἔνθα κύψαντα ἔδει ῥοφοῦντα πιεῖν, ὥσπερ βοῦν. Καὶ τῷ κωμάρχῃ ἐδίδοσαν λαμβάνειν ὅ τι βούλοιτο· ὁ δὲ ἄλλο μὲν οὐδὲν ἐδέχετο, ὅπου δέ τινα τῶν συγγενῶν ἴδοι, πρὸς ἑαυτὸν ἀεὶ ἐλάμβανεν. Ἐπεὶ δὲ ἦλθον πρὸς Χειρίσοφον, κατελάμβανον καὶ ἐκείνους σκηνοῦντας, ἐστεφανωμένους τοῦ ξηροῦ χιλοῦ στεφάνους, καὶ διακονοῦντας Ἀρμενίους παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς· τοῖς δὲ παισὶν ἐδείκνυσαν ὥσπερ ἐνεοῖς ὅ τι δέοι ποιεῖν.

Ἐπεὶ δὲ ἀλλήλους ἐφιλοφρονήσαντο Χειρίσοφος καὶ Ξενοφῶν, κοινῇ δὲ ἀνηρώτων τὸν κωμάρχην διὰ τοῦ περσίζοντος ἑρμηνέως, τίς εἴη ἡ χώρα· ὁ δὲ ἔλεγεν, ὅτι Ἀρμενία. Καὶ πάλιν ἠρώτων, τίνι ἵπποι τρέφοιντο· ὁ δὲ ἔλεγεν, ὅτι βασιλεῖ δασμός· τὴν δὲ πλησίον χώραν ἔφη εἶναι Χάλυβας (34), καὶ τὴν ὁδὸν ἔφραζεν ᾗ εἴη. Καὶ αὐτὸν τότε μὲν ᾤχετο ἄγων Ξενοφῶν πρὸς τοὺς ἑαυτοῦ οἰκέτας, καὶ ἵππον ὃν εἰλήφει παλαιότερον δίδωσι τῷ κωμάρχῃ ἀναθρέψαντι καταθῦσαι, ὅτι ἤκουσεν αὐτὸν ἱερὸν εἶναι τοῦ ἡλίου, δεδιὼς, μὴ ἀποθάνῃ· ἐκεκάκωτο γὰρ ὑπὸ τῆς πορείας. Αὐτὸς δὲ τῶν πώλων λαμβάνει, καὶ τῶν ἄλλων στρατηγῶν καὶ λοχαγῶν ἔδωκεν ἑκάστῳ πῶλον· ἦσαν δὲ οἱ ταύτῃ ἵπποι μείονες μὲν τῶν Περσικῶν, θυμοειδέστεροι δὲ πολλῷ. Ἐνταῦθα δὲ καὶ διδάσκει ὁ κωμάρχης περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακκία περιδεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσιν· ἄνευ γὰρ τῶν σακκίων κατεδύοντο μέχρι τῆς γαστρός.

Id. liv. IV, c. 5.

Gouvernement des Romains.

Ἦν μὲν δὴ τρία μέρη τὰ κρατοῦντα τῆς πολιτείας, ἅπερ εἶπα πρότερον, ἅπαντα· οὕτω δὲ πάντα κατὰ μέρος ἴσως καὶ πρεπόντως συνετέτακτο, καὶ διῳκεῖτο διὰ τούτων, ὥστε μηδένα ποτ' ἂν εἰπεῖν δύνασθαι βεβαίως, μηδὲ τῶν ἐγχωρίων, πότερ' ἀριστο-

κρατικὸν τὸ πολίτευμα σύμπαν, ἢ δημοκρατικὸν, ἢ μοναρχικόν. Καὶ τοῦτ' εἰκότως ἦν πάσχειν. Ὅτε μὲν γὰρ εἰς τὴν τῶν Ὑπάτων ἀτενίσαιμεν ἐξουσίαν, τελείως μοναρχικὸν ἐφαίνετ' εἶναι καὶ βασιλικόν· ὅτε δὲ εἰς τὴν τῆς Συγκλήτου, πάλιν ἀριστοκρατικόν· καὶ μὴν εἰ τὴν τῶν Πολλῶν ἐξουσίαν θεωροίη τις, ἐδόκει σαφῶς εἶναι δημοκρατικόν. Ὧν δ' ἕκαστον εἶδος μερῶν τῆς πολιτείας ἐπεκράτει, καὶ τότε, καὶ νῦν ἔτι, πλὴν ὀλίγων τινῶν, ταῦτ' ἐστίν.

Οἱ μὲν γὰρ Ὕπατοι, πρὸ τοῦ μὲν ἐξάγειν τὰ στρατόπεδα παρόντες ἐν Ῥώμῃ, πασῶν εἰσὶ κύριοι τῶν δημοσίων πράξεων· οἵ τε γὰρ ἄρχοντες οἱ λοιποὶ πάντες ὑποτάττονται καὶ πειθαρχοῦσι τούτοις, πλὴν τῶν Δημάρχων· εἴς τε τὴν Σύγκλητον οὗτοι τὰς πρεσβείας ἄγουσι· πρὸς δὲ τοῖς προειρημένοις, οὗτοι τὰ κατεπείγοντα τῶν διαβουλίων ἀναδιδόασιν, οὗτοι τὸν ὅλον χειρισμὸν τῶν δογμάτων ἐπιτελοῦσι. Καὶ μὴν ὅσα δεῖ διὰ τοῦ Δήμου συντελεῖσθαι τῶν πρὸς τὰς κοινὰς πράξεις ἀνηκόντων, τούτοις καθήκει φροντίζειν, καὶ συνάγειν ἀεὶ τὰς ἐκκλησίας, τούτοις εἰσφέρειν τὰ δόγματα, τούτοις βραβεύειν τὰ δοκοῦντα τοῖς πλείοσι. Καὶ μὴν περὶ πολέμου κατασκευῆς, καὶ καθόλου τῆς ἐν ὑπαίθροις οἰκονομίας, σχεδὸν αὐτοκράτορα τὴν ἐξουσίαν ἔχουσι· καὶ γὰρ ἐπιτάττειν τοῖς συμμαχικοῖς τὸ δοκοῦν, καὶ τοὺς χιλιάρχους καθιστάναι, καὶ διαγράφειν τοὺς στρατιώτας, καὶ διαλέγειν τοὺς ἐπιτηδείους, τούτοις ἔξεστι· πρὸς δὲ τοῖς εἰρημένοις, ζημιῶσαι τῶν ὑποταττομένων ἐν τοῖς ὑπαίθροις, ὃν ἂν βουληθῶσι, κύριοι καθεστᾶσιν· ἐξουσίαν δ' ἔχουσι καὶ δαπανᾷν τῶν δημοσίων, ὅσα προθεῖντο, παρεπομένου ταμίου, καὶ πᾶν τὸ προσταχθὲν ἑτοίμως ποιοῦντος. Ὥστ' εἰκότως εἰπεῖν ἄν, ὅτε τις εἰς ταύτην ἀποβλέψειε τὴν μερίδα, διότι μοναρχικὸν ἁπλῶς καὶ βασιλικόν ἐστι τὸ πολίτευμα· εἰ δέ τινα τούτων ἢ τῶν λέγεσθαι μελλόντων λήψεται μετάθεσιν, ἢ κατὰ τὸ παρὸν, ἢ μετά τινα χρόνον, οὐδὲν ἂν εἴη πρὸς τὴν νῦν ὑφ' ἡμῶν λεγομένην ἀπόφασιν.

Καὶ μὴν ἡ Σύγκλητος πρῶτον μὲν ἔχει τὴν τοῦ ταμιείου κυρίαν· καὶ γὰρ τῆς εἰσόδου πάσης αὕτη κρατεῖ, καὶ τῆς ἐξόδου

παραπλησίως· οὔτε γὰρ εἰς τὰς κατὰ μέρος χρείας οὐδεμίαν ποιεῖν ἔξοδον οἱ ταμίαι δύνανται, χωρὶς τῶν τῆς Συγκλήτου δογμάτων, πλὴν τὴν εἰς τοὺς Ὑπάτους· τῆς δὲ παρὰ πολὺ τῶν ἄλλων ὁλοσχερεστάτης καὶ μεγίστης δαπάνης, ἣν οἱ τιμηταὶ ποιοῦσιν εἰς τὰς ἐπισκευὰς καὶ κατασκευὰς τῶν δημοσίων κατὰ πενταετηρίαν, ταύτης ἡ Σύγκλητός ἐστι κυρία, καὶ διὰ ταύτης γίνεται τὸ συγχώρημα τοῖς τιμηταῖς. Ὁμοίως καὶ ὅσα τῶν ἀδικημάτων, τῶν κατ' Ἰταλίαν, προσδεῖται δημοσίας ἐπισκέψεως, λέγω δὲ, οἷον προδοσίας, συνωμοσίας, φαρμακείας, δολοφονίας, τῇ Συγκλήτῳ μέλει περὶ τούτων· πρὸς δὲ τούτοις, εἴ τις ἰδιώτης ἢ πόλις τῶν κατὰ τὴν Ἰταλίαν διαλύσεως, ἢ ἐπιτιμήσεως, ἢ βοηθείας, ἢ φυλακῆς προσδεῖται, τούτων πάντων ἐπιμελές ἐστι τῇ Συγκλήτῳ· καὶ μὴν εἰ τῶν ἐκτὸς Ἰταλίας πρός τινας ἐξαποστέλλειν δέοι πρεσβείαν τινα, ἢ διαλύουσάν τινας, ἢ παρακαλέσουσαν, ἢ καὶ, νὴ Δία, ἐπιτάξουσαν, ἢ παραληψομένην, ἢ πολεμεῖν ἐπαγγέλλουσαν, αὕτη ποιεῖται τὴν πρόνοιαν· ὁμοίως δὲ καὶ τῶν παραγενομένων εἰς Ῥώμην πρεσβειῶν, ὡς δέον ἐστὶν, ἑκάστοις χρῆσθαι, καὶ, ὡς δέον ἐστὶν, ἀποκριθῆναι, πάντα ταῦτα χειρίζεται διὰ τῆς Συγκλήτου· πρὸς δὲ τὸν Δῆμον καθάπαξ οὐδέν ἐστι τῶν προειρημένων· ἐξ ὧν πάλιν, ὁπότε τις ἐπιδημῆσαι, μὴ παρόντος Ὑπάτου, τελείως ἀριστοκρατικὴ φαίνεται ἡ πολιτεία· ὃ δὴ καὶ πολλοὶ τῶν Ἑλλήνων, ὁμοίως δὲ καὶ τῶν βασιλέων, πεπεισμένοι τυγχάνουσι, διὰ τὸ τὰ σφῶν πράγματα σχεδὸν πάντα πρὸς τὴν Σύγκλητον κυροῦν.

Ἐκ δὲ τούτων τίς οὐκ ἂν εἰκότως ἐπιζητήσειε, ποία καὶ τίς ποτέ ἐστιν ἡ τῷ Δήμῳ καταλειπομένη μερὶς ἐν τῷ πολιτεύματι· τῆς μὲν Συγκλήτου τῶν κατὰ μέρος, ὧν εἰρήκαμεν, κυρίας ὑπαρχούσης, τὸ δὲ μέγιστον, ὑπ' αὐτῆς καὶ τῆς εἰσόδου καὶ τῆς ἐξόδου χειριζομένης ἁπάσης· τῶν δὲ στρατηγῶν Ὑπάτων πάλιν αὐτοκράτορα μὲν ἐχόντων δύναμιν περὶ τὰς τοῦ πολέμου παρασκευὰς, αὐτοκράτορα δὲ τὴν ἐν τοῖς ὑπαίθροις ἐξουσίαν; Οὐ μὴν ἀλλὰ καταλείπεται μερὶς καὶ τῷ Δήμῳ, καὶ καταλείπεταί γε βα-

ρυτάτη. Τιμῆς γάρ ἐστι καὶ τιμωρίας ἐν τῇ πολιτείᾳ μόνος ὁ Δῆμος κύριος, οἷς συνέχονται μόναις καὶ δυναστεῖαι, καὶ πολιτεῖαι, καὶ συλλήβδην πᾶς ὁ τῶν ἀνθρώπων βίος. Παρ' οἷς γὰρ ἢ μὴ γινώσκεσθαι συμβαίνει τὴν τοιαύτην διαφορὰν, ἢ γινωσκομένην χειρίζεσθαι κακῶς, παρὰ τούτοις οὐδὲν οἷόν τε κατὰ λόγον διοικεῖσθαι τῶν ὑφεστώτων· πῶς γὰρ εἰκὸς, ἐν ἴσῃ ὄντων τῶν ἀγαθῶν τοῖς κακοῖς; Κρίνει μὲν οὖν ὁ Δῆμος καὶ διαφόρου πολλάκις, ὅταν ἀξιόχρεων ᾖ τὸ τίμημα τῆς ἀδικίας, καὶ μάλιστα τοὺς τὰς ἐπιφανεῖς ἐσχηκότας ἀρχάς· θανάτου δὲ κρίνει μόνος. Καὶ γίνεταί τι περὶ ταύτην τὴν χρείαν παρ' αὐτοῖς ἄξιον ἐπαίνου καὶ μνήμης· τοῖς γὰρ θανάτου κρινομένοις, ἐπὰν καταδικάζωνται, δίδωσι τὴν ἐξουσίαν τὸ παρ' αὐτοῖς ἔθος ἀπαλλάττεσθαι φανερῶς, κἂν ἔτι μία λείπηται φυλὴ τῶν ἐπικυρουσῶν τὴν κρίσιν ἀψηφοφόρητος, ἑκούσιον ἑαυτοῦ καταγνόντα φυγαδείαν· ἔστι δ' ἀσφάλεια τοῖς φεύγουσιν ἔν τε τῇ Νεαπολιτῶν καὶ Πραινεστινῶν, ἔτι δὴ Τιβουρηνῶν πόλει, καὶ ταῖς ἄλλαις, πρὸς ἃς ἔχουσιν ὅρκια. Καὶ μὴν τὰς ἀρχὰς ὁ Δῆμος δίδωσι τοῖς ἀξίοις· ὅπερ ἐστὶ κάλλιστον ἆθλον ἐν πολιτείᾳ καλοκἀγαθίας. Ἔχει δὲ τὴν κυρίαν καὶ περὶ τῆς τῶν νόμων δοκιμασίας· καὶ τὸ μέγιστον, ὑπὲρ εἰρήνης οὗτος βουλεύεται καὶ πολέμου. Καὶ μὴν περὶ συμμαχίας, καὶ διαλύσεως, καὶ συνθηκῶν, οὗτός ἐστιν ὁ βεβαιῶν ἕκαστα τούτων, καὶ κύρια ποιῶν, ἢ τοὐναντίον. Ὥστε πάλιν ἐκ τούτων εἰκότως ἄν τινα εἰπεῖν, ὅτι μεγίστην ὁ Δῆμος ἔχει μερίδα, καὶ δημοκρατικόν ἐστι τὸ πολίτευμα.

POLYBE. liv. VI, c. 9—12.

Horatius Coclès.

SOMMAIRE.

Porsenna, roi de Clusium et d'Étrurie, marchait vers Rome, conduit par Tarquin. Il s'empara du Janicule : ce premier succès l'avait tellement rempli de confiance, qu'il regardait Rome comme une proie qui ne pouvait lui échapper Les consuls romains firent alors passer le Tibre à leurs troupes. Une bataille sanglante s'engagea sur les bords de ce fleuve. Les deux généraux romains furent blessés et mis hors de combat. L'armée romaine, se voyant sans chef, désespéra de son salut et se sauva par le pont dans la ville. Rome serait infailliblement tombée dans les mains de Porsenna, sans le courageux dévouement d'un de ses citoyens, Horatius Coclès, qui se couvrit de gloire dans cette mémorable journée.

Ὡράτιος δὲ μόνος, ἀνακαλουμένων αὐτὸν ἀπὸ τῆς πόλεως τῶν τε ὑπάτων καὶ τῶν ἄλλων πολιτῶν, καὶ περὶ παντὸς ποιουμένων σωθῆναι τοιοῦτον ἄνδρα τῇ πατρίδι καὶ τοῖς γειναμένοις, οὐκ ἐπείσθη, ἀλλ' ἔμενεν ἔνθα καὶ πρῶτον ἔστη, κελεύσας τοῖς περὶ τὸν Ἑρμήνιον λέγειν πρὸς τοὺς ὑπάτους, ὡς αὐτοῦ φράζοντος, ἀποκόπτειν τὴν γέφυραν ἀπὸ τῆς πόλεως ἐν τάχει· ἦν δὲ μία κατ' ἐκείνους τοὺς χρόνους ξυλόφρακτος, ἄνευ σιδήρου δεδεμένη ταῖς σανίσιν αὐταῖς, ἣν καὶ μέχρις ἐμοῦ τοιαύτην φυλάττουσι Ῥωμαῖοι· ἐπιστεῖλαι δὲ τοῖς ἀνδράσιν, ὅταν τὰ πλείω τῆς γεφύρας λυθῇ, καὶ βραχὺ τὸ λειπόμενον ᾖ μέρος, φράσαι πρὸς αὐτὸν σημείοις τισὶν, ἢ φωνῇ γεγωνοτέρᾳ· τὰ λοιπὰ λέγων ἑαυτῷ μελήσειν. Ταῦτ' ἐπικελευσάμενος τοῖς δυσὶν, ἐπ' αὐτῆς ἵσταται τῆς γεφύρας· καὶ τῶν ὁμόσε χωρούντων οὓς μὲν τῷ ξίφει παίων, οὓς δὲ τῷ θυρεῷ προτρέπων, πάντας ἀνέστειλε τοὺς ὁρμῶντας ἐπὶ τὴν γέφυραν· οὐκέτι γὰρ εἰς χεῖρας αὐτῷ χωρεῖν ἐτόλμων οἱ διώκοντες, ὡς μεμηνότι καὶ θανατῶντι· καὶ ἅμα οὔτε ῥᾴδιον αὐτῷ

προσελθεῖν ὑπάρχον, ἐξ εὐωνύμων μὲν καὶ δεξιῶν ἔχοντι πρόβλημα τὸν ποταμὸν, ἐκ δὲ τοῦ κατὰ πρόσωπον, ὅπλων τε καὶ νεκρῶν σωρόν· ἀλλ' ἄποθεν ἀθρόοι ἑστῶτες, λόγχαις τε καὶ σανίσι καὶ λίθοις χειροπληθέσιν ἔβαλλον· οἷς δὲ μὴ παρείη ταῦτα, τοῖς ξίφεσι καὶ ταῖς ἀσπίσι τῶν νεκρῶν. Ὁ δὲ ἠμύνετο, τοῖς ἐκείνων χρώμενος ὅπλοις κατ' αὐτῶν· καὶ ἔμελλεν, ὥσπερ εἰκὸς, εἰς ἀθρόους βάλλων, ἀεί τινος τεύξεσθαι σκοποῦ. Ἤδη δὲ καταβελὴς ὢν, καὶ τραυμάτων πλῆθος ἐν πολλοῖς μέρεσι τοῦ σώματος ἔχων, μίαν δὲ πληγὴν λόγχης, ἣ διὰ θατέρου τῶν γλουτῶν ὑπὲρ τῆς κεφαλῆς τοῦ μηροῦ ἀντία ἐνεχθεῖσα, ἐκάκωσεν αὐτὸν ὀδύναις, καὶ τὴν βάσιν ἔβλαπτεν· ἐπεὶ δὲ τῶν κατόπιν ἤκουσεν ἐμβοησάντων λελῦσθαι τῆς γεφύρας τὸ πλεῖον μέρος, καθάλλεται σὺν τοῖς ὅπλοις εἰς τὸν ποταμόν· καὶ διανηξάμενος τὸ ῥεῦμα χαλεπῶς πάνυ (περὶ γὰρ τοῖς ὑπερείσμασι τῶν σανίδων σχιζόμενος ὁ ῥοῦς ὀξὺς ἦν, καὶ δίνας ἐποίει μεγάλας), ἐξεκολύμβησεν εἰς τὴν γῆν, οὐδὲν τῶν ὅπλων ἐν τῷ νεῖν ἀποβαλών· Τοῦτο τὸ ἔργον ἀθάνατον αὐτῷ δόξαν εἰργάσατο. Παραχρῆμά τε γὰρ οἱ Ῥωμαῖοι στεφανώσαντες αὐτὸν, ἀπέφερον εἰς τὴν πόλιν ὑμνοῦντες, ὡς τῶν ἡρώων ἕνα· καὶ πᾶς ὁ κατοικίδιος ὄχλος ἐξεχεῖτο, ποθῶν αὐτοῦ, ἕως ἔτι περιῆν, θεάσασθαι τὴν τελευταίαν πρόσοψιν· ἐδόκει γὰρ ὑπὸ τῶν τραυμάτων οὐκ εἰς μακρὰν διαφθαρήσεσθαι. Καὶ ἐπειδὴ διέφυγε τὸν θάνατον, εἰκόνα χαλκῆν ἔνοπλον ὁ δῆμος ἔστησεν αὐτοῦ, τῆς ἀγορᾶς ἐν τῷ κρατίστῳ· καὶ χώραν ἐκ τῆς δημοσίας ἔδωκεν, ὅσην αὐτὸς ἐν ἡμέρᾳ μιᾷ ζεύγει βοῶν περιαρόσει. Χωρὶς δὲ τῶν δημοσίᾳ δοθέντων, κατὰ κεφαλὴν ἕκαστος ἀνδρῶν τε καὶ γυναικῶν, ὅτε μάλιστα δεινὴ σπάνις τῶν ἀναγκαίων ἐπιτηδείων ἅπαντας κατεῖχε, μιᾶς ἡμέρας τροφὴν ἐχαρίσαντο, μυριάδες ἀνθρώπων αἱ σύμπασαι πλείους ἢ τριάκοντα.

DENYS D'HALICARN., *Ant. rom.*,
liv. v, c. 24—25.

Origine de la Société et des Arts.

Τοὺς ἐξ ἀρχῆς γεννηθέντας τῶν ἀνθρώπων φασὶν ἐν ἀτάκτῳ καὶ θηριώδει βίῳ καθεστῶτας, σποράδην ἐπὶ τὰς νομὰς ἐξιέναι, καὶ προσφέρεσθαι τῆς τε βοτάνης τὴν προσηνεστάτην, καὶ τοὺς αὐτομάτους ἀπὸ τῶν δένδρων καρπούς· καὶ πολεμουμένους μὲν ὑπὸ τῶν θηρίων, ἀλλήλοις βοηθεῖν ὑπὸ τοῦ συμφέροντος διδασκομένους, ἀθροιζομένους δὲ διὰ τὸν φόβον, ἐπιγινώσκειν ἐκ τοῦ κατὰ μικρὸν τοὺς ἀλλήλων τύπους. Τῆς φωνῆς δ' ἀσήμου καὶ συγκεχυμένης οὔσης, ἐκ τοῦ κατ' ὀλίγον διαρθροῦν τὰς λέξεις, καὶ πρὸς ἀλλήλους τιθέντας σύμβολα περὶ ἑκάστου τῶν ὑποκειμένων, γνώριμον σφίσιν αὐτοῖς ποιῆσαι τὴν περὶ πάντων ἑρμηνείαν. Τοιούτων δὲ συστημάτων γινομένων καθ' ἅπασαν τὴν οἰκουμένην, οὐχ ὁμόφωνον πάντας ἔχειν τὴν διάλεκτον, ἑκάστων ὡς ἔτυχε συνταξάντων τὰς λέξεις. Διὸ καὶ παντοίους τε ὑπάρξαι χαρακτῆρας διαλέκτων, καὶ τὸ πρῶτα γενόμενα συστήματα τῶν ἁπάντων ἐθνῶν ἀρχέγονα γενέσθαι. Τοὺς οὖν πρώτους τῶν ἀνθρώπων, μηδενὸς τῶν πρὸς βίον χρησίμων εὑρημένου, ἐπιπόνως διάγειν, γυμνοὺς μὲν ἐσθῆτος ὄντας, οἰκήσεως δὲ καὶ πυρὸς ἀήθεις, τροφῆς δ' ἡμέρου παντελῶς ἀνεννοήτους. Καὶ γὰρ τὴν συγκομιδὴν τῆς ἀγρίας τροφῆς ἀγνοοῦντας, μηδεμίαν τῶν καρπῶν εἰς τὰς ἐνδείας ποιεῖσθαι παράθεσιν. Διὸ καὶ πολλοὺς αὐτῶν ἀπόλλυσθαι κατὰ τοὺς χειμῶνας, διά τε τὸ ψύχος καὶ τὴν σπάνιν τῆς τροφῆς. Ἐκ δὲ τούτου κατ' ὀλίγον ὑπὸ τῆς πείρας διδασκομένους, εἴς τε τὰ σπήλαια καταφεύγειν ἐν τῷ χειμῶνι, καὶ τῶν καρπῶν τοὺς φυλάττεσθαι δυναμένους ἀποτίθεσθαι. Γνωσθέντος δὲ τοῦ πυρὸς καὶ τῶν ἄλλων τῶν χρησίμων, κατὰ μικρὸν καὶ τὰς τέχνας εὑρεθῆναι, καὶ τἄλλα τὰ δυνάμενα τὸν κοινὸν βίον ὠφελῆσαι. Καθόλου γὰρ πάντων τὴν χρείαν αὐτὴν διδάσκαλον γενέσθαι τοῖς ἀνθρώποις, ὑφηγουμένην οἰκείως τὴν ἑκάστου μάθησιν εὐφυεῖ ζώῳ, καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας, καὶ λόγον καὶ ψυχῆς ἀγχίνοιαν.

Diodore de Sicile, liv. 1, c. 8.

L'orateur Gorgias, chef de la députation envoyée à Athènes par les Léontins.

Κατὰ τὴν Σικελίαν Λεοντῖνοι, Χαλκιδέων (35) μὲν ὄντες ἄποικοι, συγγενεῖς δὲ Ἀθηναίων, ἔτυχον ὑπὸ Συρακουσίων πολεμούμενοι (36). Πιεζόμενοι δὲ τῷ πολέμῳ, καὶ διὰ τὴν ὑπεροχὴν τῶν Συρακουσίων κινδυνεύοντες ἁλῶναι κατὰ κράτος, ἐξέπεμψαν πρέσβεις εἰς τὰς Ἀθήνας, ἀξιοῦντες τὸν δῆμον βοηθῆσαι τὴν ταχίστην, καὶ τὴν πόλιν ἑαυτῶν ἐκ τῶν κινδύνων ῥύσασθαι. Ἦν δὲ τῶν ἀπεσταλμένων ἀρχιπρεσβευτὴς Γοργίας ὁ ῥήτωρ (37), δεινότητι λόγου πολὺ προέχων πάντων τῶν καθ' ἑαυτόν. Οὗτος καὶ τέχνας ῥητορικὰς πρῶτος ἐξεῦρε, καὶ κατὰ τὴν σοφιστείαν τοσοῦτον τοὺς ἄλλους ὑπερέβαλεν, ὥστε μισθὸν λαμβάνειν παρὰ τῶν μαθητῶν μνᾶς ἑκατόν. Οὗτος οὖν καταντήσας εἰς τὰς Ἀθήνας, καὶ παραχθεὶς εἰς τὸν δῆμον, διελέχθη τοῖς Ἀθηναίοις περὶ τῆς συμμαχίας, καὶ τῷ ξενίζοντι τῆς λέξεως (38) ἐξέπληξε τοὺς Ἀθηναίους, ὄντας εὐφυεῖς καὶ φιλολόγους. Πρῶτος γὰρ ἐχρήσατο τῆς λέξεως σχηματισμοῖς περιττοτέροις, καὶ τῇ φιλοτεχνίᾳ διαφέρουσιν ἀντιθέτοις καὶ ἰσοκώλοις καὶ παρίσοις καὶ ὁμοιοτελεύτοις, καὶ τισιν ἑτέροις τοιούτοις, ἃ τότε μὲν διὰ τὸ ξένον τῆς κατασκευῆς ἀποδοχῆς ἠξιοῦτο, νῦν δὲ περιεργίαν ἔχειν δοκεῖ, καὶ φαίνεται καταγέλαστον, πλεονάκις καὶ κατακόρως τιθέμενον. Τέλος πείσας τοὺς Ἀθηναίους συμμαχῆσαι τοῖς Λεοντίνοις, οὗτος μὲν θαυμασθεὶς ἐν ταῖς Ἀθήναις ἐπὶ τέχνῃ ῥητορικῇ, τὴν εἰς Λεοντίνους ἐπάνοδον ἐποιήσατο.

Id., liv. XII. c. 53.

Incendie du temple de Jérusalem.

ARGUMENT.

Les révoltes des Juifs, qui, sous Vespasien, avaient massacré la garnison romaine, donnèrent lieu à cette guerre célèbre que Titus termina par la prise de Jérusalem. Il s'en empara l'an 70 de Jésus-Christ, après un siége de sept mois, et l'un des plus mémorables dont l'histoire fasse mention. C'est pendant ce siége que le temple de Jérusalem fut brûlé par les Romains, malgré tous les soins que prit Titus pour le conserver.

Ἔνθα δὴ τῶν στρατιωτῶν τις, οὔτε παράγγελμα περιμείνας, οὔτε ἐπὶ τηλικούτῳ δείσας ἐγχειρήματι, δαιμονίῳ ὁρμῇ τινὶ χρώμενος, ἁρπάζει μὲν ἐκ τῆς φλεγομένης ὕλης, ἀνακουφισθεὶς δ' ὑπὸ στρατιώτου, τὸ πῦρ ἐνίησι θυρίδι χρυσῇ, καθ' ἣν εἰς τοὺς περὶ τὸν ναὸν οἴκους εἰσιτὸν ἦν ἐκ τοῦ βορείου κλίματος. Αἰρομένης δὲ τῆς φλογὸς, Ἰουδαίων μὲν ἐγείρεται κραυγὴ τοῦ πάθους ἀξία, καὶ πρὸς τὴν ἄμυναν συνέθεον, οὔτε τοῦ ζῆν ἔτι φειδὼ λαμβάνοντες, οὔτε ταμιευόμενοι τὴν ἰσχὺν, δι' ὃ καὶ φυλακτικοὶ πρότερον ἦσαν οἰχομένου. Δραμὼν δέ τις ἀγγέλλει Τίτῳ· κἀκεῖνος, ἔτυχε δὲ κατὰ σκηνὴν ἀναπαυόμενος ἐκ τῆς μάχης, ὡς εἶχεν ἀναπηδήσας, ἔθεε πρὸς τὸν ναὸν εἴρξων τὸ πῦρ· κατόπιν δὲ, οἵτε ἡγεμόνες εἵποντο πάντες, καὶ πτοηθέντα, τούτοις ἠκολούθει τὰ τάγματα. Βοὴ δ' ἦν καὶ θόρυβος, ἅτε τηλικαύτης δυνάμεως ἀτάκτως κεκινημένης. Ὁ μὲν οὖν Καῖσαρ τῇ τε βοῇ καὶ τῇ δεξιᾷ διεσήμαινε τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν· οὔτε δὲ βοῶντος ἤκουον, μείζονι κραυγῇ τὰς ἀκοὰς προκατειλημμένοι, καὶ τῷ νεύματι τῆς χειρὸς οὐ προσεῖχον, οἱ μὲν τῷ πολεμεῖν, οἱ δὲ ὀργῇ περισπώμενοι. Τῶν δὲ ταγμάτων εἰσθεόντων οὔτε παραίνεσις, οὔτε ἀπειλὴ κατεῖχε τὰς ὁρμὰς, ἀλλὰ θυμὸς ἁπάντων ἐστρατήγει, καὶ περὶ τὰς εἰσόδους συνωθούμενοι, πολλοὶ μὲν ὑπ' ἀλλήλων κατεπατοῦντο,

πολλοὶ δὲ, θερμοῖς ἔτι καὶ τυφομένοις τοῖς ἐρειπίοις τῶν στοῶν ἐμπίπτοντες, ἡττωμένων συμφοραῖς ἐχρῶντο. Πλησίον δὲ τοῦ ναοῦ γινόμενοι, τῶν μὲν τοῦ Καίσαρος παραγγελμάτων προσεποιοῦντο μηδὲ κατακούειν, τοῖς πρὸ αὐτῶν δὲ τὸ πῦρ ἐνιέναι παρεκελεύοντο· τῶν δὲ στασιαστῶν ἀμηχανία μὲν ἦν ἤδη τοῦ βοηθεῖν· φόνος δὲ πανταχοῦ καὶ τροπή. Τὸ δὲ πλέον ἀπὸ τοῦ δήμου, λαὸς ἀσθενὴς καὶ ἄνοπλος, ὅπου καταληφθείη τις, ἀπεσφάττετο. Καὶ περὶ μὲν τὸν βωμὸν, πλῆθος ἐσωρεύετο νεκρῶν· κατὰ δὲ τῶν τοῦ βωμοῦ βάθρων, αἷμά τε ἔῤῥει πολὺ, καὶ τὰ τῶν ἄνω φονευομένων σώματα κατωλίσθανε. Καῖσαρ δὲ, ὡς οὔτε τὰς ὁρμὰς ἐνθουσιώντων τῶν στρατιωτῶν κατασχεῖν οἷός τε ἦν, καὶ τὸ πῦρ ἐπεκράτει, παρελθὼν μετὰ τῶν ἡγεμόνων ἔνδον, ἐθεάσατο τοῦ ναοῦ τὸ ἅγιον, καὶ τὰ ἐν αὐτῷ, πολὺ μὲν τῆς παρὰ τοῖς ἀλλοφύλοις φήμης ἀμείνω, τοῦ δὲ κόμπου, καὶ τῆς παρὰ τοῖς οἰκείοις δόξης οὐκ ἐλάττω. Τῆς φλογὸς δ' οὐδέπω διϊκνουμένης οὐδαμόθεν εἴσω, τοὺς δὲ περὶ τὸν ναὸν οἴκους νεμομένης, νομίσας, ὅπερ ἦν, ἔτι σώζεσθαι τὸ ἔργον δύνασθαι, προπηδᾷ, καὶ αὐτός τε παρακαλεῖν τοὺς στρατιώτας ἐπειρᾶτο τὸ πῦρ σβεννύειν, καὶ Λιβεράλιον ἑκατοντάρχην τῶν περὶ αὐτὸν λογχοφόρων ξύλοις παίοντα τοὺς ἀπειθοῦντας, ἐκέλευσεν εἴργειν. Τῶν δὲ καὶ τὴν πρὸς Καίσαρα αἰδῶ, καὶ τὸν ἀπὸ τοῦ κωλύοντος φόβον ἐνίκων οἱ θυμοὶ, καὶ τὸ πρὸς Ἰουδαίους μῖσος, καὶ πολεμική τις ὁρμὴ λαβροτέρα. Τοὺς δὲ πολλοὺς ἐνῆγεν ἁρπαγῆς ἐλπὶς, δόξαν τε ἔχοντας, ὡς τἄνδον ἅπαντα χρημάτων μεστὰ εἴη, καὶ τὰ πέριξ ὁρῶντας χρυσοῦ πεποιημένα. Φθάνει δέ τις καὶ τῶν εἴσω παρεληλυθότων, ἐκπηδήσαντος τοῦ Καίσαρος πρὸς ἐποχὴν τῶν στρατιωτῶν, πῦρ εἰς τοὺς στροφέας ἐμβαλὼν τῆς πύλης ἐν σκότῳ, ἐξαπίνης τ' ἔνδοθεν ἐκφανείσης φλογὸς, οἵ τε ἡγεμόνες μετὰ τοῦ Καίσαρος ἀνεχώρουν, καὶ τοὺς ἔξωθεν οὐδεὶς ὑφάπτειν ἐκώλυεν. Ὁ μὲν οὖν ναὸς οὕτως, ἄκοντος Καίσαρος, ἐμπιπρᾶται.

Καιομένου δὲ τοῦ ναοῦ, τῶν μὲν προσπιπτόντων ἦν ἁρπαγὴ, φόνος δὲ τῶν καταλαμβανομένων μυρίος· οὔτε δὲ ἡλικίας ἦν ἔλεος,

οὔτ' ἐντροπὴ σεμνότητος· ἀλλὰ καὶ παιδία, καὶ γέροντες, καὶ βέβηλοι, καὶ ἱερεῖς ὁμοίως ἀνῃροῦντο, καὶ πᾶν γένος ἐπεξῄει περισχὼν ὁ πόλεμος, ὁμοῦ τούς τε ἱκετεύοντας καὶ ἀμυνομένους. Συνήχει δ' ἡ φλὸξ ἐπὶ πλεῖστον ἐκφερομένη τοῖς πιπτόντων στεναγμοῖς. Καὶ διὰ μὲν τὸ ὕψος τοῦ λόφου, καὶ τὸ τοῦ φλεγομένου μέγεθος ἔργου, πᾶσαν ἄν τις ἔδοξε καίεσθαι τὴν πόλιν. Τῆς δὲ βοῆς ἐκείνης οὐδὲν ἐπινοηθῆναι δύναιτ' ἂν ἢ μεῖζον, ἢ φοβερώτερον· τῶν τε γὰρ Ῥωμαϊκῶν ταγμάτων ἀλαλαγμὸς ἦν συμφερομένων, καὶ τῶν στασιαστῶν πυρὶ καὶ σιδήρῳ κεκυκλωμένων κραυγή, τοῦ τε ἀποληφθέντος ἄνω λαοῦ, τροπή τε μετ' ἐκπλήξεως εἰς τοὺς πολεμίους, καὶ πρὸς τὸ πάθος οἰμωγαί· συνεβόα δὲ τοῖς ἐπὶ τοῦ λόφου το κατὰ τὴν πόλιν πλῆθος. Ἤδη δὲ πολλοὶ τῷ λιμῷ μαραινόμενοι, καὶ μεμυκότες, ὡς εἶδον τὸ τοῦ ναοῦ πῦρ, εἰς ὀδυρμοὺς πάλιν καὶ κραυγὴν εὐτόνησαν. συνήχει δ' ἥ τε Περαία, καὶ τὰ πέριξ ὄρη, βαρυτέραν ποιοῦντα τὴν ὁρμήν. Ἦν δὲ τοῦ θορύβου τὰ πάθη φοβερώτερα. Τὸν μέν γε τοῦ ἱεροῦ λόφον ἐκ ῥιζῶν ἄν τις ἔδοξε διάττεσθαι, πάντοθεν τοῦ πυρὸς καταγέμοντα· δαψιλέστερον δὲ τὸ αἷμα τοῦ πυρὸς εἶναι, καὶ τῶν φονευόντων πλείους τοὺς φονευομένους. Οὐδαμοῦ γὰρ ἡ γῆ διεφαίνετο τῶν νεκρῶν, ἀλλὰ σωροῖς ἐπεμβαίνοντες οἱ στρατιῶται σωμάτων ἐπὶ τοὺς διαφεύγοντας ἔθεον.

Ἧκον δὲ καὶ ἐπὶ τὴν λοιπὴν στοὰν τοῦ ἔξωθεν ἱεροῦ. Καταφεύγει δ' ἐπ' αὐτὴν ἀπὸ τοῦ δήμου γύναια καὶ παιδία, καὶ σύμμικτος ὄχλος πλεῖστος, εἰς ἑξακισχιλίους. Πρὶν δὲ Καίσαρα κρῖναί τι περὶ αὐτῶν, ἢ κελεῦσαι τοὺς ἡγεμόνας, φερόμενοι τοῖς θυμοῖς οἱ στρατιῶται τὴν στοὰν ὑφάπτουσι· καὶ συνέβη τοὺς μὲν ῥιπτοῦντας αὐτοὺς ἐκ τῆς φλογὸς διαφθαρῆναι, τοὺς δ' ἐν αὐτῇ· περιεσώθη δ' ἐκ τοσούτων οὐδείς.

JOSEPHE, *Guerre des Juifs*,
liv. VII, c. 4.

Intrépidité d'Alexandre.

Ἀλέξανδρος, ὡς βλακεύειν αὐτῷ οἱ Μακεδόνες ἐδόκουν οἱ φέροντες τὰς κλίμακας, ἁρπάσας κλίμακα ἑνὸς τῶν φερόντων, προσέθηκε τῷ τείχει αὐτός, καὶ εἰληθεὶς ὑπὸ τῇ ἀσπίδι ἀνέβαινεν· ἐπὶ δὲ αὐτῷ Πευκέστας, ὁ τὴν ἱερὰν ἀσπίδα φέρων, ἣν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τῆς Ἰλιάδος λαβὼν ἅμα οἱ εἶχεν Ἀλέξανδρος, καὶ πρὸ αὐτοῦ ἐφέρετο ἐν ταῖς μάχαις· ἐπὶ δὲ τούτῳ Λεοννάτος ἀνῄει κατὰ τὴν κλίμακα ὁ σωματοφύλαξ· κατὰ δὲ ἄλλην κλίμακα Ἀβρέας τῶν διμοιριτῶν τις στρατευομένων. Ἤδη τε πρὸς τῇ ἐπάλξει τοῦ τείχους ὁ βασιλεὺς ἦν, καὶ ἐρείσας ἐπ' αὐτῇ τὴν ἀσπίδα, τοὺς μὲν ὤθει εἴσω τοῦ τείχους τῶν Ἰνδῶν· τοὺς δὲ καὶ αὐτοῦ τῷ ξίφει ἀποκτείνας γεγυμνώκει τὸ ταύτῃ τεῖχος· καὶ οἱ ὑπασπισταὶ ὑπέρφοβοι γενόμενοι ὑπὲρ τοῦ βασιλέως, σπουδῇ ὠθούμενοι κατὰ τὴν αὐτὴν κλίμακα, συντρίβουσιν αὐτήν· ὥστε οἱ μὲν ἤδη ἀνιόντες αὐτῶν, κάτω ἔπεσον, τοῖς δὲ ἄλλοις ἄπορον ἐποίησαν τὴν ἄνοδον. Ἀλέξανδρος δέ, ὡς ἐπὶ τοῦ τείχους στάς, κύκλῳ τε ἀπὸ τῶν πλησίον πύργων ἐβάλλετο (οὐ γὰρ πελάσαι γε ἐτόλμα τις αὐτῷ τῶν Ἰνδῶν), καὶ ἀπὸ τῶν ἐκ τῆς πόλεως, οὐδὲ πόῤῥω τούτων γε ἐσακοντιζόντων· ἔτυχε γάρ τι καὶ προσκεχωσμένον ταύτῃ πρὸς τὸ τεῖχος· δῆλος μὲν ἦν Ἀλέξανδρος τῶν τε ὅπλων τῇ λαμπρότητι, καὶ τῷ ἀτόπῳ τῆς τόλμης, ἔγνω δ' ὅτι αὐτοῦ μὲν μένων κινδυνεύσει, μηδὲν ὅ τι καὶ λόγου ἄξιον ἀποδεικνύμενος, καταπηδήσας δὲ εἴσω τοῦ τείχους, τυχὸν μὲν αὐτῷ τούτῳ ἐκπλήξει τοὺς Ἰνδούς· εἰ δὲ μή, καὶ κινδυνεύειν δέοι, μεγάλα ἔργα καὶ τοῖς ἔπειτα πυθέσθαι ἄξια ἐργασάμενος, οὐκ ἀσπουδεὶ ἀποθανεῖται. Ταῦτα γνούς, καταπηδᾷ ἀπὸ τοῦ τείχους ἐς τὴν ἄκραν· ἔνθα δὴ ἐρεισθεὶς πρὸς τῷ τείχει, τοὺς μέν τινας ἐς χεῖρας ἐλθόντας, καὶ τόν γε ἡγεμόνα τῶν Ἰνδῶν προσφερόμενόν οἱ θρασύτερον, παίσας τῷ ξίφει ἀποκτείνει· ἄλλον δὲ πελάζοντα λίθῳ βαλὼν ἔσχε· καὶ ἄλλον, λίθῳ·

τὸν δὲ ἐγγυτέρω προσάγοντα, τῷ ξίφει αὖθις. Οἱ δὲ βάρβαροι πελάζειν μὲν αὐτῷ οὐκέτι ἤθελον, ἔβαλλον δὲ πάντοθεν περιεστηκότες, ὅ τι τις ἔχων βέλος ἐτύγχανεν, ἢ ἐν τῷ τότε ἔλαβεν.

Ἐν τούτῳ τε Πευκέστας τε καὶ ὁ διμοιρίτης Ἀβρέας, καὶ ἐπ' αὐτοῖς Λεοννάτος, οἳ δὴ μόνοι ἔτυχον πρὶν ξυντριβῆναι τὰς κλίμακας ἀναβεβηκότες ἐπὶ τὸ τεῖχος, καταπηδήσαντες καὶ αὐτοὶ, πρὸ τοῦ βασιλέως ἐμάχοντο. Καὶ Ἀβρέας μὲν ὁ διμοιρίτης πίπτει αὐτοῦ, τοξευθεὶς ἐς τὸ πρόσωπον. Ἀλέξανδρος δὲ βάλλεται καὶ αὐτὸς διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν μαστὸν (ὥστε λέγει Πτολεμαῖος, ὅτι καὶ πνεῦμα ὁμοῦ τῷ αἵματι ἐκ τοῦ τραύματος ἐξεπνεῖτο)· ὁ δὲ, ἔς τε μὲν ἔτι θερμὸν ἦν αὐτῷ τὸ αἷμα, καίπερ κακῶς ἔχων, ἠμύνετο· πολλοῦ δὲ δὴ τοῦ αἵματος καὶ ἀθρόου, οἷα δὴ ξὺν πνεύματι ἐκρυέντος, ἴλιγγός τε αὐτὸν καὶ λειποψυχία κατέσχε, καὶ πίπτει αὐτοῦ ἐπὶ τὴν ἀσπίδα ξυννεύσας. Πευκέστας δὲ περιβὰς πεπτωκότι, καὶ ὑπερσχὼν τὴν ἱερὰν τὴν ἐξ Ἰλίου ἀσπίδα, πρὸ αὐτοῦ εἶχε, καὶ Λεοννάτος εἰς τὰ ἐπὶ θάτερα. Οὗτοι δὲ βάλλονται ἀμφότεροι, καὶ Ἀλέξανδρος ἐγγὺς ἦν ἤδη ὑπὸ τοῦ αἵματος ἐκλιπεῖν· τοῖς γὰρ Μακεδόσι καὶ ταύτῃ ἐν ἀπόρῳ γεγένηται τὰ τῆς προσβολῆς, ὅτι οἱ τὸν Ἀλέξανδρον βαλλόμενόν τε ἐπὶ τῷ τείχει ἰδόντες, καὶ πηδῶντα ἔσω ἐς τὴν ἄκραν, ὑπὸ σπουδῆς τε καὶ φόβου μή τι αὐτοῖς ὁ βασιλεὺς πάθῃ οὐ ξὺν νόῳ κινδυνεύων, τὰς κλίμακας συντετριφότες, ἄλλοι ἄλλας μηχανὰς ἐς τὸ ἀνελθεῖν ἐπὶ τὸ τεῖχος, ὡς ἐν ἀπόροις ἐμηχανῶντο· οἱ μὲν, πασσάλους ἐμπηγνύοντες ἐς τὸ τεῖχος γήϊνον ὂν, καὶ κατὰ τούτους ἐκκρεμαννύμενοι χαλεπῶς ἀνεῖρπον· οἱ δὲ ἄλλοι ἐπ' ἄλλους ἐπιβαίνοντες· Ὁ δὲ πρῶτος ἀνελθὼν ἐκρίπτει ἑαυτὸν κατὰ τὸ τεῖχος ἐς τὴν πόλιν, ἵναπερ τὸν βασιλέα ἑώρων κείμενον, ξὺν οἰμωγῇ καὶ ἀλαλαγμῷ πάντες· ἤδη τε ἀμφ' αὐτῷ πεπτωκότι καρτερὰ μάχη ξυνειστήκει, ἄλλου ἐπ' ἄλλῳ τῶν Μακεδόνων προασπίζοντος· καὶ ἐν τούτῳ οἱ μὲν τὸν μοχλὸν, ὅτῳ εἴχετο ἡ κατὰ τὸ μεταπύργιον πύλη, κατασχίσαντες, ἔτ' ὀλίγους παρίεσαν· οἱ δὲ καθότι ἡ πύλη διέσχε, τοὺς ὤμους ὑποθέντες,

καὶ ὤσαντες ἐς τὸ ἔσω τὸ τεῖχος, ἀνεπέτασαν ταύτῃ τὴν ἄκραν. Ἐν τούτῳ δὲ οἱ μὲν ἔκτεινον τοὺς Ἰνδοὺς, καὶ ἀπέκτειναν γε πάντας, οὐδὲ γυναῖκα ἢ παῖδα ὑπελείποντο· οἱ δὲ ἐξέφερον τὸν βασιλέα ἐπὶ τῆς ἀσπίδος κακῶς ἔχοντα, οὔπω γιγνώσκοντες βιώσιμον ὄντα.

Arrien, liv. vi, c. 9 et 10.

Passage du Rubicon.

SOMMAIRE.

César, arrivé sur les bords du Rubicon, s'arrêta quelques instans. L'incertitude du succès de son entreprise, et tous les malheurs d'une guerre civile se présentèrent à son esprit. Il hésite un moment; mais bientôt réfléchissant à la haine de ses ennemis, il traversa la rivière en disant : *Le sort en est jeté.*

Ὁ μὲν δὴ πόλεμος ἑκατέρωθεν ἀνέωκτο, καὶ κεκήρυκτο ἤδη σαφῶς. Ἡ δὲ βουλὴ, νομίζουσα Καίσαρι τὸν στρατὸν ἀπὸ Κελτῶν σὺν χρόνῳ παρέσεσθαι, καὶ οὔποτε αὐτὸν ὁρμήσειν ἐπὶ τηλικοῦτον ἔργον σὺν ὀλίγοις, προσέτασσε Πομπηΐῳ τρισκαίδεκα μυριάδας Θετταλῶν ἀγείρειν, καὶ μάλιστα αὐτῶν τοὺς ἐστρατευμένους, ὡς ἐμπειροπολέμους, ξενολογεῖν δὲ καὶ ἐκ τῶν περιοίκων ἐθνῶν ὅσα ἄλκιμα· χρήματα δ' ἐς τὸν πόλεμον αὐτῷ τά τε κοινὰ πάντα αὐτίκα ἐψηφίζοντο, καὶ τὰ ἰδιωτικὰ σφῶν ἐπὶ τοῖς κοινοῖς, εἰ δεήσειεν, εἶναι στρατιωτικά· ἔς τε τὰς πόλεις ἐφ' ἕτερα περιέπεμπον σύν τε ὀργῇ καὶ φιλονεικίᾳ, σπουδῆς οὐδὲν ἀπολείποντες ὀξυτάτης. Ὁ δὲ Καῖσαρ ἐπὶ μὲν τὸν ἑαυτοῦ στρατὸν περιεπεπόμφει, χαίρων δ' ἀεὶ ταχυεργίας τε καταπλήξει, καὶ φόβῳ τόλμης μᾶλλον ἢ παρασκευῆς δυνάμει, μετὰ τῶν πεντακισχιλίων ἔγνω προεπιχειρεῖν τοσῷδε πολέμῳ, και φθάσαι τα εὔκαιρα τῆς Ἰταλίας. Τοὺς μὲν λοχαγοὺς αὐτῶν σὺν ὀλίγοις τοῖς μάλιστα εὐτολμοτάτοις, εἰρηνικῶς

ἐσταλμένοις, προὔπεμπεν ἐσελθεῖν ἐς Ἀρίμινον (39), καὶ τὴν πόλιν ἄφνω καταλαβεῖν· ἥδ' ἐστὶν Ἰταλίας πρώτη, μετὰ τὴν Γαλατίαν. Αὐτὸς δὲ περὶ ἑσπέραν, ὡς δὴ τὸ σῶμα ἐνοχλούμενος, ὑπεχώρησε τοῦ συμποσίου, τοὺς φίλους ἀπολιπὼν ἔτι ἑστιᾶσθαι, καὶ ζεύγους ἐπιβὰς, ἤλαυνεν ἐς τὸ Ἀρίμινον, ἑπομένων οἱ τῶν ἱππέων ἐκ διαστήματος. Δρόμῳ δ' ἐλθὼν ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν (40), ὃς ὁρίζει τὴν Ἰταλίαν, ἔστη τοῦ δρόμου, καὶ ἐς τὸ ῥεῦμα ἀφορῶν, περιεφέρετο τῇ γνώμῃ, λογιζόμενος ἕκαστα τῶν ἐσομένων κακῶν, εἰ τόνδε τὸν ποταμὸν σὺν ὅπλοις περάσειε, καὶ πρὸς τοὺς παρόντας εἶπεν ἀνενεγκών· « Ἡ μὲν ἐπίσχεσις, ὦ φίλοι, τῆσδε τῆς διαβάσεως ἐμοὶ κακῶν ἄρξει, ἡ δὲ διάβασις, πᾶσιν ἀνθρώποις. » Καὶ εἰπὼν, οἷά τις ἔνθους ἐπέρα σὺν ὁρμῇ, τὸ κοινὸν τόδε εἰπὼν, « Ὁ κύβος ἀνερρίφθω. » Δρόμῳ δ' ἐντεῦθεν ἐπιὼν, Ἀρίμινόν τε αἱρεῖ περὶ ἕω, καὶ ἐς τὸ πρόσθεν ἐχώρει φρούρια τοῖς ἐπικαίροις ἐφιστὰς, καὶ τὰ ἐν ποσὶν ἢ βίᾳ χειρούμενος ἢ φιλανθρωπίᾳ· φυγαί τε καὶ μεταναστάσεις ἦσαν ἐκ πάντων χωρίων, ὡς ἐν ἐκπλήξει, καὶ δρόμος ἀσύντακτος μετ' οἰμωγῆς, τό τε ἀκριβὲς οὐκ εἰδότες, καὶ τὸν Καίσαρα νομίζοντες μετὰ ἀπείρου στρατοῦ κατὰ κράτος ἐλαύνειν.

APPIEN, *des Guerres civiles*, liv. II.

Bataille de Pharsale.

Τοιούτῳ μὲν ἀγῶνι συνηνέχθησαν· οὐ μέντοι καὶ εὐθὺς συνέμιξαν, ἀλλ' οἷα ἔκ τε τῆς αὐτῆς πατρίδος καὶ ἐκ τῆς αὐτῆς ἑστίας ὁρμώμενοι, καὶ τά τε ὅπλα παραπλήσια καὶ τὰς τάξεις ὁμοίας ἔχοντες, ὤκνουν μὲν ἄρξαι τῆς μάχης, ὤκνουν δὲ καὶ φονεῦσαί τινας ἑκάτεροι. Σιγή τε οὖν ἀμφοτέρων καὶ κατήφεια πολλὴ ἦν Καὶ οὔτε τις αὐτῶν ἐς τὰ πρόσω προῄει, οὔθ' ὅλως ἐκινεῖτο, ἀλλ' ἐγκύψαντες ἠτρέμιζον, ὥσπερ ἄψυχοι. Φοβηθέντες οὖν ὅ τε Καῖσαρ καὶ ὁ Πομπήϊος μὴ καὶ ἐπὶ πλεῖον ἡσυχάσαντες, ἀμβλύ

τεροι πως γένωνται, ἢ καὶ συναλλαγῶσι, προσέταξαν σπουδῇ τοῖς τε σαλπιγκταῖς σημῆναι, καὶ ἐκείνοις συμβοῆσαι τὸ πολέμιον. Καὶ ἐπράχθη μὲν ἑκάτερον· τοσοῦτον δὲ ἐδέησαν ἐπιῤῥωσθῆναι, ὥστε καὶ ἐπὶ μᾶλλον ἔκ τε τῆς τῶν σαλπιγκτῶν ἠχῆς ὁμοφωνούσης, καὶ ἐκ τῆς ἑαυτῶν βοῆς ὁμογλωσσούσης, τό τε ὁμόφυλον σφῶν ἐξέφηναν, καὶ τὸ ὁμογενὲς ἐξήλεγξαν. Κἀκ τούτου καὶ ἐς δάκρυα καὶ θρῆνον ἔπεσον.

Ὀψὲ δ' οὖν ποτὲ τῶν συμμαχικῶν προκαταρξάντων, καὶ ἐκεῖνοι συνέμιξαν, ἔκφρονες ἐπ' αὐτοῖς γενόμενοι. Καὶ τοῖς μὲν ἄλλοις, οἷς πόῤῥωθεν ἡ ἀλκὴ ἦν, ἧττον τὸ δεινὸν συνέβαινεν (οὐδὲ γὰρ εἰδότες οὓς ἔβαλλον, ἐτόξευον, ἠκόντιζον, ἐσφενδόνων)· οἱ δὲ δὴ ὁπλῖται, οἵ τε ἱππεῖς χαλεπώτατα ἀπήλλασσον, ἅτε καὶ ἐγγὺς ἀλλήλων ὄντες, καί τι καὶ λαλεῖν σφίσι δυνάμενοι. Ἐγνώριζόν τε ἅμα τοὺς ἀντιπαρατεταγμένους, καὶ ἐτίτρωσκον, ἀνεκάλουν, καὶ ἐφόνευον· τῶν πατρίδων ἐμέμνηντο, καὶ ἐσκύλευον. Ταῦτα μὲν οἵ τε Ῥωμαῖοι καὶ οἱ ἄλλοι οἱ ἐκ τῆς Ἰταλίας συστρατευόμενοι σφίσιν, ὅπου ποτὲ προστύχοιεν ἀλλήλοις, καὶ ἔπραττον καὶ ἔπασχον, καὶ πολλοὶ πολλὰ καὶ οἴκαδε δι' αὐτῶν τῶν σφαγέων ἐνετέλλοντο. Τὸ δὲ ὑπήκοον καὶ προθύμως καὶ ἀφειδῶς ἐμάχετο, πολλὴν σπουδὴν, ὥσπερ ποτὲ ὑπὲρ τῆς σφετέρας ἐλευθερίας, οὕτω τότε κατὰ τῆς τῶν Ῥωμαίων δουλείας, ποιούμενοι, ἐπιθυμίᾳ, ἅτε ἐν πᾶσιν αὐτῶν ἐλαττούμενοι, ὁμοδούλους σφᾶς ἔχειν.

Μεγίστη τε οὖν μάχη καὶ πολυτροπωτάτη, διά τε ταῦτα καὶ διὰ τὸ πλῆθος, τό τε πολυειδὲς τῆς παρασκευῆς, ἐγένετο. Πάμπολλοι μὲν γὰρ ὁπλῖται, πάμπολλοι δὲ καὶ ἱππεῖς, τοξόται τε ἕτεροι, καὶ σφενδονῆται ἄλλοι ὄντες, τό τε πεδίον πᾶν κατέλαβον· καὶ σκεδασθέντες πολλαχῇ μὲν ἀλλήλοις, οἷα ὁμόσκευοι, πολλαχῇ δὲ καὶ ἑτέροις ἀναμὶξ ἐμάχοντο· προεῖχον δὲ οἱ Πομπήιοι τῇ τε ἱππείᾳ καὶ τῇ τοξείᾳ, καὶ διὰ τοῦτο πόῤῥωθέν τε ἐγκυκλούμενοί τινας, προσβολαῖς αἰφνιδίοις ἐχρῶντο, καὶ συνταράξαντες αὐτοὺς ἐξανεχώρουν· εἶτ' αὖθις καὶ μάλ' αὖθις ἐπετί-

θεντο σφίσι, τοτὲ μὲν ἐνταῦθα, τοτὲ δὲ ἐκεῖσε μεθιστάμενοι. Οἱ οὖν Καισάρειοι ταῦτά τε ἐφυλάσσοντο, καὶ τὰς τάξεις σφῶν ἐξελίσσοντες, ἀντιπρόσωποί τε ἀεὶ τοῖς προσβάλλουσιν ἐγίγνοντο· καὶ ὁμόσε αὐτοῖς χωροῦντες, τῶν τε ἀνδρῶν καὶ τῶν ἵππων ἀντελαμβάνοντο, προθύμως ἀγωνιζόμενοι. Καὶ γὰρ πεζοὶ τοῖς ἱππεῦσιν αὐτῶν κοῦφοι ἐπ' αὐτὸ τοῦτο συνετετάχατο. Καὶ ταῦτα οὐ καθ' ἕνα (ὥσπερ εἶπον), ἀλλὰ πολλαχῆ ἅμα σποράδην ἐγίγνετο· ὥστε τῶν μὲν πόῤῥωθεν μαχομένων, τῶν δὲ, συσταδὸν ἀγωνιζομένων, καὶ τῶν μὲν, παιόντων τινὰς, τῶν δὲ, πατασσομένων, φευγόντων ἑτέρων, διωκόντων ἑτέρων, πολλὰς μὲν πεζομαχίας, πολλὰς δὲ καὶ ἱππομαχίας ὁρᾶσθαι. Κἀν τούτῳ καὶ παρὰ δόξαν συχνὰ συνέβαινε. Καὶ γὰρ τρέψας τίς τινα, ἐτρέπετο, καὶ ἄλλος ἐκκλίνας τινὰ, ἀντεπετίθετο αὐτῷ· πλήξας τις ἕτερον, αὐτὸς ἐτιτρώσκετο, καὶ πεπτωκὼς ἄλλος, τὸν ἑστηκότα ἀπεκτείννυε. Καὶ πολλοὶ μὲν καὶ ἄτρωτοι ἔθνησκον, πολλοὶ δὲ καὶ ἡμιθνῆτες ἐφόνευον. Καὶ οἱ μὲν ἔχαιρον, καὶ ἐπαιώνιζον· οἱ δὲ ἐλυποῦντο, καὶ ὠλοφύροντο· ὥστε βοῆς καὶ στεναγμῶν πάντα πληρωθῆναι, καὶ τοῖς πλείοσι καὶ ἐκ τούτου ταραχὴν ἐγγενέσθαι (τὰ γὰρ λεγόμενα, ἄσημα σφίσι διά τε τὸ ἀλλοεθνὲς καὶ διὰ τὸ ἀλλόθροον ὄντα, δεινῶς αὐτοὺς ἐξέπλησσε)· τοῖς δὲ δὴ συνιεῖσιν ἀλλήλων, πολλαπλάσιον τὸ κακὸν συμβῆναι. Πρὸς γὰρ τοῖς ἰδίοις σφῶν παθήμασι, καὶ τὰ τῶν πέλας καὶ ἑώρων ἅμα καὶ ἤκουον.

Τέλος δὲ, ἰσοῤῥόπως αὐτῶν ἐπὶ μακρότατον ἀγωνισαμένων, καὶ πολλῶν ἀμφοτέρωθεν ὁμοίως καὶ πεσόντων καὶ τρωθέντων, ὁ Πομπήϊος, ἅτε καὶ Ἀσιανὸν καὶ ἀγύμναστον τὸ πλεῖον τοῦ στρατοῦ ἔχων, ἡττήθη.

Dion Cassius, liv. xli, c 58—61.

Caractère de l'empereur Marc Aurèle. Éducation de son fils Commode.

Τῷ βασιλεύοντι Μάρκῳ θυγατέρες μὲν ἐγένοντο πλείους, ἄῤῥενες δὲ δύο. Τῶν δὲ ἀῤῥένων τούτων ὁ μὲν ἕτερος κομιδῇ νέος τὸν βίον μετήλλαξε. Βηρίσσιμος δ' ἦν ὄνομα αὐτῷ· τὸν δὲ περιόντα, Κόμμοδον καλούμενον, ὁ πατὴρ μετὰ πολλῆς ἐπιμελείας ἀνεθρέψατο, πάντοθεν τοὺς ἐν τοῖς ἔθνεσιν ἐπὶ λόγοις δοκιμωτάτους ἐπὶ συντάξεσιν οὐκ εὐκαταφρονήτοις καλῶν, ὅπως συνόντες ἀεὶ παιδεύοιεν αὐτῷ τὸν υἱόν. Τάς τε θυγατέρας, ἐν ὥρᾳ γενομένας, ἐξέδοτο ἀνδράσι τῆς συγκλήτου Βουλῆς τοῖς ἀρίστοις· οὐ τοὺς γένους μακραῖς διαδοχαῖς εὐπατρίδας, οὐδὲ τοὺς πλούτου περιβολαῖς λαμπροὺς, κοσμίους δὲ τὸν τρόπον καὶ σώφρονας τὸν βίον, γαμβροὺς αὐτῷ γενέσθαι θέλων. Ταῦτα γὰρ μόνα ψυχῆς ἴδια καὶ ἀναφαίρετα ἡγεῖτο κτήματα.

Ἀρετῆς δὲ πάσης ἔμελεν αὐτῷ· λόγων τε ἀρχαιότητος ἦν ἐραστὴς, ὡς μηδενὸς μήτε Ῥωμαίων μήτε Ἑλλήνων ἀπολείπεσθαι. Δηλοῖ δὲ ὅσα καὶ εἰς ἡμᾶς ἦλθεν, ἢ λεχθέντα πρὸς αὐτοῦ, ἢ γραφέντα. Παρεῖχε δὲ καὶ τοῖς ἀρχομένοις ἑαυτὸν ἐπιεικῆ καὶ μέτριον βασιλέα, τούς τε προσιόντας δεξιούμενος, κωλύων τε τοὺς περὶ αὐτὸν δορυφόρους ἀποσοβεῖν τοὺς ἐντυγχάνοντας. Μόνος τε βασιλέων φιλοσοφίαν οὐ λόγοις, οὐδὲ δογμάτων γνώσεσι, σεμνῷ δ' ἤθει καὶ βίῳ σώφρονι ἐπιστώσατο· πολύ τε πλῆθος ἀνδρῶν σοφῶν ἤνεγκεν ἡ τῶν ἐκείνου καιρῶν φορά. Φιλεῖ γάρ πως ἀεὶ τὸ ὑπήκοον ζήλῳ τῆς τοῦ ἄρχοντος γνώμης βιοῦν.

Ὅσα μὲν οὖν ἐκείνῳ πέπρακται ἀνδρεῖα καὶ σώφρονα, στρατηγικὴν ἢ πολιτικὴν ἀρετὴν ἔχοντα, πρός τε τοὺς τὰ ἀρκτῷα τῆς γῆς ἔθνη βάρβαρα κατοικοῦντας, πρός τε τοὺς ὑπὸ ταῖς ἀνατολαῖς ποιουμένους τὸν βίον, πολλοῖς καὶ σοφοῖς ἀνδράσι συγγέγραπται. Ἃ δὲ μετὰ τὴν Μάρκου τελευτὴν παρὰ πάντα τὸν

ἐμαυτοῦ βίον εἶδόν τε καὶ ἤκουσα, ἔστι δ' ὧν καὶ πείρᾳ μετέσχον, ἐν βασιλικαῖς ἢ δημοσίαις ὑπηρεσίαις γενόμενος, ταῦτα συνέγραψα.

Γηραιὸν ὄντα Μάρκον, καὶ μὴ μόνον ὑφ' ἡλικίας, ἀλλὰ καμάτοις τε καὶ φροντίσι τετρυχωμένον, διατρίβοντά τε ἐν Παίοσι (41), νόσος χαλεπὴ καταλαμβάνει. Ἐπεὶ δὲ αὐτῷ τὰς πρὸς σωτηρίαν ἐλπίδας φαύλως ἔχειν ὑπώπτευεν, ἑώρα τε τὸν παῖδα τῆς μειρακίων ἡλικίας ἀρχόμενον ἐπιβαίνειν, δεδιὼς μὴ νεότης ἀκμάζουσα, καὶ ἐν ὀρφανίᾳ ἐξουσίαν αὐτοκράτορα καὶ ἀκώλυτον προσλαβοῦσα, μαθημάτων μὲν καλῶν καὶ ἐπιτηδευμάτων ἀφηνιάσῃ, μέθαις δὲ καὶ κραιπάλαις ἐπιδῷ ἑαυτὴν (ῥᾷστα γὰρ αἱ τῶν νέων ψυχαὶ εἰς ἡδονὰς ἐξολισθαίνουσαι, ἀπὸ τῶν παιδείας καλῶν μετοχετεύονται)· οἷα δὴ ἄνδρα πολυΐστορα, μάλιστα ἐτάραττε μνήμη τῶν ἐν νεότητι βασιλείαν παραλαβόντων, τοῦτο μὲν, Διονυσίου τοῦ Σικελιώτου τυράννου, ὃς ἀπὸ τῆς ἄγαν ἀκρασίας καινὰς ἡδονὰς ἐπὶ μεγίστοις μισθοῖς ἐθηρᾶτο· τοῦτο δὲ, αἱ τῶν Ἀλεξάνδρου διαδόχων εἰς τοὺς ὑπηκόους ὕβρεις τε καὶ βίαι, δι' ὧν τὴν ἐκείνου ἀρχὴν κατῄσχυναν. Ἔτι δὲ καὶ μᾶλλον αὐτὸν ἐλύπει τὰ μὴ πρὸ πολλοῦ, ἀλλ' ὑπόγυον ἔχοντα τὴν μνήμην· τά τε Νέρωνι πεπραγμένα, ὃς ἐχώρησε μέχρι μητρῴου φόνου, παρεῖχέ τε τοῖς δήμοις ἑαυτὸν καταγέλαστον θέαμα, τά τε Δομετιανῷ τετολμημένα, τῆς ἐσχάτης ὠμότητος οὐδὲν ἀπολείποντα. Τοιαύτας δὴ τυραννίδος εἰκόνας ὑποτυπούμενος, ἐδεδίει τε καὶ ἤλπιζεν. Οὐ μετρίως δ' αὐτὸν ἐτάραττον καὶ οἱ Γερμανοὶ γειτνιῶντες, οὓς οὐδέπω πάντας ἐκεχείρωτο, ἀλλὰ τοὺς μὲν πειθοῖ ἐς συμμαχίαν προσηγάγετο, τῶν δὲ καὶ κρατήσας ἦν τοῖς ὅπλοις· ἦσαν δέ τινες, οἳ διαδράντες πρὸς τὸ παρὸν ἀνακεχωρήκεσαν, δέει τῆς παρουσίας τοιούτου βασιλέως· ὑπώπτευεν οὖν, μὴ τῆς ἡλικίας τοῦ μειρακίου καταφρονήσαντες, ἐπιθῶνται αὐτῷ. Ἐρᾷ γὰρ τὸ βάρβαρον καὶ ἐπὶ ταῖς τυχούσαις ἀφορμαῖς ῥᾷστα κινεῖσθαι.

HÉRODIEN, liv. 1, c. 2 et 3.

NOTES
SUR LES HISTORIENS.

(1) Remarquez dans ce morceau et dans les autres extraits d'Hérodote les formes du dialecte ionien.

(2) Cette manière de prendre un grand nombre d'années, de les réduire en jours pour établir ce principe, *que, même dans la plus longue vie, il n'est pas un seul jour où se renouvellent des événemens qui ont eu lieu*, est très-adroite; elle est bien dans les mœurs de l'antiquité.

(3) Parce qu'autrefois les suffrages se donnaient avec des fèves.

(4) Harmodius et Aristogiton délivrèrent Athènes, leur patrie, du joug des Pisistratides. La Grèce reconnaissante chanta, depuis cette époque, leurs louanges au milieu de ses fêtes publiques. (Thucyd., liv. VI, ch. 54-61.)

(5) A Athènes, le sénat des cinq cents était tour à tour présidé par les cinquante citoyens élus dans chacune des dix tribus de la république. Ces citoyens prenaient alors le nom de *Prytanes*, et tout le temps de leur présidence s'appelait *Prytanie*.

(6) Les Saces. Suivant Ptolémée, le pays qu'ils habitaient avait pour bornes, à l'ouest, la Sogdiane; au midi et à l'est, l'Imaüs; et au nord, le reste de la Scythie. Ils n'avaient point de villes : les cavernes et les bois leur servaient de demeure. C'est Cyrus qui les soumit à la domination des Perses.

(7) Démarate était roi de Lacédémone. Exilé par la faction de ses ennemis, il s'était réfugié dans la Perse. Lorsqu'il apprit que Xerxès faisait des préparatifs de guerre, il en informa les Grecs par une voie secrète; oubliant ainsi, pour l'intérêt de sa patrie, les injustices qu'il avait essuyées de la part de ses concitoyens. (Justin, liv. II, ch. 10.)

(8) Les Grecs, au nombre de dix mille, avaient formé un camp sur les bords du Pénée, entre l'Olympe et l'Ossa. Alexandre, fils d'Amyntas, leur conseilla d'abandonner ce poste, parce qu'ils pourraient y être facilement écrasés par l'armée ennemie; leur faisant entendre par là que les Perses devaient s'avancer à la fois et par terre et par mer. (Hérod., liv. VII, ch. 74-75.)

(9) Hertica, qui fut ensuite appelée Orée, était située auprès du mont Téléthrius, sur le canal de la mer Égée, qui sépare l'Eubée de la Thessalie. Au-dessus, et du côté du nord, se trouvait *le rivage Artémisien.*

(10) L'île de Scyathus, l'une des Sporades, aujourd'hui Sciati.

(11) La Magnésie de la Thessalie était située vers la mer Égée, et comprenait une presqu'île qui s'avance vers l'île d'Eubée.

(12) Anthéla, ville de la Phthiotide, à l'embouchure du fleuve Asope.

(13) La Thesprotie, contrée de l'ancienne Grèce.

(14) La Piérie, contrée de la Macédoine; elle s'étendait le long du golfe Thermaïque.

(15) La Phthiotide. Cette province occupait la partie la plus méridionale de la Thessalie.

(16) Quoique l'époque de la naissance d'Homère ne

soit pas certaine, on est à peu près d'accord qu'elle a dû avoir lieu vers l'an du monde 3120, c'est-à-dire, trois cent quarante ans après la prise de Troie.

(17) L'île de Corcyre, aujourd'hui Corfou.

(18) Les Molosses étaient le peuple le plus puissant de l'Épire. Le pays qu'ils habitaient était au nord du golfe d'Ambracie, et s'appelle aujourd'hui l'*Arta*.

(19) L'île de Naxos; c'était la plus grande et la plus fertile des Cyclades.

(20) Éphèse, dans la partie méridionale de l'Ionie, non loin de l'embouchure du Caystre dans la mer. Elle devint si considérable, qu'elle fut regardée comme la capitale de l'Asie. On sait combien fut célèbre son temple, mis au nombre des merveilles du monde, et que l'insensé Érostrate livra aux flammes le jour de la naissance d'Alexandre, pour s'immortaliser.

(21) C'est Magnésie, dite *Magnesia Mœandri*, ainsi surnommée à cause de sa situation près du Méandre. Il ne faut pas la confondre avec une autre ville de la Lydie appelée *Magnésie de Sipyle*, et située au pied du mont Sipyle, sur la rive gauche de l'Hermus. Les descendans de Thémistocle jouissaient encore, du temps de Plutarque, des honneurs que les Magnésiens avaient décernés à ce célèbre Athénien.

(22) Lampsaque, dans la petite Mysie, était située sur l'Hellespont, vis-à-vis de Gallipolis.

(23) Myonte, sur le Méandre. Il n'en restait plus de vestige du temps de Strabon.

(24) Phalère, port où les Athéniens avaient leur marine avant que Thémistocle la fît transporter au Pirée.

(25) Le Pirée, port à quarante stades d'Athènes. Il

devint comme un des faubourgs de cette ville, lorsque Périclès l'y eut joint par de longues murailles.

(26) Munychie, autre port d'Athènes.

(27) L'Eubée, aujourd'hui Négrepont.

(28) Les Athéniens, après avoir obtenu d'abord quelques succès dans cette expédition, furent complètement battus sur terre et sur mer par Gylippe, général des Lacédémoniens. (Justin, liv. IV.)

(29) La Chersonèse de Thrace était située entre la mer Égée, l'Hellespont et la Propontide.

(30) Perinthus, qui fut ensuite appelée *Héraclée*. Son amphithéâtre de marbre passait pour une des merveilles du monde. Il en reste encore quelques débris.

(31) Chez les anciens, les éternumens étaient mis au nombre des présages; et comme ils pouvaient annoncer quelque chose de bon ou de mauvais, on saluait la personne qui éternuait, et l'on faisait des vœux pour sa conservation. La formule usitée était : *Jupiter te conserve.*

(32) Les Mysiens. Leur pays était borné au nord par la Propontide; à l'est, par la Bithynie; au sud, par la Lydie; et à l'ouest, par la mer Égée, la Troade et l'Hellespont.

(33) Les Pisidiens, les Lycaoniens, autres peuples de l'Asie.

Quoique les écrivains de l'antiquité ne s'accordent point sur les bornes de la Pisidie, on peut regarder comme certain qu'elle était renfermée entre la Pamphilie, la Lydie, la Phrygie, l'Isaurie et la Cilicie.

La Lycaonie était située entre la Cappadoce, la Galatie, la Phrygie, l'Isaurie et la Cilicie.

(34) Les Chalybes étaient un de ces peuples barbares

qui habitaient au nord de la grande Arménie, dans les montagnes appelées les *monts Moschiques*. Ces montagnes se divisaient en plusieurs branches, et s'étendaient jusque dans la Colchide et dans l'Ibérie.

(35) *Léontini* ou *Léontium* fut bâtie par les Chalcidiens d'Eubée, établis à Naxe.

(36) L'issue de cette guerre fut que Denys se rendit maître de Léontium par composition, et en transféra les habitans à Syracuse.

(37) C'est Gorgias, ce sophiste célèbre, disciple d'Empédocle et maître d'Isocrate. Partout on lui prodigua de grands honneurs, et les habitans de Delphes lui érigèrent une statue d'or.

(38) Si Gorgias fut l'inventeur de tous ces artifices de l'élocution, son disciple Isocrate les porta beaucoup plus loin. Il s'en montra prodigue, et c'est avec raison qu'on lui a reproché de l'affectation à ce sujet. (Fénélon, *Dial. sur l'Éloq.*)

(39) *Ariminum*, aujourd'hui *Rimini*, à l'embouchure du fleuve Ariminus.

(40) Le Rubicon. Ce petit fleuve, qui n'était qu'un courant d'eau formé de trois petits ruisseaux, est très-célèbre dans l'histoire. On sait que les soldats ou les généraux romains qui osaient le passer avec leurs armes, sans le consentement du sénat, étaient regardés comme les ennemis de la république.

PHILOSOPHES.

Existence de la Divinité.

ΛΕΞΩ δὲ πρῶτον, ἅ ποτε αὐτοῦ ἤκουσα περὶ τοῦ δαιμονίου διαλεγομένου πρὸς Ἀριστόδημον τὸν Μικρὸν ἐπικαλούμενον (1). Καταμαθὼν γὰρ αὐτὸν οὔτε θύοντα τοῖς θεοῖς οὔτ' εὐχόμενον, οὔτε μαντικῇ χρώμενον, ἀλλὰ καὶ τῶν ποιούντων ταῦτα καταγελῶντα· εἰπέ μοι, ἔφη, ὦ Ἀριστόδημε, ἔστιν οὕς τινας ἀνθρώπων τεθαύμακας ἐπὶ σοφίᾳ; Ἔγωγ', ἔφη.

Καὶ ὅς, λέξον ἡμῖν, ἔφη, τὰ ὀνόματα αὐτῶν. Ἐπὶ μὲν τοίνυν Ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ Διθυράμβῳ Μελανιππίδην (2), ἐπὶ δὲ Τραγῳδίᾳ Σοφοκλέα, ἐπὶ δὲ Ἀνδριαντοποιΐᾳ Πολύκλειτον, ἐπὶ δὲ Ζωγραφίᾳ Ζεῦξιν.

Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά τε καὶ ἀκίνητα, ἀξιοθαυμαστότεροι εἶναι, ἢ οἱ ζῶα ἔμφρονά τε καὶ ἐνεργά; Πολὺ, νὴ Δία, οἱ ζῶα, εἴπερ γε μὴ τύχῃ τινὶ, ἀλλὰ ὑπὸ γνώμης ταῦτα γεγένηται. Τῶν δὲ ἀτεκμάρτως ἐχόντων, ὅτου ἕνεκά ἐστι, καὶ τῶν φανερῶς ἐπ' ὠφελείᾳ ὄντων, πότερα τύχης καὶ πότερα γνώμης ἔργα κρίνεις; Πρέπει μὲν τὰ ἐπ' ὠφελείᾳ γιγνόμενα γνώμης εἶναι ἔργα.

Οὐκοῦν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους, ἐπ' ὠφελείᾳ προσθεῖναι αὐτοῖς, δι' ὧν αἰσθάνονται, ἕκαστα, ὀφθαλμοὺς μὲν, ὥσθ' ὁρᾶν τὰ ὁρατὰ, ὦτα δὲ, ὥστ' ἀκούειν τὰ ἀκουστά; ὀσμῶν γε μὴν, εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ' ἂν αἴσθησις ἦν γλυκέων, καὶ δριμέων, καὶ πάντων τῶν διὰ στόματος ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη;

Πρὸς δὲ τούτοις, οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργον ἐοικέναι, τὸ, ἐπεὶ ἀσθενὴς μὲν ἐστιν ἡ ὄψις, βλεφάροις αὐτὴν θυρῶ-

σαι, ἃ, ὅταν μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται; ὡς δ' ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἠθμὸν βλεφαρίδας ἐμφῦσαι, ὀφρῦσί τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ' ὁ ἐκ τῆς κεφαλῆς ἱδρὼς κακουργῇ; τὸ δὲ, τὴν ἀκοὴν δέχεσθαι μὲν πάσας φωνὰς, ἐμπίπλασθαι δὲ μήποτε· καὶ τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζώοις οἵους τέμνειν εἶναι, τοὺς δὲ γομφίους, οἵους παρὰ τούτων δεξαμένους λεαίνειν· καὶ στόμα μὲν, δι' οὗ, ὧν ἐπιθυμεῖ τὰ ζῶα, εἰσπέμπεται, πλησίον ὀφθαλμῶν καὶ ῥινῶν καταθεῖναι· ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς, καὶ ἀπενεγκεῖν, ᾗ δυνατὸν προσωτάτω, ἀπὸ τῶν αἰσθήσεων· ταῦτα οὕτω προνοητικῶς πεπραγμένα, ἀπορεῖς, πότερα τύχης ἢ γνώμης ἔργα ἐστίν;

Οὐ, μὰ τὸν Δί', ἔφη, ἀλλ' οὕτω γε σκοπουμένῳ πάνυ ἔοικε ταῦτα σοφοῦ τινος δημιουργοῦ καὶ φιλοζώου τεχνήματι. Τὸ δὲ, ἐμφῦσαι μὲν ταῖς γειναμέναις ἔρωτα τοῦ ἐκτρέφειν, τοῖς δὲ τραφεῖσι μέγιστον μὲν πόθον τοῦ ζῆν, μέγιστον δὲ φόβον τοῦ θανάτου· ἀμέλει καὶ ταῦτα ἔοικε μηχανήμασί τινος ζῶα εἶναι βουλευσαμένου.

Σὺ δὲ σαυτὸν φρόνιμόν τι δοκεῖς ἔχειν; ἐρώτα γοῦν, καὶ ἀποκρινοῦμαι. Ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει φρόνιμον εἶναι; καὶ ταῦτα, εἰδὼς, ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι, πολλῆς οὔσης, ἔχεις, καὶ ὑγροῦ βραχὺ, πολλοῦ ὄντος, καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος λαβόντι τὸ σῶμα συνήρμοσταί σοι. Νοῦν δὲ μόνον ἄρα οὐδαμοῦ ὄντα σε εὐτυχῶς πως δοκεῖς συναρπάσαι; καὶ τάδε ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα, δι' ἀφροσύνην τινὰ ὡς οἴει εὐτάκτως ἔχειν;

Μὰ Δί', ἔφη. Οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε γινομένων τοὺς δημιουργούς. Οὐδὲ γὰρ τὴν ἑαυτοῦ σύ γε ψυχὴν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν· ὥστε κατά γε τοῦτο ἔξεστι σοι λέγειν, ὅτι οὐδὲν γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις.

Καὶ ὁ Ἀριστόδημος, οὔ τοι, ἔφη, ἐγὼ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ' ἐκεῖνο μεγαλοπρεπέστερον ἡγοῦμαι, ἢ

ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι. Οὐκοῦν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον τιμητέον αὐτό.

Εὖ ἴσθι, ἔφη, ὅτι εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν. Ἔπειτ' οὐκ οἴει φροντίζειν, οἳ πρῶτον μὲν μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν (ἡ δὲ ὀρθότης καὶ προορᾶν πλεῖον ποιεῖ δύνασθαι, καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι, καὶ ἧττον κακοπαθεῖν), καὶ ὄψιν, καὶ ἀκοὴν, καὶ στόμα ἐνεποίησαν; ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν· ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα, οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμὲν, ἐξεργάζονται;

Καὶ μὴν γλῶττάν γε πάντων τῶν ζώων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἵαν, ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος, ἀρθροῦν τε τὴν φωνὴν, καὶ σημαίνειν πάντα ἀλλήλοις, ἃ βουλόμεθα.

Οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ' (ὅπερ μέγιστόν ἐστι) καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε. Τίνος γὰρ ἄλλου ζώου ψυχὴ πρῶτα μὲν θεῶν, τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων, ᾔσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο, ἢ ἄνθρωποι, θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάττεσθαι, ἢ λιμὸν, ἢ δίψος, ἢ ψύχη, ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ πρὸς μάθησιν ἐκπονῆσαι, ἢ ὅσα ἂν ἀκούσῃ, ἢ ἴδῃ, ἢ μάθῃ, ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι;

Οὐ γὰρ πάνυ σοι κατάδηλον, ὅτι παρὰ τὰ ἄλλα ζῶα, ὥσπερ θεοὶ, οἱ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην, ἠδύνατ' ἂν πράττειν, ἃ ἐβούλετο· οὔθ' ὅσα χεῖρας ἔχει, ἄφρονα δ' ἐστὶ, πλέον οὐδὲν ἔχει. Σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς, οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; ἀλλ' ὅταν τι ποιήσωσι, νομιεῖς αὐτοὺς σοῦ φροντίζειν; Ὅταν πέμπωσιν (ὥσπερ σὺ φὴς πέμπειν αὐτοὺς) συμβούλους, ὅ τε

χρὴ ποιεῖν καὶ μὴ ποιεῖν. Ὅταν δὲ Ἀθηναίοις, ἔφη, πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς; οὐδ' ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ' ὅταν πᾶσιν ἀνθρώποις; ἀλλὰ μόνον σε ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται;

Οἴει δ' ἄν, τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι, ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν; καὶ ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ' ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς, ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν ἐπιμελέσταται;

Ὦ 'γαθέ, ἔφη, κατάμαθε, ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα, ὅπως βούλεται, μεταχειρίζεται. Οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν παντὶ φρόνησιν τὰ πάντα, ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι· καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾷν· μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι.

Ἢν μέντοι, ὥσπερ ἀνθρώπους θεραπεύων γιγνώσκεις τοὺς ἀντιθεραπεύειν ἐθέλοντας, καὶ χαριζόμενος τοὺς ἀντιχαριζομένους, καὶ συμβουλευόμενος καταμανθάνεις τοὺς φρονίμους· οὕτω καὶ τῶν θεῶν πεῖραν λαμβάνῃς θεραπεύων, εἴ τι σοι θελήσουσι περὶ τῶν ἀδήλων ἀνθρώποις συμβουλεύειν, γνώσῃ τὸ θεῖον, ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾷν, καὶ πάντα ἀκούειν, καὶ πανταχοῦ παρεῖναι, καὶ ἅμα πάντων ἐπιμελεῖσθαι αὐτούς.

Ἐμοὶ μὲν ταῦτα λέγων οὐ μόνον τοὺς συνόντας ἐδόκει ποιεῖν, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῷντο, ἀπέχεσθαι τῶν ἀνοσίων τε, καὶ ἀδίκων, καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν· ἐπείπερ ἡγήσαιντο μηδὲν ἄν ποτε, ὧν πράττοιεν, θεοὺς διαλαθεῖν.

XÉNOPHON, *Memor.* 1, c. 4.

CRITON.

ΣΩΚΡΑΤΗΣ ΚΑΙ ΚΡΙΤΩΝ.

ΣΩΚΡ. Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρωῒ ἔτι ἐστί;

ΚΡ. Πάνυ μὲν οὖν.

ΣΩΚΡ. Πηνίκα μάλιστα;

ΚΡ. Ὄρθρος βαθύς.

ΣΩΚΡ. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι.

ΚΡ. Ξυνήθης ἤδη μοι ἐστὶν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν. Καί τοι καὶ εὐεργετεῖται ὑπ' ἐμοῦ.

ΣΩΚΡ. Ἄρτι δὲ ἥκεις, ἢ πάλαι;

ΚΡ. Ἐπιεικῶς πάλαι.

ΣΩΚΡ. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι;

ΚΡ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες· οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι. Ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω, αἰσθανόμενος ὡς ἡδέως καθεύδεις. Καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς. Καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις.

ΣΩΚΡ. Καὶ γὰρ ἂν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, ἢ δεῖ ἤδη τελευτᾶν.

ΚΡ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται, ἀλλ' οὐδὲν αὐτοῖς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.

ΣΩΚΡ. Ἔστι ταῦτα. Ἀλλὰ τί δὴ οὕτω πρωῒ ἀφῖξαι;

ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπὴν, οὐ σοὶ (ὡς ἐμοὶ φαίνεται), ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν· ἣν ἐγὼ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατα ἂν ἐνέγκαιμι.

ΣΩΚΡ. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με;

ΚΡ. Οὔ τοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον, ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου, καὶ καταλιπόντες ἐκεῖ αὐτό. Δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰσαύριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾷν.

ΣΩΚΡ. Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ· εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. Οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον.

ΚΡ. Πόθεν τοῦτο τεκμαίρει;

ΣΩΚΡ. Ἐγώ σοι ἐρῶ. Τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν, ἢ ᾗ ἂν ἔλθοι τὸ πλοῖον.

ΚΡ. Φασί δέ γέ τοι δὴ οἱ τούτων κύριοι.

ΣΩΚΡ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. Τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινὶ οὐκ ἐγεῖραί με.

ΚΡ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον;

ΣΩΚΡ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα, καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με, καὶ εἰπεῖν, ὦ Σώκρατες·

> Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.

ΚΡ. Ὡς ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες.

ΣΩΚΡ. Ἐναργὲς μὲν οὖν, ὡς ἐμοὶ δοκεῖ, ὦ Κρίτων.

ΚΡ. Λίαν γε, ὡς ἔοικεν. Ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου, καὶ σώθητι. Ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς, οὐ μία ξυμφορά ἐστιν, ἀλλὰ χωρὶς μὲν σοῦ ἐστερῆσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μήποτε εὑρήσω· ἔτι δέ, καὶ πολλοῖς δόξω, οἳ ἐμὲ, καὶ σὲ, μὴ σαφῶς ἴσασιν, ὡς οἷός τε ὢν σε σώζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελῆσαι. Καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα, ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ φί-

λους; οὐ γὰρ πείσονται οἱ πολλοὶ, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε, ἡμῶν προθυμουμένων.

ΣΩΚΡ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι (ὧν μᾶλλον ἄξιον φροντίζειν) ἡγήσονται, αὐτὰ οὕτω πεπρᾶχθαι, ὥσπερ ἂν πραχθῇ.

ΚΡ. Ἀλλ' ὁρᾷς δὴ, ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ τῆς τῶν πολλῶν δόξης μέλειν. Αὐτὰ δὲ δηλοῖ τὰ παρόντα νυνὶ, ὅτι οἷοί τε εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ σχεδὸν τὰ μέγιστα, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ.

ΣΩΚΡ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε εἶναι πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν καὶ ἀγαθὰ τὰ μέγιστα! καὶ καλῶς ἂν εἶχε. Νῦν δὲ οὐδέτερα οἷοί τε· οὔτε γὰρ φρόνιμον, οὔτε ἄφρονα, δυνατοὶ ποιῆσαι. Ποιοῦσι δὲ τοῦτο ὅ τι ἂν τύχωσι.

ΚΡ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. Τάδε δὲ, ὦ Σώκρατες, εἰπέ μοι. Ἆρά γε μὴ ἐμοῦ προμηθεῖ, καὶ τῶν ἄλλων ἐπιτηδείων, μὴ, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν, ὡς σὲ ἐνθένδε ἐκκλέψασι, καὶ ἀναγκασθῶμεν, ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν, ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; Εἰ γάρ τι τοιοῦτον φοβεῖ, ἔασον αὐτὸ χαίρειν. Ἡμεῖς γάρ που δίκαιοι ἐσμὲν, σώσαντές σε, κινδυνεύειν τοῦτον τὸν κίνδυνον· καὶ, ἐὰν δέῃ, ἔτι τούτου μείζω. Ἀλλ' ἐμοὶ πείθου, καὶ μὴ ἄλλως ποίει.

ΣΩΚΡ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά.

ΚΡ. Μὴ τοίνυν ταῦτα φοβοῦ. Καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε, καὶ ἐξαγαγεῖν ἐνθένδε. Ἔπειτα οὐχ' ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς, καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγῷμαι, ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τὰ ἐμὰ, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. Εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανὸν, Σιμμίας ὁ Θηβαῖος (3)· ἕτοιμος δὲ καὶ Κέβης (4),

καὶ ἄλλοι πολλοὶ πάνυ. Ὥστε (ὅπερ λέγω) μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτὸν, μήτε, ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν, ὅ τι χρῷο σεαυτῷ. Πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε, ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε· ἂν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν. Ἔτι δὲ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι· καὶ τοιαῦτα σπεύδειν περὶ σεαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε, καὶ ἔσπευσαν, σὲ διαφθεῖραι βουλόμενοι. Πρὸς δὲ τούτοις, καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὓς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι, οἰχήσει καταλιπὼν, καὶ τὸ σὸν μέρος, ὅ τι ἂν τύχωσι, τοῦτο πράξουσι. Τεύξονται δὲ (ὡς τὸ εἰκὸς) τοιούτων, οἷά περ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. Ἢ γὰρ οὐ χρὴν ποιεῖσθαι παῖδας, ἢ ξυνδιαταλαιπωρεῖν, καὶ τρέφοντα, καὶ παιδεύοντα. Σὺ δέ μοι δοκεῖς τὰ ῥαθυμότατα αἱρεῖσθαι. Χρὴ δὲ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. Ὡς ἔγωγε, καὶ ὑπὲρ σοῦ, καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων, αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι· καὶ ἡ εἴσοδος τῆς δίκης εἰς τὸ δικαστήριον, ὡς εἰσῆλθες, ἐξὸν μὴ εἰσελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης, ὡς ἐγένετο· καὶ τὸ τελευταῖον δὴ τουτὶ, ὥσπερ κατάγελως τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵ τινές σε οὐ διεσώσαμεν, οὐδὲ σὺ σαυτὸν, οἷόν τε ὂν καὶ δυνατὸν, εἴ τι καὶ σμικρὸν ἡμῶν ὄφελος ἦν. Ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα, μὴ ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ, σοί τε καὶ ἡμῖν· ἀλλὰ βουλεύου. Μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. Μία δὲ βουλή. Τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. Εἰ δὲ περιμενοῦμεν, ἀδύνατον, καὶ οὐκέτι οἷόν τε. Ἀλλὰ παντὶ

τρόπῳ, ὦ Σώκρατες, πείθου μοι, καὶ μηδαμῶς ἄλλως ποίει.

ΣΩΚΡ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη. Εἰ δὲ μὴ, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. Σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον, εἴτε μή· ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ, τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. Τοὺς δὴ λόγους οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν· ἀλλὰ σχεδόν τοι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ, οὕσπερ καὶ πρότερον. Ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις, ὥσπερ παῖδας, ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα, καὶ χρημάτων ἀφαιρέσεις.

ΚΡ. Πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐτά;

ΣΩΚΡ. Εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις, τὸν περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε, ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, ταῖς δὲ οὔ· ἢ, πρὶν ἐμὲ δεῖν ἀποθνήσκειν, καλῶς ἐλέγετο, νῦν δὲ κατάδηλος ἄρα ἐγένετο, ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. Ἐπιθυμῶ δ' ἔγωγε ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴτι μοι ἀλλοιότερος φανεῖται, ἐπειδή γε ὧδε ἔχω, ἢ ὁ αὐτὸς, καὶ ἐάσομεν χαίρειν, ἢ πεισόμεθα αὐτῷ. Ἐλέγετο δέ πως (ὡς ἐγῷμαι) ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων τι λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον· ὅτι τῶν δοξῶν ἃς οἱ ἄνθρωποι δοξάζουσι, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. Τοῦτο, πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγεσθαι; σὺ γὰρ, ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ μέλλειν ἀποθνήσκειν αὔριον, καὶ οὐκ ἄν σε παρακρούοι ἡ παροῦσα ξυμφορά. Σκόπει δή· Οὐχ ἱκανῶς δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾷν, ἀλλὰ τὰς μὲν, τὰς δ' οὔ; οὐδὲ πάντων, ἀλλὰ τῶν μὲν, τῶν δ' οὔ; τί φής; Ταῦτα οὐχὶ καλῶς λέγεται;

ΚΡ. Καλῶς.

ΣΩΚΡ. Οὐκοῦν τὰς μὲν χρηστὰς τιμᾷν, τὰς δὲ πονηράς, μή;

ΚΡ. Ναί.

ΣΩΚΡ. Χρησταὶ δὲ, οὐχ αἱ τῶν φρονίμων· πονηραὶ δὲ, αἱ τῶν ἀφρόνων;

ΚΡ. Πῶς δ' οὔ;

ΣΩΚΡ. Φέρε δὴ, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμναζόμενο ἀνὴρ καὶ τοῦτο πράττων, πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ, καὶ ψόγῳ, καὶ δόξῃ, τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου ὃς ἂν τυγχάνοι ἰατρὸς ἢ παιδοτρίβης ὤν;

ΚΡ. Ἑνὸς μόνου.

ΣΩΚΡ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους, καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους, τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν;

ΚΡ. Δηλαδή.

ΣΩΚΡ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον, καὶ γυμναστέον, καὶ ἐδεστέον γε, καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ, καὶ ἐπαΐοντι μᾶλλον, ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις.

ΚΡ. Ἔστι ταῦτα.

ΣΩΚΡ. Εἶεν. Ἀπειθήσας δὲ τῷ ἑνὶ, καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν, καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν, καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται;

ΚΡ. Πῶς γὰρ οὔ;

ΣΩΚΡ. Τί δ' ἔστι τὸ κακὸν τοῦτο; καὶ ποῖ τείνει, καὶ εἰς τι τῶν τοῦ ἀπειθοῦντος;

ΚΡ. Δηλονότι εἰς τὸ σῶμα· τοῦτο γὰρ διόλλυσι.

ΣΩΚΡ. Καλῶς λέγεις. Οὐκοῦν καὶ τἆλλα, ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διΐωμεν. Καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων, καὶ αἰσχρῶν καὶ καλῶν, καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡμῖν ἐστιν ἡ βουλὴ, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι, καὶ φοβεῖσθαι αὐτὴν, ἢ τῇ τοῦ ἑνὸς, εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμπαντας τοὺς

ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο, καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο; ἢ οὐδέν ἐστι τοῦτο;

ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

ΣΩΚΡ. Φέρε δὴ, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον, διολέσωμεν, πειθόμενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο σῶμα, ἢ οὐχί;

ΚΡ. Ναί.

ΣΩΚΡ. Ἄρ' οὖν βιωτὸν ἡμῖν ἐστὶ μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος;

ΚΡ. Οὐδαμῶς.

ΣΩΚΡ. Ἀλλὰ μετ' ἐκείνου ἆρα ἐστὶν ἡμῖν βιωτὸν διεφθαρμένου, ὃ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ' ἐστι τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν;

ΚΡ. Οὐδαμῶς.

ΣΩΚΡ. Ἀλλὰ τιμιώτερον;

ΚΡ. Πολύ γε.

ΣΩΚΡ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον, ὅ τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. Ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγεῖ, εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων, καὶ καλῶν, καὶ ἀγαθῶν, καὶ τῶν ἐναντίων. Ἀλλὰ μὲν δὴ, φαίη γ' ἄν τις· οἷοί τε εἰσὶν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι;

ΚΡ. Δῆλα δὴ καὶ ταῦτα, φαίη γ' ἄν τις, ὦ Σώκρατες.

ΣΩΚΡ. Ἀληθῆ λέγεις. Ἀλλ', ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ὅμοιος εἶναι τῷ προτέρῳ. Καὶ τόνδε δὲ αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν, ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ το εὖ ζῆν.

ΚΡ. Ἀλλὰ μένει

ΣΩΚΡ. Τὸ δ' εὖ, καὶ καλῶς, καὶ δικαίως, ὅτι ταὐτόν ἐστι, μένει, ἢ οὐ μένει;

ΚΡ. Μένει.

ΣΩΚΡ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον, ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι, μὴ ἀφιέντων Ἀθηναίων, ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα· εἰ δὲ μή, ἐῶμεν. Ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε χρημάτων ἀναλώσεως, καὶ δόξης, καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων, καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τε ἦσαν, οὐδενὶ ξὺν νῷ τούτων τῶν πολλῶν· ἡμῖν δ' (ἐπειδὴ ὁ λόγος οὕτω αἱρεῖ) μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ, ἢ ὅπερ νῦν δὴ ἐλέγομεν· πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες· κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι, οὔτ' εἰ ἀποθνήσκειν δεῖ παραμένοντας, καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο ὁτιοῦν πάσχειν, πρὸ τοῦ ἀδικεῖν.

ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ὅρα δὲ τί δρῶμεν;

ΣΩΚΡ. Σκοπῶμεν, ὦ 'γαθέ, κοινῇ· καὶ εἴ πῃ ἔχεις ἀντιλέγειν, ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε, ἀκόντων Ἀθηναίων, ἐμὲ ἀπιέναι. Ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι, πεῖσαί σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος. Ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνασθαι τὸ ἐρωτώμενον, ᾗ ἂν μάλιστα οἴῃ.

ΚΡ. Ἀλλὰ πειράσομαι.

ΣΩΚΡ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι; ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν, οὔτε ἀγαθόν, οὔτε καλόν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; ὅπερ καὶ ἄρτι ἐλέγετο· ἢ πᾶσαι ἡμῖν αἱ

ἐκεῖναι πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσί; καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοίδε γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι, ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἡμῖν ἐλέγετο, εἴτε φασὶν οἱ πολλοὶ, εἴτε μή; καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν, εἴτε καὶ πρᾳότερα, ὅμως τόγε ἀδικεῖν τῷ ἀδικοῦντι, καὶ κακὸν, καὶ αἰσχρὸν τυγχάνει ὂν πάντι τρόπῳ; φαμὲν, ἢ οὔ;

ΚΡ. Φαμέν.

ΣΩΚΡ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ δῆτα.

ΣΩΚΡ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται· ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ φαίνεται.

ΣΩΚΡ. Τί δαὶ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ;

ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες.

ΣΩΚΡ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον, ἢ οὐ δίκαιον;

ΚΡ. Οὐδαμῶς.

ΣΩΚΡ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.

ΚΡ. Ἀληθῆ λέγεις.

ΣΩΚΡ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ᾿ ἂν ὁτιοῦν πάσχῃ ὑπ᾿ αὐτῶν. Καὶ ὅρα, ὦ Κρίτων, ταῦτα ὁμολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς. Οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ, καὶ δόξει· οἷς δ᾿ οὕτω δέδοκται, καὶ οἷς μὴ, τούτοις οὐκ ἔστι κοινὴ βουλὴ, ἀλλ᾿ ἀνάγκη, τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας ἀλλήλων τὰ βουλεύματα. Σκόπει οὖν δὴ καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς, καὶ ξυνδοκεῖ σοι, καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος, οὔτε τοῦ ἀδικεῖν, οὔτε τοῦ ἀνταδικεῖν, οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς· ἢ ἀφίστασαι, καὶ οὐ κοινωνεῖς τῆς

ἀρχῆς. Ἐμοὶ μὲν γὰρ, καὶ πάλαι οὕτω, καὶ νῦν ἔτι δοκεῖ· σοὶ δὲ, εἴ πη ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. Εἰ δὲ ἐμμένεις τοῖς πρόσθεν. τὸ μετὰ τοῦτο ἄκουε.

ΚΡ. Ἀλλ' ἐμμένω τε καὶ ξυνδοκεῖ μοι. Ἀλλὰ λέγε.

ΣΩΚΡ. Λέγω δ' αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δὲ ἐρωτῶ· πότερον, ἃ ἄν τις ὁμολογήσῃ τῷ δίκαια ὄντα, ποιητέον, ἢ ἐξαπατητέον;

ΚΡ. Ποιητέον.

ΣΩΚΡ. Ἐκ τούτων δὴ ἄθρει. Ἀπιόντες ἐνθένδε ἡμεῖς, μὴ πείσαντες τὴν πόλιν, πότερον κακῶς τινὰς ποιοῦμεν, καὶ ταῦτα, οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν, οἷς ὡμολογήσαμεν, δικαίοις οὖσιν, ἢ οὔ;

ΚΡ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ.

ΣΩΚΡ. Ἀλλ' ὧδε σκόπει. Εἰ μέλλουσιν ἡμῖν ἐνθένδε, εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι, καὶ τὸ κοινὸν τῆς πόλεως, ἐπιστάντες ἔροιντο· εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, διανοεῖ τούς τε νόμους ἡμᾶς ἀπολέσαι, καὶ ξύμπασαν τὴν πόλιν, τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι, καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ' ὑπὸ ἰδιωτῶν, ἄκυροί τε γίγνωνται, καὶ διαφθείρωνται; τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. Ἢ ἐροῦμεν πρὸς αὐτοὺς, ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις, καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; ταῦτα, ἢ τί ἐροῦμεν;

ΚΡ. Ταῦτα, νὴ Δία, ὦ Σώκρατες.

ΣΩΚΡ. Τί οὖν; ἂν εἴπωσιν οἱ νόμοι· Ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοὶ, ἢ ἐμμένειν σε ταῖς δίκαις, αἷς ἂν ἡ πόλις δικάζοι; Εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν· Ὅτι, ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀπο-

κρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾷν τε, καὶ ἀποκρίνεσθαι. Φέρε γὰρ, τί ἐγκαλῶν ἡμῖν, καὶ τῇ πόλει, ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ, καὶ ἐφύτευσέ σε; φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφει τι, ὡς οὐ καλῶς ἔχουσιν; Οὐ μέμφομαι, φαίην ἄν. Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτῳ τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν; Καλῶς, φαίην ἄν. Εἶεν. Ἐπειδὴ δὲ ἐγένου τε, καὶ ἐξετράφης, καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν, πρῶτον μὲν, ὡς οὐχὶ ἡμέτερος ἦσθα, καὶ ἔκγονος, καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦτο οὕτως ἔχει, ἆρ' ἐξίσου οἴει εἶναί σοι δίκαιον, καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, ταῦτα καὶ σὺ ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξίσου ἦν τὸ δίκαιον, καὶ πρὸς δεσπότην (εἴ σοι ὢν ἐτύγχανεν), ὥστε, ἅπερ πάσχοις, ταῦτα καὶ ἀντιποιεῖν, οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν, οὔτε τυπτόμενον ἀντιτύπτειν, οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἄρα, καὶ τοὺς νόμους, ἐξέσται σοι, ὥστε, ἐὰν ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι, δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ δὴ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις, ταῦτα ποιῶν, δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελούμενος; ἢ οὕτως εἶ σοφὸς, ὥστε λέληθέ σε, ὅτι μητρός τε καὶ πατρὸς, καὶ τῶν ἄλλων προγόνων ἁπάντων, τιμιώτερόν ἐστιν ἡ πατρὶς, καὶ σεμνότερον, καὶ ἁγιώτερον, καὶ ἐν μείζονι μοίρᾳ, καὶ παρὰ θεοῖς, καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν ἔχουσι; καὶ σέβεσθαι δεῖ, καὶ μᾶλλον ὑπείκειν, καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν, ἢ πατέρα; καὶ, ἢ πείθειν, ἢ ποιεῖν ἃ ἂν κελεύῃ; καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα; ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέα ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει;

καὶ οὐχ ὑπεικτέον, οὐδὲ ἀναχωρητέον, οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ, καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ, καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις τε καὶ ἡ πατρίς; ἢ πείθειν αὐτὴν, ᾗ τὸ δίκαιον πέφυκε; βιάζεσθαι δὲ οὐχ ὅσιον, οὔτε μητέρα, οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα; τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους, ἢ οὔ;

ΚΡ. Ἔμοιγε δοκεῖ.

ΣΩΚΡ. Σκόπει τοίνυν, ὦ Σώκρατες (φαῖεν ἂν ἴσως οἱ νόμοι) εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾷν ἃ νῦν ἐπιχειρεῖς. Ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων, ὧν οἷοί τε ἦμεν καλῶν, σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις, ὅμως προαγορεύομεν, τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμάσῃ, καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι, λαβόντα τὰ αὑτοῦ, ἀπιέναι ὅποι ἂν βούληται. Καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν, οὐδ᾽ ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι (εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις), ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθὼν, ἰέναι ἐκεῖσε ὅποι ἂν βούληται, ἔχων τὰ αὑτοῦ. Ὃς δ᾽ ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς, τάς τε δίκας δικάζομεν, καὶ τἄλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα· καὶ τὸν μὴ πειθόμενον, τριχῇ φαμὲν ἀδικεῖν· ὅτι τε γεννήταις οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι, οὔτε πείθεται, οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν· προτιθέντων ἡμῶν, καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν, ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυεῖν θάτερα, ἢ πείθειν ἡμᾶς, ἢ ποιεῖν· τούτων οὐδέτερα ποιεῖ. Ταύταις δὴ φαμὲν καί σε, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις, ἃ ἐπινοεῖς· καὶ οὐχ ἥκιστα Ἀθηναίων σε, ἀλλ᾽ ἐν τοῖς μάλιστα· Εἰ οὖν ἐγὼ εἴποιμι, διὰ τί δή; ἴσως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες, ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω

ταύτην τὴν ὁμολογίαν· φαῖεν γὰρ ἄν· ὅτι, ὦ Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήρια ἐστὶν, ὅτι σοὶ καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις. Οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε· καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμὸν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος· οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι. Οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως, οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν, καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ᾑροῦ, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύσεσθαι· τά τε ἄλλα, καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. Ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ, ὅπερ νῦν, ἀκούσης τῆς πόλεως, ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι· σὺ δὲ τότε μὲν ἐκαλλωπίζου, ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι τεθνάναι σε, ἀλλ' ᾑροῦ (ὡς ἔφησθα) πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ, οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνει, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπει, ἐπιχειρῶν διαφθεῖραι· πράττεις τε, ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε, καὶ τὰς ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύεσθαι· πρῶτον μὲν οὖν ἡμῖν τοῦτο αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν, φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ' ἡμᾶς ἔργῳ, ἀλλ' οὐ λόγῳ· ἢ οὐκ ἀληθῆ; Τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν;

ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες.

ΣΩΚΡ. Ἄλλο τι οὖν, φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς, καὶ ὁμολογίας παραβαίνεις, οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας, οὐδὲ ἀπατηθεὶς, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι· ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἦν σοι ἀπιέναι, εἰ μὴ ἠρέσκομεν ἡμεῖς, μηδὲ δίκαιοι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. Σὺ δὲ οὔτε Λακεδαίμονα προῃροῦ, οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων, οὔτε τῶν βαρβάρων· ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας, ἢ οἱ χωλοί τε

καὶ τυφλοὶ, καὶ οἱ ἄλλοι ἀνάπηροι· οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε, καὶ ἡμεῖς οἱ νόμοι δηλονότι. Τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν δὲ δὴ οὐκ ἐμμένεις τοῖς ὡμολογημένοις· ἐμμενεῖς δὲ, ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσει, ἐκ τῆς πόλεως ἐξελθών. Σκόπει γὰρ δὴ, ταῦτα παραβὰς, καὶ ἐξαμαρτῶν τι τούτων, τί ἀγαθὸν ἐργάσει σαυτὸν, ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. Ὅτι μὲν γὰρ κινδυνεύσουσι γέ σου οἱ ἐπιτήδειοι, καὶ αὐτοὶ φεύγειν, καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον. Αὐτὸς δὲ πρῶτον μὲν, ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε, ἢ Μεγάραδε (εὐνομοῦνται γὰρ ἀμφότεραι), πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ· καὶ ὅσοιπερ κήδονται τῶν αὐτῶν πόλεων, ὑποβλέψονταί σε, διαφθορέα ἡγούμενοι τῶν νόμων· καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι. Ὅστις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε, καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. Πότερον οὖν φεύξει τάς τε εὐνομουμένας πόλεις, καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους, καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν σοι ζῆν ἔσται; ἢ πλησιάσεις τούτοις, καὶ ἀναισχυντήσεις διαλεγόμενός τινας λόγους, ὦ Σώκρατες, ἢ οἵουσπερ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις, καὶ τὰ νόμιμα, καὶ οἱ νόμοι; καὶ οὐκ οἴει, ἄσχημον φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. Ἀλλ' ἐκ μὲν τούτων τῶν πόλεων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοὺς τοῦ Κρίτωνος. Ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία, καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες, σκευήν τινα περιθέμενος, ἢ διφθέραν λαβὼν, ἢ ἄλλα, οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας. Ὅτι δὲ γέρων ἀνὴρ, σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκὸς, ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβὰς, οὐδεὶς, ὃς ἐρεῖ; ἴσως, ἂν μή τινα λυπῇς· εἰ δὲ μὴ, ἀκούσει, ὦ Σώκρατες, πολλὰ

καὶ ἀνάξια σαυτοῦ. Ὑπερχόμενος δὴ πάντας ἀνθρώπους βιώσει, καὶ δουλεύων. Τί ποιῶν, ἢ εὐωχούμενος ἐν Θετταλίᾳ; ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν. Λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης τε, καὶ τῆς ἄλλης ἀρετῆς ποῦ ἡμῖν ἔσονται; ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δέ; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν, θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι, σοῦ ζῶντος, βέλτιον θρέψονται καὶ παιδεύσονται, καὶ μὴ ξυνόντος σου αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. Πότερον δὲ ἐὰν μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς Ἅδου ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστι τῶν σοὶ φασκόντων ἐπιτηδείων εἶναι, οἴεσθαί γε χρή. Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι, μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μήτε ἄλλο μηδὲν, πρὸ τοῦ δικαίου· ἵνα εἰς Ἅδου ἐλθὼν, ἔχῃς ταῦτα πάντα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. Οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι, οὐδὲ δικαιότερον, οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί· οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. Ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει (ἐὰν ἀπίῃς) οὐχ ὑφ' ἡμῶν τῶν νόμων, ἀλλ' ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε, καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε, καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς, καὶ κακὰ ἐργασάμενος τούτους, οὓς ἥκιστα ἔδει, σαυτόν τε, καὶ φίλους, καὶ πατρίδα, καὶ ἡμᾶς· ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ, οἱ ἐν Ἅδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες, ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος. Ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν, ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς.

Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι, ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ Κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν· καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν. Ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δο-

κοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. Ὅμως μέντοι, εἴ τι οἴει πλέον ποιήσειν, λέγε.

ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν.

ΣΩΚΡ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ Θεὸς ὑφηγεῖται.

Du Vice et de la Vertu.

Τὰ ἱμάτια δοκεῖ θερμαίνειν τὸν ἄνθρωπον, οὐκ αὐτὰ δή που θερμαίνοντα καὶ προσβάλλοντα τὴν θερμότητα· καθ' ἑαυτὸ γὰρ ἕκαστον αὐτῶν ψυχρόν ἐστιν ᾗ καὶ πολλάκις καυματιζόμενοι καὶ πυρέττοντες, ἐξ ἑτέρων ἕτερα μεταλαμβάνουσιν· ἀλλ' ἣν ὁ ἄνθρωπος ἀναδίδωσιν ἐξ ἑαυτοῦ θερμότητα, ταύτην ἡ ἐσθὴς τῷ σώματι προσπεσοῦσα συνέχει καὶ περιστέλλει, καὶ καθειργνυμένην εἰς τὸ σῶμα οὐκ ἐᾷ πάλιν σκεδάννυσθαι. Ταὐτὸ δὴ τοῦτο τοῖς πράγμασιν ὑπάρχον, ἐξαπατᾷ τοὺς πολλούς· ὡς, ἂν οἰκίας μεγάλας περιβάλωνται, καὶ πλῆθος ἀνδραπόδων καὶ χρημάτων συναγάγωσιν, ἡδέως ὡς βιωσομένους. Τὸ δὲ ἡδέως ζῆν καὶ ἱλαρῶς, οὐκ ἔξωθέν ἐστιν, ἀλλὰ τοὐναντίον ὁ ἄνθρωπος τοῖς περὶ αὐτὸν πράγμασιν ἡδονὴν καὶ χάριν, ὥσπερ ἐκ πηγῆς τοῦ ἤθους, προστίθησιν.

Αἰθομένου δὲ πυρὸς, γεραρώτερος οἶκος ἰδέσθαι,

καὶ πλοῦτος ἡδίων, καὶ δόξα λαμπροτέρα, καὶ δύναμις, ἂν τὸ ἀπὸ τῆς ψυχῆς ἔχῃ γῆθος. Ὅπου καὶ πενίαν καὶ φυγὴν καὶ γῆρας ἐλαφρῶς καὶ προσηνῶς πρὸς εὐκολίαν καὶ πρᾳότητα τρόπου φέρουσιν. Ὡς γὰρ ἀρώματα τρίβωνας εὐώδεις καὶ ῥάκια ποιεῖ, τοῦ δὲ Ἀγχίσου τὸ ῥάκος ἰχῶρα πονηρὸν ἐξεδίδου, μοτοῦ καταστάζοντα βύσσινον φάρος, οὕτως μετ' ἀρετῆς καὶ δίαιτα πᾶσα καὶ βίος ἄλυπός ἐστι καὶ ἐπιτερπής· ἡ δὲ κακία καὶ τὰ λαμπρὰ φαινόμενα καὶ πολυτελῆ καὶ σεμνὰ μιγνυμένη, λυπηρὰ καὶ ναυτιώδη καὶ δυσπρόσδεκτα παρέχει τοῖς κεκτημένοις.

Οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται,

Ἐπὰν δ᾽ ἀνοίξῃ τὰς θύρας, τρισάθλιος,

γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχεται. Καίτοι γυναικὸς εὐ χαλεπῶς ἄν τις ἀπαλλαγείη πονηρᾶς, ἀνὴρ ὤν, μηδ᾽ ἀνδράποδον· πρὸς δὲ τὴν ἑαυτοῦ κακίαν οὐκ ἔστι γραψάμενον ἀπόλειψιν, ἤδη πραγμάτων ἀφεῖσθαι, καὶ ἀναπαύεσθαι γενόμενον καθ᾽ αὑτὸν, ἀλλ᾽ ἀεὶ συνοικοῦσα τοῖς σπλάγχνοις καὶ προσπεφυκυῖα νύκτωρ καὶ μεθ᾽ ἡμέραν,

Εὕει ἄτερ δαλοῦ, καὶ ὠμῷ γήραϊ δῶκε,

βαρεῖα συνέκδημος οὖσα δι᾽ ἀλαζονείαν, καὶ πολυτελὴς σύνδειπνος ὑπὸ λιχνείας, καὶ σύγκοιτος ὀδυνηρὰ, φροντίσι καὶ μερίμναις καὶ ζηλοτυπίαις ἐκκόπτουσα τὸν ὕπνον καὶ διαφθείρουσα. Καὶ γὰρ ὃ καθεύδουσι, τοῦ σώματος ὕπνος ἐστὶ καὶ ἀνάπαυσις, τῆς δὲ ψυχῆς πτοῖαι καὶ ὄνειροι καὶ ταραχαὶ, διὰ δεισιδαιμονίαν.

Ὅταν δὲ νυστάζοντά μ᾽ ἡ λύπη λάβῃ,
Ἀπόλλυμαι ὑπὸ τῶν ἐνυπνίων,

φησί τις. Οὕτω δὲ καὶ φθόνος καὶ φόβος καὶ θυμὸς καὶ ἀκολασία, διατίθησι· μεθ᾽ ἡμέραν μὲν γὰρ ἔξω βλέπουσα καὶ συσχηματιζομένη ἡ κακία πρὸς ἑτέρους, δυσωπεῖται καὶ περικαλύπτει τὰ πάθη, καὶ οὐ παντάπασι ταῖς ὁρμαῖς ἐκδίδωσιν ἑαυτὴν, ἀλλ᾽ ἀντιτείνει καὶ μάχεται πολλάκις. Ἐν δὲ τοῖς ὕπνοις ἀποφυγοῦσα δόξας καὶ νόμους, καὶ πορρωτάτω γενομένη τοῦ δεδιέναι καὶ αἰδεῖσθαι, πᾶσαν ἐπιθυμίαν κινεῖ, καὶ ἐπανεγείρει τὸ κακόηθες καὶ τὸ ἀκόλαστον· ὡς γάρ φησιν ὁ Πλάτων, καὶ βρώσεις ἀθέσμους προσάγεται, καὶ πράξεως οὐδεμιᾶς ἀπέχεται, ἀπολαύουσα τοῦ παρανομεῖν, ὡς ἀνυστόν ἐστιν, εἰδώλοις καὶ φάσμασιν, εἰς οὐδεμίαν ἡδονὴν, οὐδὲ τελείωσιν τοῦ ἐπιθυμοῦντος τελευτῶσιν, ἀλλὰ κινεῖν μόνον καὶ διαγριαίνειν τὰ πάθη καὶ τὰ νοσήματα δυναμένοις. Ποῦ τοίνυν τὸ ἡδὺ τῆς κακίας ἐστὶν, εἰ μηδαμοῦ τὸ ἀμέριμνον, τὸ

ἄλυπον, μηδὲ αὐτάρκεια, μηδὲ ἀταραξία, μηδὲ ἡσυχία; ταῖς μὲν γὰρ τῆς σαρκὸς ἡδοναῖς ἡ τοῦ σώματος εὐκρασία καὶ ὑγίεια χώραν καὶ γένεσιν δίδωσι· τῇ δὲ ψυχῇ οὐκ ἔστιν ἐγγενέσθαι γῆθος οὐδὲ χαρὰν, ἂν μὴ τὸ ἄφοβον καὶ θαῤῥαλέον ὥσπερ ἕδραν, ἢ γαλήνην ἄκλυστον ὑποβάληται· ἀλλὰ κἂν ὑπομειδιάσῃ τις ἐλπὶς ἢ τέρψις, αὕτη ταχὺ, φροντίδος ἐκραγείσης ὥσπερ εὐδία σπιλάδος συνεχύθη καὶ συνεταράχθη. Ἄθροιζε χρυσίον, σύναγε ἀργύριον, οἰκοδόμει περιπάτους, ἔμπλησον ἀνδραπόδων τὴν οἰκίαν καὶ χρεωστῶν τὴν πόλιν, ἂν μὴ τὰ πάθη τῆς ψυχῆς καταστορέσῃς, καὶ τὴν ἀπληστίαν παύσῃς, καὶ φόβων καὶ φροντίδων ἀπαλλάξῃς σαυτὸν, οἶνον διηθεῖς πυρέττοντι, καὶ χολικῷ μέλι προσφέρεις, καὶ σιτία καὶ ὄψα κοιλιακοῖς ἑτοιμάζεις καὶ δυσεντερικοῖς, μὴ στέγουσι, μηδὲ ῥωννυμένοις, ἀλλὰ προσδιαφθειρομένοις ὑπ' αὐτῶν. Οὐχ ὁρᾷς τοὺς νοσοῦντας, ὅτι τῶν βρωμάτων τὰ καθαριώτατα καὶ πολυτελέστερα δυσχεραίνουσι καὶ διαπτύουσι καὶ παραιτοῦνται, προσφερόντων καὶ βιαζομένων· εἶτα τῆς κράσεως μεταβαλούσης, καὶ πνεύματος χρηστοῦ καὶ γλυκέος αἵματος ἐγγενομένου καὶ θερμότητος οἰκείας, ἀναστάντες ἄρτον λιτὸν ἐπὶ τυρῷ καὶ καρδάμῳ χαίρουσι καὶ ἀσμενίζουσιν ἔσθοντες; τοιαύτην ὁ λόγος ἐμποιεῖ τῇ ψυχῇ διάθεσιν· καὶ αὐτάρκης ἔσῃ, ἐὰν μάθῃς τί τὸ καλὸν καὶ ἀγαθόν ἐστι. Τρυφήσεις ἐν πενίᾳ καὶ βασιλεύσεις, καὶ τὸν ἀπράγμονα βίον καὶ ἰδιώτην οὐδὲν ἧττον ἀγαπήσεις ἢ τὸν ἐπὶ στρατηγίαις καὶ ἡγεμονίαις. Οὐ βιώσῃ φιλοσοφήσας ἀηδῶς, ἀλλὰ πανταχοῦ ζῆν ἡδέως μαθήσῃ καὶ ἀπὸ πάντων. Εὐφρανεῖ σε πλοῦτος, πολλοὺς εὐεργετοῦντα, καὶ πενία, πολλὰ μὴ μεριμνῶντα, καὶ δόξα, τιμώμενον· καὶ ἀδοξία, μὴ φθονούμενον.

PLUTARQUE.

De la pratique des vertus morales

Διττῆς δὲ τῆς ἀρετῆς οὔσης, τῆς μὲν, διανοητικῆς, τῆς δὲ, ἠθικῆς· ἡ μὲν διανοητικὴ τὸ πλεῖστον ἐκ διδασκαλίας ἔχει καὶ τὴν

γένεσιν καὶ τὴν αὔξησιν· διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου· ἡ δ' ἠθικὴ, ἐξ ἔθους περιγίνεται· ὅθεν καὶ τοὔνομα ἔσχηκε, μικρὸν παρεκκλίνον ἀπὸ τοῦ ἔθους· ἐξ οὗ καὶ δῆλον ὅτι οὐδεμία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν ἐγγίνεται· οὐδὲν γὰρ τῶν φύσει ὄντων, ἄλλως ἐθίζεται· οἷον, ὁ λίθος φύσει κάτω φερόμενος, οὐκ ἂν ἐθισθείη ἄνω φέρεσθαι, οὐδ' ἂν μυριάκις αὐτὸν ἐθίζῃ τις, ἄνω ῥίπτων· οὐδὲ τὸ πῦρ, κάτω· οὐδ' ἄλλο οὐδὲν τῶν ἄλλως πεφυκότων, ἄλλως ἂν ἐθισθείη· οὔτ' ἄρα φύσει, οὔτε παρὰ φύσιν ἐγγίνονται αἱ ἀρεταὶ, ἀλλὰ πεφυκόσι μὲν ἡμῖν δέξασθαι αὐτὰς, τελειουμένοις δὲ διὰ τοῦ ἔθους. Ἔτι ὅσα μὲν φύσει ἡμῖν παραγίνεται, τὰς δυνάμεις τὰς τούτων πρότερον κομιζόμεθα· ὕστερον δὲ τὰς ἐνεργείας ἀποδίδομεν· ὅπερ ἐπὶ τῶν αἰσθήσεων δῆλον· οὐ γὰρ ἐκ τοῦ πολλάκις ἰδεῖν, ἢ πολλάκις ἀκοῦσαι, τὰς αἰσθήσεις ἐλάβομεν, ἀλλ' ἀνάπαλιν, ἔχοντες ἐχρησάμεθα, οὐ χρησάμενοι ἔχομεν. Τὰς δ' ἀρετὰς λαμβάνομεν ἐνεργήσαντες πρότερον, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἃ γὰρ δεῖ μαθόντας ποιεῖν, ταῦτα ποιοῦντες μανθάνομεν· οἷον οἰκοδομοῦντες, οἰκοδόμοι γίνονται· καὶ κιθαρίζοντες, κιθαρισταί· οὕτω δὲ καὶ τὰ μὲν δίκαια πράττοντες, δίκαιοι γινόμεθα· τὰ δὲ σώφρονα, σώφρονες· τὰ δ' ἀνδρεῖα, ἀνδρεῖοι. Μαρτυρεῖ δὲ καὶ τὸ γινόμενον ἐν ταῖς πόλεσιν· οἱ γὰρ νομοθέται τοὺς πολίτας ἐθίζοντες, ποιοῦσιν ἀγαθούς· καὶ τὸ μὲν βούλημα παντὸς νομοθέτου τοῦτ' ἐστίν· ὅσοι δὲ μὴ εὖ αὐτὸ ποιοῦσιν, ἁμαρτάνουσι· καὶ διαφέρει τούτῳ πολιτεία πολιτείας, ἀγαθὴ φαύλης. Ἔτι, ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐτῶν καὶ γίνεται πᾶσα ἀρετὴ, καὶ φθείρεται· ὁμοίως δὲ καὶ τέχνη· ἐκ γὰρ τοῦ κιθαρίζειν καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ γίνονται κιθαρισταί· ἀνάλογον δὲ καὶ οἱ οἰκοδόμοι, καὶ οἱ λοιποὶ πάντες· ἐκ μὲν γὰρ τοῦ εὖ οἰκοδομεῖν, ἀγαθοὶ οἰκοδόμοι ἔσονται, ἐκ δὲ τοῦ κακῶς, κακοί· εἰ γὰρ μὴ οὕτως εἶχεν, οὐδὲν ἂν ἔδει τοῦ διδάξοντος· ἀλλὰ πάντες ἂν ἐγίνοντο ἀγαθοὶ, ἢ κακοί. Οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει· πράττοντες γὰρ τὰ ἐν τοῖς συναλλάγμασι τοῖς πρὸς τοὺς ἀνθρώπους, γινόμεθα οἱ μὲν δίκαιοι, οἱ δὲ ἄδικοι· πράττοντες δὲ τὰ ἐν τοῖς

δεινοῖς, καὶ ἐθιζόμενοι ἢ φοβεῖσθαι ἢ θαῤῥεῖν, οἱ μὲν ἀνδρεῖοι, οἱ δὲ δειλοί. Ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ἐπιθυμίας ἔχει, καὶ τὰ περὶ τὰς ὀργάς· οἱ μὲν γὰρ, σώφρονες καὶ πρᾶοι γίνονται· οἱ δὲ, ἀκόλαστοι καὶ ὀργίλοι· οἱ μὲν, ἐκ τοῦ οὑτωσὶ ἐν αὐτοῖς ἀναστρέφεσθαι· οἱ δὲ, ἐκ τοῦ οὕτω. Καὶ ἑνὶ δὴ λόγῳ, ἐκ τῶν ὁμοίων ἐνεργειῶν αἱ ἕξεις γίνονται· διὸ δεῖ τὰς ἐνεργείας ποιὰς ἀποδιδόναι· κατὰ γὰρ τὰς τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις· οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ· μᾶλλον δὲ, τὸ πᾶν.

ARIST., *Morales*, liv. II, c. I.

Du grand Parleur.

Ἡ δὲ λαλιὰ, εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν δόξειεν ἀκρασία τοῦ λόγου· ὁ δὲ λάλος τοιοῦτός τις, οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοῦν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει, καὶ ὅτι αὐτὸς πάντα οἶδε, καὶ, ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται· καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ὑποβάλλειν, εἴπας· Σὺ μὴ ἐπιλάθῃ ὃ μέλλεις λέγειν· καὶ, Εὖγε, ὅτι με ὑπέμνησας, καὶ, Τὸ λαλεῖν ὡς χρήσιμόν που, καὶ, Ὃ παρέλιπον, καὶ, Ταχύ γε συνῆκας τὸ πρᾶγμα, καὶ, Πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ· καὶ ἑτέρας ἀφορμὰς τοιαύτας πορίσασθαι, ὥστε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχάνοντα. Καὶ ὅτ' ἂν γε τοὺς καθ' ἕνα ἀποκναίσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους καὶ συνεστηκότας πορευθῆναι, καὶ φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας. Καὶ εἰς τὰ διδασκαλεῖα δὲ καὶ εἰς τὰς παλαίστρας εἰσιὼν (5), κωλύειν τοὺς παῖδας προμανθάνειν τοσαῦτα, καὶ προσλαλεῖν τοῖς παιδοτρίβαις καὶ διδασκάλοις. Καὶ τοὺς ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι, καὶ ἀποκαταστῆσαι εἰς τὴν οἰκίαν. Καὶ πυθόμενος τὰς ἐκκλησίας ἀπαγγελεῖν. Προσδιηγήσασθαι δὲ καὶ τὴν ἐπ' Ἀριστοφῶντος ποτὲ γενομένην τοῦ ῥήτορος μάχην (6), καὶ τὴν τῶν Λακεδαιμονίων ἐπὶ Λυσάνδρου, καὶ οὕς ποτε λόγους αὐτὸς εἶπεν εὐδοκιμήσας ἐν

τῷ δήμῳ. Καὶ κατὰ τῶν πληθῶν γε ἅμα διηγούμενος κατηγορίαν παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι, ἢ νυστάξαι, ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. Καὶ συνδικάζων δὲ, κωλῦσαι κρῖναι, καὶ συνθεωρῶν, θεάσασθαι, καὶ συνδειπνῶν, φαγεῖν· λέγων, ὅτι χαλεπὸν τῷ λάλῳ ἐστὶ σιωπᾶν, καὶ ὡς ἐν ὑγρῷ ἐστὶν ἡ γλῶττα, καὶ ὡς οὐκ ἂν σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν εἶναι λαλίστερος. Καὶ σκωπτόμενος ὑπομεῖναι καὶ ὑπὸ τῶν αὐτοῦ παιδίων, ὅτ' ἂν αὐτὸν ἤδη καθεύδειν βουλόμενον κελεύῃ λέγοντα ταῦτα· « Λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ. »

THÉOPHR., *Caractères*, c. VII.

Bienfaits de la Divinité.

Παρὰ τῶν θεῶν, τὸ ἀγαθοὺς πάππους (7), ἀγαθοὺς γονέας (8), ἀγαθὴν ἀδελφὴν (9), ἀγαθοὺς διδασκάλους, ἀγαθοὺς οἰκείους, συγγενεῖς, φίλους, σχεδὸν ἅπαντα σχεῖν. Καὶ ὅτι περὶ οὐδένα αὐτῶν προέπεσον πλημμελῆσαί τι, καίτοι διάθεσιν ἔχων τοιαύτην, ἀφ' ἧς, εἰ ἔτυχεν, κἂν ἔπραξά τι τοιοῦτο· τῶν θεῶν δὲ εὐποιΐα τὸ μηδεμίαν συνδρομὴν πραγμάτων γενέσθαι, ἥτις ἔμελλέ με ἐλέγξειν. Τὸ ἄρχοντι καὶ πατρὶ ὑποταχθῆναι, ὃς ἔμελλε πάντα τὸν τῦφον ἀφαιρήσειν μου, καὶ εἰς ἔννοιαν ἄξειν τοῦ, ὅτι δυνατόν ἐστιν ἐν αὐλῇ βιοῦντα, μήτε δορυφορήσεων χρῄζειν, μήτε ἐσθήτων σημειωτῶν, μήτε λαμπάδων, καὶ ἀνδριάντων τοιῶνδέ τινων, καὶ τοῦ ὁμοίου κόμπου· ἀλλ' ἔξεστιν ἐγγυτάτω ἰδιώτου συστέλλειν ἑαυτὸν, καὶ μὴ διὰ τοῦτο ταπεινότερον ἢ ῥαθυμότερον ἔχειν πρὸς τὰ ὑπὲρ τῶν κοινῶν ἡγεμονικῶς πραχθῆναι δέοντα. Τὸ ἀδελφοῦ (10) τοιούτου τυχεῖν, δυναμένου μὲν διὰ ἤθους ἐπεγεῖραί με πρὸς ἐπιμέλειαν ἐμαυτοῦ, ἅμα δὲ καὶ τιμῇ καὶ στοργῇ εὐφραίνοντός με. Τὸ μὴ ἐπιπλέον με προκόψαι ἐν ῥητορικῇ, καὶ ποιητικῇ, καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν, ἐν οἷς ἴσως ἂν κατεσχέθην, εἰ ᾐσθόμην ἐμαυτὸν εὐόδως προϊόντα.

Τὸ φθάσαι, τοὺς τροφέας ἐν ἀξιώματι καταστῆσαι, οὗ δὴ ἐδόκουν μοι ἐπιθυμεῖν, καὶ μὴ ἀναβαλέσθαι ἐλπίδι, τοῦ με, ἐπεὶ νέοι ἔτι ἦσαν, ὕστερον αὐτὸ πράξειν. Τὸ γνῶναι Ἀπολλώνιον (11), Ῥούστικον (12), Μάξιμον (13). Τὸ φαντασθῆναι περὶ τοῦ κατὰ φύσιν βίου ἐναργῶς καὶ πολλάκις, οἷός τίς ἐστι· ὥστε, ὅσον ἐπὶ τοῖς θεοῖς, καὶ ταῖς ἐκεῖθεν διαδόσεσι καὶ συλλήψεσι, καὶ ἐπινοίαις, μηδὲν κωλύειν ἤδη κατὰ φύσιν ζῆν με, ἢ ἀπολείπεσθαι ἔτι τούτου παρὰ τὴν ἐμὴν αἰτίαν, καὶ παρὰ τὸ μὴ διατηρεῖν τὰς ἐκ τῶν θεῶν ὑπομνήσεις, καὶ μονονουχὶ διδασκαλίας. Τὸ μέλλουσαν νέαν τελευτᾷν τὴν τεκοῦσαν, ὅμως οἰκῆσαι μετ' ἐμοῦ τὰ τελευταῖα ἔτη. Τὸ ὁσάκις ἐβουλήθην ἐπικουρῆσαί τινι πενομένῳ, ἢ εἰς ἄλλο τι χρήζοντι, μηδέποτε ἀκοῦσαί με, ὅτι οὐκ ἔστι μοι χρήματα, ὅθεν γένηται· καὶ τὸ αὐτῷ ἐμοὶ χρείαν ὁμοίαν, ὡς παρ' ἑτέρου μεταλαβεῖν, μὴ συμπεσεῖν. Τὸ τὴν γυναῖκα τοιαύτην εἶναι, οὑτωσὶ μὲν πειθήνιον, οὕτω δὲ φιλόστοργον, οὕτω δὲ ἀφελῆ. Τὸ ἐπιτηδείων τροφέων εἰς τὰ παιδία εὐπορῆσαι. Τὸ, ὅπως ἐπεθύμησα φιλοσοφίας, μὴ ἐμπεσεῖν εἴς τινα σοφιστὴν, μηδὲ ἀποκαθῆσαι ἐπὶ τοὺς συγγραφεῖς, ἢ συλλογισμοὺς ἀναλύειν, ἢ περὶ τὰ μετεωρολογικὰ καταγίνεσθαι. Πάντα γὰρ ταῦτα θεῶν βοηθῶν καὶ τύχης δεῖται.

Marc Aurèle, liv. 1, § 17.

De ceux qui se rendent esclaves des grands.

Βούλομαι δ' ὅμως ἔγωγε, ὥσπερ ὁ Κέβης ἐκεῖνος, εἰκόνα τινὰ τοῦ τοιούτου σου βίου γράψαι, ὅπως ἐς αὐτὴν ἀποβλέπων, εἰδῇς εἴ σοι παριτητέον ἐστὶν ἐς αὐτήν. Ἡδέως μὲν οὖν Ἀπελλοῦ τινος, ἢ Παῤῥασίου, ἢ Ἀετίωνος, ἢ καὶ Εὐφράνορος ἂν ἐδεήθην ἐπὶ τὴν γραφήν. Ἐπεὶ δὲ ἄπορον νῦν εὑρεῖν τινα οὕτω γενναῖον, καὶ ἀκριβῆ τὴν τέχνην, ψιλὴν ὡς οἷόν τε σοὶ ἐπιδείξω τὴν εἰκόνα. Καὶ δὴ γεγράφθω, προπύλαια μὲν ὑψηλὰ, καὶ ἐπίχρυσα, καὶ μὴ κάτω ἐπὶ τοῦ ἐδάφους, ἀλλ' ἄνω τῆς γῆς, ἐπὶ λόφου κείμενα, καὶ ἡ

ἄνοδος ἐπιπολὺ, καὶ ἀνάντης, καὶ ὄλισθον ἔχουσα, ὡς πολλάκις ἤδη πρὸς τῷ ἄκρῳ ἔσεσθαι ἐλπίσαντας, ἐκτραχηλισθῆναι, διαμαρτόντος τοῦ ποδός. Ἔνδον δὲ, ὁ Πλοῦτος αὐτὸς καθήσθω, χρυσοῦς ὅλος, ὡς δοκεῖ, πάνυ εὔμορφος, καὶ ἐπέραστος. Ὁ δ' ἐραστὴς μόγις ἀνελθὼν, καὶ πλησιάσας τῇ θύρᾳ, τεθηπέτω, ἀφορῶν ἐς τὸ χρυσίον. Παραλαβοῦσα δὲ αὐτὸν ἡ Ἐλπὶς, εὐπρόσωπος καὶ αὐτὴ, καὶ ποικίλα ἀμπεχομένη εἰσαγέτω, σφόδρα ἐκπεπληγμένον τῇ εἰσόδῳ. Τοὐντεῦθεν δὲ, ἡ μὲν Ἐλπὶς, ἀεὶ προσηγείσθω. Διαδεξάμεναι δ' αὐτὸν ἄλλαι γυναῖκες, Ἀπάτη, καὶ Δουλεία, παραδότωσαν τῷ Πόνῳ. Ὁ δὲ, πολλὰ τὸν ἄθλιον καταγυμνάσας, τελευτῶν, ἐγχειρισάσθω αὐτὸν τῷ Γήρᾳ, ἤδη ὑπονοσοῦντα, καὶ τετραμμένον τὴν χρόαν. Ὑστάτη δὲ ἡ Ὕβρις ἐπιλαβομένη, συρέτω πρὸς τὴν Ἀπόγνωσιν. Ἡ δ' Ἐλπὶς, τὸ ἀπὸ τούτου, ἀφανὴς ἀποπτάσθω, καὶ μηκέτι καθ' οὓς εἰσῆλθε τοὺς χρυσοῦς θυρῶνας, ἔκ τινος δ' ἀποστρόφου καὶ λεληθυίας ἐξόδου ἐξωθείσθω, γυμνὸς, προγάστωρ, ὠχρὸς, γέρων, αὐτὸς ἑαυτὸν ἄγχων· ἀπαντάτω δ' ἐξιόντι ἡ Μετάνοια δακρύουσα ἐς οὐδὲν ὄφελος, καὶ τὸν ἄθλιον ἐπαπολλύουσα. Τοῦτο μὲν ἔστω τὸ τέλος τῆς γραφῆς. Σὺ δ' οὖν, ὦ ἄριστε Τιμόκλεις, αὐτὸς ἤδη ἀκριβῶς ἐπισκοπῶν ἕκαστα, ἐννόησον εἴ σοι καλῶς ἔχει, προσελθόντα εἰς τὴν εἰκόνα κατὰ ταύτας τὰς θύρας, ἐκείνην τὴν ἔμπαλιν αἰσχρῶς οὕτως ἐκπεσεῖν. Ὅ τι δ' ἂν πράττῃς, μέμνησο τοῦ σοφοῦ λέγοντος, ὡς θεὸς ἀναίτιος, αἰτία δὲ ἑλομένου.

LUCIEN.

De la Justice.

Δοκεῖ μοι τῶν ἀνδρῶν τὰν δικαιοσύναν, ματέρα τε καὶ τιθηνὰν τῶν ἄλλων ἀρετῶν προσειπέν· ἄτερ γε ταύτας οὔτε σώφρονα, οὔτε ἀνδρεῖον, οὔτε φρόνιμον οἷόν τε ἦμεν. Ἁρμονία γὰρ ἐντι καὶ εἰράνα τᾶς ὅλας ψυχᾶς μετ' εὐρυθμίας. Δηλοφανέστερον δὲ καὶ γένοιτο τὸ ταύτας κράτος, ἐτάζουσιν ἀμῖν τὰς ἄλλας ἕξιας.

Μερικὰν γὰρ ἔχοντι αὐταὶ τὰν ὠφέλειαν, καὶ ποθ' ἕνα· ἁ δὲ ποθ' ὅλα τὰ συστάματα, καὶ ἐν πλάθει. Ἐν κόσμῳ μὲν ὦν αὐτὰ τὰν ὅλαν ἀρχὰν διαστραταγοῖσα, πρόνοιά τε, καὶ ἁρμονία, καὶ δίκα, γένους τινὸς θεῶν οὕτω ψαφιζαμένων· ἐν πόλει δὲ εἰρήνα τε καὶ εὐνομία δικαίως κέκληται· ἐν οἴκῳ δ' ἐστὶν ἀνδρὸς μὲν καὶ γυναικὸς ποτ' ἀλλάλως ὁμοφροσύνα, οἰκετᾶν δὲ ποτὶ δεσπότας εὔνοια, δεσποτᾶν δὲ ποτὶ θεράποντας καδεμονία ἐν σώματι δὲ, πρᾶτα καὶ ἅπασιν ἀγαπατοτάτα ζώοις, ἅτε ὑγίεια καὶ ἀρτιότας· ἐν δὲ ψυχᾷ σοφία ἁ ἐκ τᾶς ἐπιστάμας τε καὶ δικαιοσύνας γενομένα παρ' ἀνθρώποις. Εἰ δ' αὐτὰ τὸ ὅλον καὶ τὰ μέρεα οὕτω παιδαγωγεῖ τε καὶ σώζει, ὁμόφρονα καὶ ποτάγορα ἀλλάλοις ἀπεργαζομένα, πῶς οὐ μάτηρ καὶ τιθηνὰ πασᾶν τε καὶ πάντων παμψαφεὶ λέγοιτο;

Polus, dans *Stobée*, serm. ix.

Le Nouvelliste.

Ἡ δὲ λογοποιΐα ἐστι σύνθεσις ψευδῶν λόγων καὶ πράξεων, ὧν βούλεται ὁ λογοποιῶν. Ὁ δὲ λογοποιὸς τοιοῦτός τις, οἷος ὑπαντήσας τῷ φίλῳ, εὐθὺς καταβαλὼν τὸ ἦθος, καὶ μειδιάσας, ἐρωτῆσαι, « πόθεν σύ, καὶ τί λέγεις; » καί, « ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν; » καὶ ἐπιβαλὼν ἐρωτᾶν, « μὴ λέγεταί τι καινότερον; » καί, « μὴν ἀγαθά γέ ἐστι τὰ λεγόμενα. » Καὶ οὐκ ἐάσας ἀποκρίνασθαι. εἰπεῖν, « τί λέγεις; οὐδὲν ἀκήκοας; δοκῶ μοί σε εὐωχήσειν καινῶν λόγων. » Καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης, ἢ παῖς Ἀστείου τοῦ αὐλητοῦ, ἢ Λύκων ὁ ἐργολάβος παραγεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησὶν ἀκηκοέναι. Αἱ μὲν οὖν ἀναφοραὶ τῶν λόγων, τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐθεὶς ἂν ἔχοι ἐπιλαβέσθαι. Διηγεῖται δὲ, τούτους φάσκων λέγειν, ὡς Πολυσπέρχων (14) καὶ ὁ βασιλεὺς (15) μάχῃ νενίκηκε, καὶ Κάσανδρος (16) ἐζώγρηται. Κἂν εἴπῃ τις αὐτῷ, « σὺ δὲ ταῦτα πιστεύεις; » φήσει· « Τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον ἐπεντείνειν· καὶ

πάντα συμφωνεῖν, ταὐτὰ γὰρ λέγειν περὶ τῆς μάχης· καὶ πολὺν τὸν ζωμὸν γεγονέναι· εἶναι δὲ αὐτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν· ὁρᾷν γὰρ αὐτῶν πάντων μεταβεβληκότα. » Λέγει δὲ ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥκοντα ἐκ Μακεδονίας, ὃς πάντα ταῦτα οἶδε. Καὶ ταῦτα διεξιὼν (πῶς οἴεσθε;) πιθανῶς σχετλιάζει, λέγων· « Δυστυχὴς Κάσανδρος· ὢ ταλαίπωρος· ἐνθυμῇ τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυρὸς γενόμενος· » καὶ, « Δεῖ δὲ αὐτὸ σὲ μόνον εἰδέναι· » πᾶσι δὲ τοῖς ἐν τῇ πόλει προσδεδράμηκε λέγων. Τῶν τοιούτων ἀνθρώπων τεθαύμακα τί ποτε βούλονται λογοποιοῦντες· οὐ γὰρ μόνον ψεύδονται, ἀλλὰ καὶ ἀλυσιτελῶς ἀπαλλάττουσι· πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις περιστάσεις ποιούμενοι, τὰ ἱμάτια ἀποβεβλήκασιν· οἱ δ' ἐν τῇ στοᾷ πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες, ἐρήμους δίκας ὠφλήκασιν· εἰσὶ δ' οἳ καὶ, πόλεις τῷ λόγῳ κατὰ κράτος αἱροῦντες, παρεδειπνήθησαν. Πάνυ δὲ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα· ποίᾳ γὰρ οὐ στοᾷ, ποίῳ δὲ ἐργαστηρίῳ, ποίῳ δὲ μέρει τῆς ἀγορᾶς οὐ διημερεύσουσιν, ἀπαυδᾷν ποιοῦντες τοὺς ἀκούοντας οὕτως, καὶ καταπονοῦντες ταῖς ψευδολογίαις;

THÉOPHR., *Caract.* VIII.

NOTES
SUR LES PHILOSOPHES.

(1) Platon en parle dans son *Banquet*, et dit qu'il marchait toujours pieds nus.

(2) Il y a eu chez les anciens deux poëtes appelés *Mélannipides*. L'un, de Milet, vivait vers la 65^e. olympiade. Il avait composé des vers héroïques, des épigrammes et plusieurs autres pièces. (Suidas.) — L'autre, neveu du précédent, vivait vers la 80^e. olympiade. C'est celui qui fit plusieurs innovations dans la composition des dithyrambes, et dont il est ici question. (*Fab. B. Græc.*) Aristote en parle aussi. (*Rhétorique* III, ch. 9.)

(3) Platon en fait mention dans son *Phèdre* et dans son *Phédon*.

(4) Platon en parle aussi dans son *Banquet*. Il était de Thèbes, et on lui attribue *un Tableau de la vie humaine*. (V. *Fab. B. Græc.*)

(5) Une loi de Solon établissait la peine capitale contre ce crime; mais, du temps de Théophraste, les Athéniens avaient un peu dérogé à cette loi. (*Caract.*, Théophr. V. les notes de M. Coste.)

(6) Casaubon et La Bruyère, après lui, pensent qu'il est ici question de la bataille d'Arbèles; d'autres croient qu'il s'agit de la bataille qui eut lieu entre les Lacédémoniens, sous la conduite du roi Agis, et les Macédoniens commandés par Antipater. Cette opinion paraît préférable, puisque cette dernière bataille arriva

précisément dans le temps qu'Aristophon était archonte d'Athènes. (Diod. Sic., liv. XVII.)

(7) Il eut pour aïeul paternel Annius Verus, dans la maison duquel il fut élevé; et ponr aïeul maternel Calvisius Tullus. (Capitol.)

(8) Son père s'appelait aussi Annius Verus, et sa mère Domitia Calvilla. (*Idem.*)

(9) Elle était plus jeune que lui, et s'appelait Annia Cornifica. (*Idem.*)

(10) On ne sait point quel est ce frère; car il ne peut être ici question de Lucius, dont les mœurs étaient bien loin de pouvoir être l'objet d'une noble émulation. (*Idem.*)

(11) Apollonius, célèbre stoïcien de Chalcis en Syrie:

(12) Autre stoïcien qui fut un des maîtres de Marc Aurèle, et l'un de ses plus intimes confidens. (Capit.)

(13) Maximus, autre stoïcien qui fut aussi au nombre des maîtres de Marc Aurèle.

(14) Polysperchon, capitaine d'Alexandre le Grand.

(15) Il est ici question d'Aridée, frère d'Alexandre le Grand.

(16) C'était un faux bruit. Cassandre, fils d'Antipater, disputant à Aridée et à Polysperchon la tutelle des enfans d'Alexandre, avait eu sur eux l'avantage. (Note de M. Coste.)

ORATEURS.

Éloge funèbre de Périclès.

Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. Ἐμοὶ δ' ἂν ἀρκοῦν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς (οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε)· καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. Χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. Ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι· ὅ τε ἄπειρος, ἔστιν ἃ καὶ πλεονάζεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. Μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε· τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες, ἤδη καὶ ἀπιστοῦσιν. Ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ, πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπιπλεῖστον. Ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον. Δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι. Τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων, μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. Καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν. Κτησάμενοι γὰρ, πρὸς οἷς ἐδέξαντο, ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως, ἡμῖν τοῖς νῦν προσκατέλιπον. Τὰ δὲ πλέω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε, οἱ νῦν ἔτι ὄντες, μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ, ἐπ-

πυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. Ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω· ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον· νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι. Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ αὐτοὶ μᾶλλον ὄντες τισὶν, ἢ μιμούμενοι ἑτέρους. Καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ' ἐς πλείονας ἥκειν, δημοκρατία κέκληται· μέτεστι δὲ, κατὰ μὲν τοὺς νόμους, πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ ἢ ἀπ' ἀρετῆς προτιμᾶται· οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. Ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν, καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι. Ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελείᾳ τῶν ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσι. Καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. Ἐπεισέρχεται δὲ, διὰ μέγεθος τῆς πόλεως, ἐκ πάσης γῆς τὰ πάντα· καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν

ἐναντίων τοῖσδε. Τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος, ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη· πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις, ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ. Καὶ ἐν ταῖς παιδείαις, οἱ μὲν ἐπιπόνῳ ἀσκήσει, εὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται· ἡμεῖς δὲ, ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν. Τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάστους, μετὰ πάντων δὲ ἐς τὴν γῆν ἡμῶν στρατεύουσι· τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι, τὰ πλείω κρατοῦμεν. Ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε, διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν. Ἢν δέ που μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές τε τινὰς ἡμῶν, πάντας αὐχοῦσιν ἀπεῶσθαι, καὶ νικηθέντες, ὑφ' ἁπάντων ἡσσῆσθαι. Καίτοι, εἰ ῥαθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλεῖον ἢ τρόπων ἀνδρείας ἐθέλοιμεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμοτέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι· καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις. Φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελείας, καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον ἐν καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα· καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ, αἴσχιον. Ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις, πρὸς ἔργα τετραμμένοις, τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι. Μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα, οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν· καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. Διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα, καὶ περὶ ὧν ἐπιχειρή-

σομεν, ἐκλογίζεσθαι· ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. Κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες, καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. Καὶ τὰ ἐς ἀρετὴν ἐναντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες, κτώμεθα τοὺς φίλους. Βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων, ἀμβλύτερος, εἰδὼς, οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. Καὶ μόνοι οὐ τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ, ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινα ὠφελοῦμεν. Ξυνελών τε λέγω, τήν τε πᾶσαν πόλιν, τῆς Ἑλλάδος παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' εἴδη, καὶ μετὰ χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. Καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. Μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. Μετὰ μεγάλων δὲ σημείων καὶ οὐ δήτοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι, τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα· καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου, οὔτε ὅστις ἔπεσι μὲν τοαυτίκα τέρψει, ὧν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει· ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες. Περὶ τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως, δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν. Διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα, καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα, ἐφ' οἷς νῦν λέγω, φανερὰν σημείοις καθιστάς. Καὶ εἴρηται αὐτῆς τὰ μέγιστα. Ἃ γὰρ

τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν. Καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόῤῥοπος, ὥσπερ τῶνδε, ὁ λόγος τῶν ἔργων φανείη. Δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν, πρώτη τε μηνύουσα, καὶ τελευταία βεβαιοῦσα, ἡ νῦν τῶνδε καταστροφή. Καὶ γὰρ τοῖς τἄλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι. Ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες, κοινῶς μᾶλλον ὠφέλησαν, ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν. Τῶνδε δὲ οὔτε πλούτου τις τὴν ἔτι ἀπόλαυσιν προτιμήσας ἐμαλακίσθη, οὔτε πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο. Τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, ἠβουλήθησαν μετ' αὐτοῦ τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἐφίεσθαι· ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι. Καὶ ἐν αὐτῷ τῷ ἀμύνασθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι, ἢ τῷ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν. Καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο· τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφέλειαν, ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν· ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐραστὰς γιγνομένους αὐτῆς· καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες, καὶ γιγνώσκοντες τὰ δέοντα, καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο· καὶ ὁπότε καὶ πείρᾳ του σφαλείησαν, οὔκουν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. Κοινῇ γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον, καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ

κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀείμνηστος καταλείπεται. Ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφή, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. Οὓς νῦν ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον, τὸ ἐλεύθερον, τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους. Οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ· ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. Ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ ἐν τῷ μετὰ τοῦ μαλακισθῆναι κάκωσις, ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος καὶ ἀναίσθητος θάνατος. Διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον ἢ παραμυθήσομαι. Ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τραφέντες. Τὸ δ' εὐτυχές, οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νῦν, τελευτῆς, ὑμεῖς δὲ λύπης· καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. Χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν, ὧν καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτε καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθείη. Καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι (ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται), καὶ τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι, καὶ ἀσφαλείᾳ ξυνοίσει. Οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι, οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. Ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλείονα, κέρδος ὄν, εὐτυχεῖτε βίον, ἡγεῖσθε καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. Τὸ γὰρ φιλότιμον ἀγήρων μόνον· καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι.

Παισὶ δ' αὖ, ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς, ὁρῶ μέγαν τὸν ἀγῶνα. Τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν, καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς οὐχ ὅμοιοι, ἀλλ' ὀλίγῳ χείρους κριθεῖητε. Φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸν ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. Εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. Τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι, ὑμῖν μεγάλη ἡ δόξα, καὶ οἷς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ. Εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον ὅσα εἶχον πρόσφορα· καὶ ἔργῳ, οἱ θαπτόμενοι, τὰ μὲν, ἤδη κεκόσμηνται, τὰ δὲ, αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρις ἥβης θρέψει, ὠφέλιμον στέφανον τοῖσδέ τε καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα. Ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖσδε καὶ ἄνδρες ἄριστοι πολιτεύουσι. Νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἑκάστῳ, ἄπιτε.

THUCYD., liv. II. c. 35—46.

Polémarque mis à mort par les trente Tyrans.

(1) Ἀφικόμενος δὲ εἰς Ἀρχένεω τοῦ ναυκλήρου, ἐκεῖνον πέμπω εἰς ἄστυ, πευσόμενον περὶ τοῦ ἀδελφοῦ. Ἥκων δὲ ἔλεγεν ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβὼν, εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. Καὶ ἐγὼ τοιαῦτα πεπυσμένος, τῆς ἐπιούσης νυκτὸς διέπλευσα Μεγάραδε. Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ Τριάκοντα τὸ ὑπ' ἐκείνων εἰθισμένον παράγγελμα, πίνειν κώνειον, πρὶν τὴν αἰτίαν εἰπεῖν δι' ἥντινα ἔμελλεν ἀποθανεῖσθαι· οὕτω πολλοῦ ἐδέησε κριθῆναι καὶ ἀπολογήσασθαι. Καὶ ἐπειδὴ ἀπεφέρετο ἐκ τοῦ δεσμωτηρίου τεθνεὼς, τριῶν ἡμῖν οἰκιῶν οὐσῶν, οὐδεμιᾶς εἴασαν ἐξενεχθῆναι, ἀλλὰ κλίσιον μισθωσάμενοι, προὔθεντο αὐτόν. Καὶ πολλῶν ὄντων ἱματίων, αἰτοῦσιν οὐδὲν ἔδοσαν εἰς ταφὴν, ἀλλὰ τῶν φίλων ὁ μὲν ἱμάτιον, ὁ δὲ προσκεφάλαιον, ὁ δὲ ὅ τι ἕκαστος ἔτυχεν, ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν. Καὶ

ἔχοντες μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων, ἔχοντες δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ καὶ κόσμον, καὶ ἔπιπλα καὶ ἱμάτια γυναικεῖα ὅσα οὐδεπώποτε ᾤοντο κτήσασθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατὸν (ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν), εἰς τοσαύτην ἀπληστίαν καὶ αἰσχροκέρδειαν ἀφίκοντο, καὶ τοῦ τρόπου τοῦ αὐτῶν ἀπόδειξιν ἐποιήσαντο· τῆς γὰρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλυκτῆρας, οὓς ἔχουσα ἐτύγχανεν ὅτε τὸ πρῶτον ἦλθεν εἰς τὴν οἰκίαν, Μηλόβιος ἐκ τῶν ὤτων ἐξείλετο. Καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου παρ' αὐτῶν ἐτυγχάνομεν· ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἐξημάρτανον, ὥσπερ ἂν ἕτεροι μεγάλων ἀδικημάτων ὀργὴν ἔχοντες.

Lysias, *Discours contre Ératosthène.*

Valeur des Athéniens dans la guerre qu'ils ont soutenue contre les Perses.

Μετὰ δὲ ταῦτα γενομένης τῆς ὕστερον στρατείας, ἣν αὐτὸς Ξέρξης ἤγαγεν, ἐκλιπὼν μὲν τὰ βασίλεια, στρατηγὸς δὲ καταστῆναι τολμήσας, ἅπαντας δὲ τοὺς ἐκ τῆς Ἀσίας συναγείρας, περὶ οὗ τίς οὐχ ὑπερβολὰς προθυμηθεὶς εἰπεῖν, ἐλάττω τῶν ὑπαρχόντων εἴρηκεν; ὃς εἰς τοσοῦτον ἦλθεν ὑπερηφανείας, ὥστε μικρὸν μὲν ἡγησάμενος ἔργον εἶναι τὴν Ἑλλάδα χειρώσασθαι· βουληθεὶς δὲ τοιοῦτο μνημεῖον καταλιπεῖν, ὃ μὴ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν, οὐ πρότερον ἐπαύσατο, πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν, ὃ πάντες θρυλλοῦσιν, ὥστε τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δὲ Ἄθω διορύξας· πρὸς δὴ τὸν οὕτω μέγα φρονήσαντα, καὶ τηλικαῦτα διαπραξάμενον, τοσούτων δὲ δεσπότην γενόμενον, ἀπήντων διελόμενοι τὸν κίνδυνον, Λακεδαιμόνιοι μὲν εἰς Θερμοπύλας πρὸς τὸ πεζὸν χιλίους αὐτῶν ἐπιλέξαντες, καὶ τῶν συμμάχων ὀλίγους παρα-

λαβόντες, ὡς ἐν τοῖς στενοῖς κωλύσοντες αὐτοὺς περαιτέρω προελθεῖν· οἱ δὲ ἡμέτεροι πατέρες ἐπ' Ἀρτεμίσιον, ἑξήκοντα τριήρεις πληρώσαντες πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυτικόν. Ταῦτα δὲ ποιεῖν ἐτόλμων, οὐχ οὕτω τῶν πολεμίων καταφρονοῦντες, ὡς πρὸς ἀλλήλους ἀγωνιζόμενοι· Λακεδαιμόνιοι μὲν ζηλοῦντες τὴν πόλιν τῆς ἐν Μαραθῶνι μάχης, καὶ ζητοῦντες ἑαυτοὺς ἐξίσου καταστῆσαι, καὶ δεδιότες μὴ δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν αἰτία γένηται τοῖς Ἕλλησι τῆς σωτηρίας· οἱ δὲ ἡμέτεροι πρόγονοι, μάλιστα μὲν βουλόμενοι διαφυλάξαι τὴν παροῦσαν δόξαν, καὶ πᾶσι ποιῆσαι φανερὸν, ὅτι καὶ πρότερον δι' ἀρετὴν, ἀλλ' οὐ διὰ τύχην, ἐνίκησαν· ἔπειτα δὲ, καὶ προσαγαγέσθαι τοὺς Ἕλληνας ἐπὶ τῷ διαναυμαχεῖν, ἐπιδείξαντες αὐτοῖς ὁμοίως ἐν τοῖς ναυτικοῖς κινδύνοις, ὥσπερ ἐν πεζοῖς, τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην. Ἴσας δὲ τὰς τόλμας παρασχόντες, οὐχ ὁμοίως ἐχρήσαντο ταῖς τύχαις· ἀλλ' οἱ μὲν διεφθάρησαν, καὶ ταῖς ψυχαῖς νικῶντες, τοῖς σώμασιν ἀπεῖπον· οὐ γὰρ δὴ τοῦτό γε θέμις εἰπεῖν ὡς ἡττήθησαν· οὐδεὶς γὰρ αὐτῶν φυγεῖν ἠξίωσεν· οἱ δὲ ἡμέτεροι τὰς μὲν πρόπλους ἐνίκησαν· ἐπειδὴ δὲ ἤκουσαν τῆς παρόδου τοὺς πολεμίους κρατοῦντας, οἴκαδε καταπλεύσαντες, καὶ τὰ κατὰ τὴν πόλιν διοικήσαντες, οὕτως ἐβουλεύσαντο περὶ τῶν λοιπῶν, ὥστε πολλῶν καὶ καλῶν αὐτοῖς προειργασμένων, ἐν τοῖς τελευταίοις τῶν κινδύνων ἐπι πλέον διενεγκεῖν.

Ἀθύμως γὰρ ἁπάντων τῶν συμμάχων διακειμένων, καὶ Πελοποννησίων μὲν διατειχιζόντων τὸν Ἰσθμὸν, καὶ ζητούντων ἰδίαν αὐτοῖς σωτηρίαν, τῶν δ' ἄλλων πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενημένων καὶ συστρατευομένων ἐκείνοις, πλὴν εἴ τις διὰ σμικρότητα παρημελήθη, προσπλεουσῶν δὲ τριηρῶν διακοσίων καὶ χιλίων, καὶ τῆς πεζῆς στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν Ἀττικὴν εἰσβάλλειν, οὐδεμιᾶς σωτηρίας αὐτοῖς ὑπολειπομένης, ἀλλ' ἔρημοι συμμάχων γεγενημένοι, καὶ τῶν ἐλπίδων ἁπασῶν διημαρτηκότες, ἐξὸν αὐτοῖς μὴ μόνον τοὺς παρόντας κινδύνους

διαφυγεῖν, ἀλλὰ καὶ τιμὰς ἐξαιρέτους λαβεῖν, ἃς αὐτοῖς ἐδίδου βασιλεὺς, ἡγούμενος εἰ τὸ τῆς πόλεως προσλάβοι ναυτικὸν, παραχρῆμα καὶ Πελοποννήσου κρατήσειν, οὐχ ὑπέμειναν τὰς παρ' ἐκείνου δωρεὰς, οὐδὲ ὀργισθέντες τοῖς Ἕλλησιν ὅτι προὐδόθησαν, ἀσμένως ἐπὶ τὰς διαλλαγὰς τὰς πρὸς τοὺς βαρβάρους ὥρμησαν, ἀλλ' αὐτοὶ μὲν ὑπὲρ τῆς ἐλευθερίας πολεμεῖν παρεσκευάζοντο, τοῖς δ' ἄλλοις τὴν δουλείαν αἱρουμένοις συγγνώμην εἶχον. Ἡγοῦντο γὰρ ταῖς μὲν ταπειναῖς τῶν πόλεων προσήκειν ἐξ ἅπαντος τρόπου ζητεῖν τὴν σωτηρίαν, ταῖς δὲ προεστάναι τῆς Ἑλλάδος ἀξιούσαις, οὐχ' οἷόν τ' εἶναι διαφεύγειν τοὺς κινδύνους. ἀλλ' ὥσπερ τῶν ἀνδρῶν τοῖς καλοῖς κἀγαθοῖς αἱρετώτερόν ἐστι καλῶς ἀποθανεῖν, ἢ ζῆν αἰσχρῶς, οὕτω καὶ τῶν πόλεων ταῖς ὑπερεχούσαις λυσιτελεῖν ἐξ ἀνθρώπων ἀφανισθῆναι μᾶλλον ἢ δούλαις ὀφθῆναι γενομέναις.

Δῆλον δ' ὅτι ταῦτα διενοήθησαν· ἐπειδὴ γὰρ οὐχ οἷοί τ' ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαντα τὸν ὄχλον τὸν ἐκ τῆς πόλεως, εἰς τὴν ἐχομένην νῆσον ἐξέπλευσαν· ἵν' ἐν μέρει πρὸς ἑκατέραν τὴν δύναμιν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα κινδυνεύσωσι. Καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον φιλέλληνες ὄντες ἐπιδειχθεῖεν, οἵτινες ἐτόλμησαν ἐπιδεῖν, ὥστε μὴ τοῖς λοιποῖς αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην μὲν τὴν πόλιν γιγνομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ δὲ συλώμενα, καὶ νεὼς ἐμπιπραμένους, ἅπαντα δὲ καὶ τὸν πόλεμον περὶ πατρίδα τὴν ἑαυτῶν γινόμενον; Καὶ οὐδὲ ταῦτα ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς χιλίας καὶ διακοσίας τριήρεις μόνοι διαναυμαχεῖν ἐτόλμησαν· οὐ μὴν εἰάθησαν. Καταισχυνθέντες γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ νομίσαντες, προδιαφθαρέντων μὲν τῶν ἡμετέρων, οὐδ' αὐτοὶ σωθήσεσθαι, κατορθωσάντων δὲ, εἰς ἀτιμίαν τὰς αὐτῶν πόλεις καταστήσειν, ἠναγκάσθησαν μετασχεῖν τῶν κινδύνων.

Καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τῷ πράγματι γενομένους, καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων εἰσὶ τῶν

ναυμαχούντων, οὐχ ὁρῶ τί δεῖ λέγοντα διατρίβειν· ἃ δέ ἐστιν ἴδια, καὶ τῆς ἡγεμονίας ἄξια, καὶ τοῖς προειρημένοις ὁμολογούμενα, ταῦτα δ' ἐμὸν ἔργον εἰπεῖν ἐστί. Τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτ' ἦν ἀκέραιος, ὥστε ἀνάστατος γενομένη, πλείους μὲν συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς Ἑλλάδος, ἢ σύμπαντες οἱ ναυμαχήσαντες. Οὐδεὶς δὲ πρὸς ἡμᾶς οὕτως ἔχει δυσμενῶς, ὅστις οὐκ ἂν ὁμολογήσειε, διὰ μὲν τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι, ταύτης δὲ τὴν ἡμετέραν πόλιν αἰτίαν γενέσθαι.

Isocrate, *Panégyrique*, c. 25—27.

Léocrate abandonne sa patrie dans le danger.

Ἐν οἷς δὲ καιροῖς καὶ ἡλίκοις κινδύνοις τὴν πόλιν οὖσαν Λεωκράτης προδέδωκεν (2), ἀναμνῆσαι ὑμᾶς βούλομαι. Καί μοι λαβὲ τὸ ψήφισμα, γραμματεῦ, τὸ Ὑπερείδου (3), καὶ ἀναγίνωσκε. Ἀκούετε τοῦ ψηφίσματος, ὦ ἄνδρες, ὅτι τὴν βουλὴν τοὺς πεντακοσίους καταβαίνειν εἰς Πειραιᾶ χρηματιοῦσαν περὶ φυλακῆς τοῦ Πειραιέως ἐν τοῖς ὅπλοις ἔδοξε, καὶ πράττειν διεσκευασμένην ὅ τι ἂν δοκῇ τῷ δήμῳ συμφέρον εἶναι. Καίτοι, ὦ ἄνδρες, εἰ οἱ ἀφιέμενοι τοῦ στρατεύεσθαι, ἕνεκα τοῦ βουλεύεσθαι ὑπὲρ τῶν τῆς πόλεως, ἐν τῇ τῶν στρατιωτῶν τάξει διέτριβον, ἆρ' ὑμῖν δοκοῦσι μικροὶ καὶ οἱ τυχόντες φόβοι τότε τὴν πόλιν κατασχεῖν; ἐν οἷς Λεωκράτης οὑτοσὶ καὶ αὐτὸς ἐκ τῆς πόλεως ἀποδρὰς ᾤχετο, καὶ τὰ χρήματα ὑπάρχοντα ἐξεκόμισε, καὶ ἱερὰ τὰ πατρῷα μετεπέμψατο, καὶ εἰς τοσοῦτον προδοσίας ἦλθεν, ὥστε κατὰ τὴν αὐτοῦ προαίρεσιν ἔρημοι μὲν ἦσαν οἱ ναοὶ τῶν ἱερέων, ἔρημοι δὲ καὶ αἱ φυλακαὶ τῶν τειχῶν, ἐξελέλειπτο δὲ ἡ πόλις καὶ ἡ χώρα. Καίτοι κατ' ἐκείνους τοὺς χρόνους, ὦ ἄνδρες, τίς οὐκ ἂν τὴν πόλιν ἠλέησεν, οὐ μόνον πολίτης, ἀλλὰ καὶ ξένος ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐπιδεδημηκώς; τίς δ' ἦν οὕτως ἢ μισόδημος τότε ἢ μισαθηναῖος, ὅστις ἐδυνήθη ἂν ἄτακτον ἑαυτὸν ὑπομεῖναι

ἰδεῖν, ἡνίκα ἡ μὲν ἧττα καὶ τὸ γεγονὸς πάθος τῷ δήμῳ προσηγγέλλετο, ὀρθὴ δὲ ἦν ἡ πόλις ἐν τοῖς συμβεβηκόσιν, αἱ δ' ἐλπίδες τῆς σωτηρίας τῷ δήμῳ ἐν τοῖς ὑπὲρ πεντήκοντα ἔτη γεγονόσι καθειστήκεσαν; ὁρᾶν δ' ἦν ἐπὶ μὲν τῶν θυρῶν γυναῖκας ἐλευθέρας περιφόβους, κατεπτηχυίας, καὶ πυνθανομένας εἰ ζῶσι, τὰς μὲν ὑπὲρ ἀνδρὸς, τὰς δ' ὑπὲρ πατρὸς, τὰς δ' ὑπὲρ ἀδελφῶν, ἀναξίως αὑτῶν καὶ τῆς πόλεως ὁρωμένας, τῶν δὲ ἀνδρῶν τοὺς τοῖς σώμασιν ἀπειρηκότας, καὶ τὰς ἡλικίας πρεσβυτέρους, καὶ ὑπὸ τῶν νόμων τοῦ στρατεύεσθαι ἀφεμένους, ἰδεῖν ἦν καθ' ὅλην πόλιν ἐπὶ γήρως οὐδῷ διαφθειρομένους, διπλᾶ τὰ ἱμάτια ἐμπεπορπημένους. Πολλῶν δὲ καὶ δεινῶν κατὰ τὴν πόλιν γινομένων, καὶ πάντων τῶν πολιτῶν τὰ μέγιστα ἠτυχηκότων, μάλιστ' ἄν τις ἤλγησε καὶ ἐδάκρυσεν ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς, ἡνίχ' ὁρᾶν ἦν τὸν δῆμον ψηφισάμενον, τοὺς μὲν δούλους ἐλευθέρους, τοὺς δὲ ξένους Ἀθηναίους, τοὺς δὲ ἀτίμους ἐντίμους· ὃς πρῶτον ἐπὶ τῷ αὐτόχθων (4) εἶναι καὶ ἐλεύθερος ἐσεμνύνετο. Τοσαύτη δὲ ἡ πόλις ἐκέχρητο μεταβολῇ, ὥστε πρῶτον μὲν ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας ἀγωνίζεσθαι, ἐν δὲ τοῖς τότε χρόνοις ἀγαπᾶν ἐὰν ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἀσφαλῶς δύνηται κινδυνεῦσαι· καὶ πρότερον μὲν πολλῆς χώρας τῶν βαρβάρων ἐπάρχειν, τότε δὲ πρὸς Μακεδόνας ὑπὲρ τῆς ἰδίας κινδυνεύειν· καὶ τὸν δῆμον ὃν πρότερον Λακεδαιμόνιοι, καὶ Πελοποννήσιοι, καὶ οἱ τὴν Ἀσίαν κατοικοῦντες Ἕλληνες βοηθὸν ἐπεκαλοῦντο, οὗτος ἐδεῖτο τῶν ἐξ Ἄνδρου, καὶ Κέω, καὶ Τροιζῆνος, καὶ Ἐπιδαύρου (5), ἐπικουρίαν αὐτῷ μεταπέμψασθαι.

Ὥστε, ὦ ἄνδρες, τὸν ἐν τοῖς τοιούτοις φόβοις καὶ τηλικούτοις κινδύνοις καὶ τοσαύτῃ αἰσχύνῃ ἐγκαταλιπόντα τὴν πόλιν, καὶ μήτε ὅπλα θέμενον ὑπὲρ τῆς πατρίδος, μήτε τὸ σῶμα παρασχόντα τάξαι τοῖς στρατηγοῖς, ἀλλὰ φυγόντα, καὶ παραδόντα τὴν τοῦ δήμου σωτηρίαν, τίς ἂν ἢ δικαστὴς φιλόπολις, καὶ εὐσεβεῖν βουλόμενος, ψήφῳ ἀπολύσειεν, ἢ ῥήτωρ κληθεὶς τῷ προδότῃ τῆς πόλεως βοηθήσειε; τὸν οὐδὲ συμπενθῆσαι τὰς τῆς πα-

τρίδος συμφορὰς τολμήσαντα, οὐδὲ συμβεβλημένον οὐδὲν εἰς τὴν τῆς πόλεως καὶ τοῦ δήμου σωτηρίαν; καίτοι κατ' ἐκείνους τοὺς χρόνους οὐκ ἔστιν ἥτις ἡλικία οὐ παρέσχετο αὐτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα τὰ δένδρα συνεβάλετο (6), οἱ δὲ τετελευτηκότες τὰς θήκας, οἱ δὲ ναοὶ τὰ ὅπλα. Ἐπεμελοῦντο γὰρ οἱ μὲν τῆς τειχῶν κατασκευῆς, οἱ δὲ, τῆς τῶν τάφρων, οἱ δὲ, τῆς χαρακώσεως· οὐδεὶς δ' ἦν ἀργὸς τῶν ἐν τῇ πόλει· ἐφ' ὧν οὐδενὸς τὸ σῶμα τὸ ἑαυτοῦ παρέσχετο τάξαι Λεωκράτης. Ὧν εἰκότως ὑμᾶς ἀναμνησθέντας, τὸν μηδὲ ξυνενεγκεῖν μηδ' ἐπ' ἐκφορὰν ἐλθεῖν ἀξιώσαντα τῶν ὑπὲρ τῆς ἐλευθερίας καὶ τοῦ δήμου σωτηρίας ἐν Χαιρωνείᾳ τελευτησάντων, θανάτῳ ζημιῶσαι, ὡς τὸ ἐπὶ τούτῳ μέρος ἀτάφων ἐκείνων τῶν ἀνδρῶν γεγενημένων· ὧν οὗτος οὐδὲ τὰς θήκας παριὼν ᾐσχύνθη, ὀγδόῳ ἔτει τὴν πατρίδα αὐτῶν προσαγορεύων.

LYCURGUE contre Léocrate.

Discours d'Eschine contre Ctésiphon.—Exorde.

Τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ Ἀθηναῖοι, καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες ὑπὲρ τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίγνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἥκω, πρῶτον μὲν τοῖς θεοῖς, ἔπειτα δὲ τοῖς νόμοις καὶ ὑμῖν, ἡγούμενος οὐδεμίαν παρασκευὴν ἰσχύειν παρ' ὑμῖν μεῖζον τῶν νόμων καὶ τῶν δικαίων.

Ἐβουλόμην μὲν οὖν, ὦ Ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους, καὶ τὰς ἐκκλησίας, ὑπὸ τῶν ἐφεστηκότων (7) ὀρθῶς διοικεῖσθαι, καὶ τοὺς νόμους, οὓς ἐνομοθέτησεν ὁ Σόλων (8) περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας, ἰσχύειν· ἵνα ἐξῇ πρῶτον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν, ὥσπερ οἱ νόμοι κελεύουσι, σωφρόνως ἐπὶ τὸ βῆμα παρελθόντι, ἄνευ θορύβου καὶ ταραχῆς, ἐξ ἐμπειρίας, τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν· δεύτερον δ' ἤδη, καὶ τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον, καθ' ἡλικίαν, χωρὶς καὶ ἐν

μέρει, περὶ ἑκάστου γνώμην ἀποφαίνεσθαι. Οὕτω γὰρ ἂν μοι δοκεῖ ἥ τε πόλις ἄριστα διοικεῖσθαι, αἵ τε κρίσεις ἐλάχιστα γίνεσθαι. Ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα καλῶς ἔχειν νυνὶ καταλέλυται, καὶ γράφουσί τινες ῥᾳδίως παρανόμους γνώμας, καὶ ταῦθ' ἕτεροί τινὲς τὰ ψηφίσματα ἐπιψηφίζουσιν, οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι· ἂν δέ τις τῶν ἄλλων βουλευτῶν ὄντως λάχῃ κληρούμενος προεδρεύειν, καὶ τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, τοῦτον οἱ τὴν πολιτείαν οὐκ ἔτι κοινὴν, ἀλλ' ἰδίαν αὐτῶν ἡγούμενοι εἶναι, ἀπειλοῦσιν εἰσαγγελεῖν, καὶ καταδουλούμενοι τοὺς ἰδιώτας, καὶ δυναστείας ἑαυτοῖς περιποιοῦντες, τὰς κρίσεις, τὰς μὲν ἐκ τῶν νόμων καταλελύκασι, τὰς δὲ ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς κρίνουσι· σεσίγηται μὲν τὸ κάλλιστον καὶ σωφρονέστατον κήρυγμα τῶν ἐν τῇ πόλει· « Τίς ἀγορεύειν βού-» λεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων, καὶ πάλιν ἐν μέρει » τῶν ἄλλων Ἀθηναίων; » τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκ ἔτι κρατεῖν δύνανται οὔθ' οἱ νόμοι, οὔθ' οἱ πρυτάνεις, οὔθ' οἱ πρόεδροι, οὔθ' ἡ προεδρεύουσα φυλὴ, τὸ δέκατον μέρος τῆς πόλεως.

Τούτων δ' ἐχόντων οὕτως, καὶ τῶν καιρῶν ὄντων τῇ πόλει τοιούτων, ὁποίους τινὰς αὐτοὺς ὑμεῖς ὑπολαμβάνετε εἶναι, ἓν ὑπολείπεται μέρος τῆς πολιτείας, εἴ τι κἀγὼ τυγχάνω γινώσκων, αἱ τῶν παρανόμων γραφαί. Εἰ δὲ καὶ ταύτας καταλύσετε, ἢ τοῖς καταλύουσιν ἐπιτρέψετε, προλέγω ὑμῖν ὅτι λήσετε κατὰ μικρὸν τῆς πολιτείας τισὶ παραχωρήσαντες. Εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τρεῖς εἰσι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία. Διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. Μηδεὶς οὖν ὑμῶν τοῦτ' ἀγνοείτω, ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅτι, ὅταν εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων, ἐν ταύτῃ τῇ ἡμέρᾳ μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ παῤῥησίας. Διόπερ

καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν δικαστῶν ὅρκῳ· « Ψηφιοῦμαι κατὰ τοὺς νόμους, » ἐκεῖνό γε εὖ εἰδὼς, ὅτι, ὅταν διατηρηθῶσιν οἱ νόμοι τῇ πόλει, σώζεται καὶ ἡ δημοκρατία.

Ἃ χρὴ διαμνημονεύοντας ὑμᾶς, μισεῖν τοὺς τὰ παράνομα γράφοντας, καὶ μηδὲν μικρὸν ἡγεῖσθαι εἶναι τῶν τοιούτων ἀδικημάτων, ἀλλ' ἕκαστον ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν τὸ δίκαιον μηδένα ἀνθρώπων ἐᾶν ἐξαιρεῖσθαι, μήτε τὰς τῶν στρατηγῶν συνηγορίας, οἳ ἐπὶ πολὺν ἤδη χρόνον συνεργοῦντές τισι τῶν ῥητόρων, λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων δεήσεις, οὓς ἀναβιβαζόμενοί τινες, ἐκφεύγουσιν ἐκ τῶν δικαστηρίων, παράνομον πολιτείαν πολιτευόμενοι· ἀλλ', ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν, ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλιπεῖν τὴν τάξιν, ἣν τέταχθε ὑπὸ τῶν νόμων, φύλακες τῆς δημοκρατίας εἰς τήνδε τὴν ἡμέραν.

Κἀκεῖνο χρὴ διαμνημονεύειν, ὅτι νῦν ἅπαντες οἱ πολῖται παρακαταθέμενοι τὴν πόλιν ὑμῖν, καὶ τὴν πολιτείαν διαπιστεύσαντες, οἱ μὲν πάρεισι καὶ ἐπακούουσι τῆσδε τῆς κρίσεως, οἱ δὲ ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων· οὓς αἰσχυνόμενοι, καὶ τῶν ὅρκων οὓς ὠμόσατε μεμνημένοι καὶ τῶν νόμων, ἐὰν ἐλέγξωμεν Κτησιφῶντα, καὶ παράνομα γράψαντα, καὶ ψευδῆ, καὶ ἀσύμφορα τῇ πόλει, λύετε, ὦ Ἀθηναῖοι, τὰς παρανόμους γνώμας, βεβαιοῦτε τῇ πόλει τὴν δημοκρατίαν, κολάζετε τοὺς ὑπεναντίους τῷ νόμῳ, καὶ τῇ πόλει, καὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ, πολιτευομένους. Κἂν ταύτην ἔχοντες τὴν διάνοιαν, ἀκούοιτε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, εὖ οἶδ' ὅτι δίκαια, καὶ εὔορκα, καὶ συμφέροντα ὑμῖν αὐτοῖς ψηφιεῖσθε, καὶ πάσῃ τῇ πόλει.

Troisième époque de l'administration de Démosthène. Profanation du temple de Delphes.

Ἐνταῦθα ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ' ὁ πάντων πικρότατος χρόνος, ἐν ᾧ Δημοσθένης ἀπώλεσε τὰς τῶν Ἑλλήνων καὶ τῆς πόλεως πράξεις, ἀσεβήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας. Ἄρξομαι δὲ ἀπὸ τῶν εἰς τοὺς θεοὺς αὐτοῦ πλημμελημάτων λέγειν.

Ἔστι γὰρ, ὦ Ἀθηναῖοι, τὸ Κιῤῥαῖον ὠνομασμένον πεδίον, καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος. Ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιῤῥαῖοι (9) καὶ Ἀκραγαλλίδαι (10), γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, καὶ περὶ τὰ ἀναθήματα ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς τοὺς Ἀμφικτύονας. Ἀγανακτήσαντες δ' ἐπὶ τοῖς γενομένοις, μάλιστα μὲν, ὡς λέγονται, οἱ πρόγονοι οἱ ὑμέτεροι, ἔπειτα καὶ οἱ ἄλλοι Ἀμφικτύονες, μαντείαν ἐμαντεύσαντο παρὰ τῷ θεῷ, τίνι χρὴ τιμωρίᾳ τοὺς ἀνθρώπους τούτους μετελθεῖν· καὶ αὐτοῖς ἀναιρεῖ ἡ Πυθία, πολεμεῖν Κιῤῥαίοις καὶ Ἀκραγαλλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας, καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας, καὶ αὐτοὺς ἀνδραποδισαμένους, ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Πυθίῳ, καὶ τῇ Ἀρτέμιδι, καὶ Λητοῖ, καὶ Ἀθηνᾷ Προνοίᾳ (11), ἐπὶ πάσῃ ἀεργίᾳ, καὶ ταύτην τὴν χώραν, μήτ' αὐτοὺς ἐργάζεσθαι, μήτ' ἄλλον ἐᾷν. Λαβόντες δὲ τὸν χρησμὸν οἱ Ἀμφικτύονες, ἐψηφίσαντο, Σόλωνος εἰπόντος Ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ, καὶ περὶ ποίησιν καὶ φιλοσοφίαν διατετριφότος (12), ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν μαντείαν τοῦ θεοῦ, καὶ συναθροίσαντες δύναμιν ἱκανὴν ἐκ τῶν Ἀμφικτυόνων, ἐξηνδραποδίσαντο τοὺς ἀνθρώπους, καὶ τοὺς λιμένας ἔχωσαν, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν, καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν. Καὶ ἐπὶ τούτοις

ὅρκον ὤμοσαν ἰσχυρὸν, μήτε αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσεσθαι, μήτε ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ Θεῷ, καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ, καὶ ποδὶ, καὶ πάσῃ δυνάμει. Καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. Γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ· « Εἴ τις τάδε, φησὶ, παραβαίνοι, ἢ πόλις, » ἢ ἰδιώτης, ἢ ἔθνος, ἐναγὴς, φησὶν, ἔστω τοῦ Ἀπόλλωνος καὶ » τῆς Ἀρτέμιδος, καὶ Λητοῦς, καὶ Ἀθηνᾶς Προνοίας· καὶ ἐπεύ- » χεται αὐτοῖς μηδὲ γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τέκνα » τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα, μηδὲ βοσκήματα » κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἧτταν δὲ αὐτοῖς εἶναι πολέμου, » καὶ δικῶν, καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς, καὶ οἰ- » κίας, καὶ γένος τὸ ἐκείνων· καὶ μή ποτε, φησὶν, ὁσίως θύ- » σαιεν τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μηδὲ τῇ Λητοῖ, μηδ' » Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά. » Ὅτι δὲ ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ Θεοῦ μαντείαν· ἀκούσατε τῆς ἀρᾶς, ἀναμνήσθητε τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συνώμοσαν. ΜΑΝΤΕΙΑ·

Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,
Πρίν γε Θεοῦ τεμένη κυανώπιδος Ἀμφιτρίτης,
Κῦμα ποτικλύζῃ, κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς.

ΟΡΚΟΙ. ΑΡΑ. Ταύτης τῆς ἀρᾶς, καὶ τῶν ὅρκων, καὶ τῆς μαντείας γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ, οἱ Ἀμφισσεῖς, μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν, ἄνδρες παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον, καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν, καὶ τέλη τοὺς παραπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς πυλαγόρων ἐνίους χρήμασι διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης· χειροτονηθεὶς γὰρ ὑφ' ὑμῶν πυλαγόρας, λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων, ὑπὲρ τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιήσασθαι. Διωμολογήθη δ' αὐτῷ καὶ εἰς τὸν λοι-

πὸν χρόνον ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ' ᾧτε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθήνησι κατὰ πάντα τρόπον. Ὅθεν ἔτι μᾶλλον ἢ πρότερον συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται ἀνδρὸς ἢ ἰδιώτου, ἢ δυνάστου, ἢ πόλεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περιβάλλειν.

Σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην, ὡς περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσεβείας. Ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου, πυλαγόρας ὑμεῖς εἵλεσθε, Μειδίαν (13) τε ἐκεῖνον τὸν Ἀναγυῤῥάσιον, ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν Λέσβιον, καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. Συνέβη δὲ ἡμῖν ἀρτίως μὲν εἰς Δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ τὸν ἱερομνήμονα Διόγνητον πυρέττειν· τὸ δ' αὐτὸ τοῦτο συνεπεπτώκει καὶ τῷ Μειδίᾳ· οἱ δ' ἄλλοι συνεκάθηντο Ἀμφικτύονες. Ἐξηγγέλλετο δ' ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ Ἀμφισσεῖς ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς Θηβαίους, εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως, πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τῶν Ἀθηναίων, ὅτι τὰς χρυσᾶς ἀσπίδας ἀνέθεμεν πρὸς τὸν καινὸν νεὼν, πρὶν ἐξαράσθαι, καὶ ἐπεγράψαμεν τὸ προσῆκον ἐπίγραμμα· « Ἀθηναῖοι ἀπὸ Μήδων (14) καὶ Θη» βαίων, ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο. » Μεταπεμψάμενος δέ με ὁ ἱερομνήμων ἠξίου εἰσελθεῖν εἰς τὸ συνέδριον, καὶ εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως, καὶ αὐτὸν οὕτω προῃρημένον. Ἀρχομένου δέ μου λέγειν, καὶ προθυμότερόν πως εἰσεληλυθότος εἰς τὸ συνέδριον, τῶν ἄλλων πυλαγόρων μεθεστηκότων, ἀναβοήσας τις τῶν Ἀμφισσέων ἄνθρωπος ἀσελγέστατος, καὶ, ὡς ἐμοὶ ἐφαίνετο, οὐδεμιᾶς παιδείας μετεσχηκὼς, ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν αὐτὸν προαγομένου· « Ἀρχὴν δέ γε, ἔφη, ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ' » ἂν ὠνομάζετο τοὔνομα τοῦ δήμου τῶν Ἀθηναίων ἐν ταῖσδε » ταῖς ἡμέραις, ἀλλ' ὡς ἐναγεῖς ἐξήγετε ἐκ τοῦ ἱεροῦ. » Ἅμα δὲ

ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας, ἣν ὁ Κρώβυλος (15) ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῄει λέγων, ἃ ἐγὼ οὔτε τότ' ἐκαρτέρουν ἀκούων, οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν.

Ἀκούσας δ' ἐγὼ, οὕτω παρωξύνθην, ὡς οὐδεπώποτ' ἐν τῷ ἐμαυτοῦ βίῳ. Καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι· ἐπῆλθε δ' οὖν μοι ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν Ἀμφισσέων ἐπὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς ἐδείκνυον τοῖς Ἀμφικτύοσιν (ὑπόκειται γὰρ τὸ Κιῤῥαῖον πεδίον τῷ ἱερῷ, καὶ ἔστιν εὐσύνοπτον)· « Ὁρᾶτε, ἔφην ἐγὼ, ὦ ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον τοῦτο τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων, καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ ἐπαύλια; ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον; ἴστε τούτους αὐτοὶ, καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπραχότας, καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος. » Ἅμα δὲ ἀναγινώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ Θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν τὴν γενομένην, καὶ διωριζόμην ὅτι ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τῶν Ἀθηναίων, καὶ τοῦ σώματος, καὶ τῶν τέκνων, καὶ οἰκίας τῆς ἐμαυτοῦ, βοηθῶ κατὰ τὸν τῶν προγόνων ὅρκον, καὶ τῷ Θεῷ, καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ, καὶ ποδὶ, καὶ φωνῇ, καὶ πᾶσιν οἷς δύναμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς Θεοὺς ἀφοσιῶ. « Ὑμεῖς δὲ ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύσασθε. Ἐνῆρκται μὲν τὰ κανὰ, παρέστηκε δὲ τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς Θεοὺς τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. Σκοπεῖτε δὴ ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι, τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους, τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους. Οὐ γὰρ δι' αἰνιγμάτων, ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ, κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτοὺς, καὶ κατὰ τῶν ἐπιτρεψάντων· καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται. Μήθ' ὁσίως θύοιεν οἱ μὴ τιμωροῦντες, φησὶ, τῷ Ἀπόλλωνι, μήτε τῇ Ἀρτέμιδι, μήτε τῇ Λητοῖ, μηδὲ Ἀθηνᾷ Προνοίᾳ· μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά. »

Τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων, καὶ λόγος ἦν οὐκ ἔτι ἐπὶ τῶν ἀσπίδων ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ' ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμωρίας. Ἤδη δὲ πόῤῥω τῆς ἡμέρας οὔσης, προσελθὼν ὁ κήρυξ ἀνεῖπε· « Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι, καὶ δούλους καὶ ἐλευθέρους, ἥκειν ἅμα τῇ ἡμέρᾳ, ἔχοντας ἄμας καὶ δικέλλας, πρὸς τὸ Θυτεῖον (16) ἐκεῖ καλούμενον. » Καὶ πάλιν ὁ αὐτὸς κήρυξ ἀνηγόρευε· « Τοὺς ἱερομνήμονας καὶ πυλαγόρας ἥκειν εἰς τὸν αὐτὸν τόπον, βοηθήσοντας τῷ θεῷ, καὶ τῇ γῇ τῇ ἱερᾷ· ἥτις δ' ἂν μὴ παρῇ πόλις, εἵρξεται τοῦ ἱεροῦ, καὶ ἐναγὴς ἔσται, καὶ τῇ ἀρᾷ ἔνοχος. »

Τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιῤῥαῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες, καὶ τὰς οἰκίας ἐμπρήσαντες, ἀνεχωροῦμεν. Ταῦτα δὲ ἡμῶν πραττόντων, οἱ Λοκροὶ, οἱ Ἀμφισσεῖς, ἑξήκοντα στάδια ἄπωθεν οἰκοῦντες Δελφῶν, ἧκον πρὸς ἡμᾶς μεθ' ὅπλων πανδημεὶ, καὶ, εἰ μὴ δρόμῳ μόλις ἐξεφύγομεν εἰς Δελφοὺς, ἐκινδυνεύσαμεν ἂν ἀπολέσθαι.

Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ Κόττυφος (17), ὁ τὰς γνώμας ἐπιψηφίζων, ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· ἐκκλησίαν γὰρ ὀνομάζουσιν, ὅταν μὴ μόνον τοὺς πυλαγόρας καὶ τοὺς ἱερομνήμονας συγκαλέσωσιν, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ θεῷ. Ἐνταῦθ' ἤδη πολλαὶ μὲν τῶν Ἀμφισσέων ἐγίνοντο κατηγορίαι, πολὺς δ' ἔπαινος ἦν κατὰ τῆς ὑμετέρας πόλεως· τέλος δὲ παντὸς τοῦ λόγου, ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης Πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα καθότι δίκας δώσουσιν οἱ Ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν, καὶ τὴν γῆν τὴν ἱερὰν, καὶ τοὺς Ἀμφικτύονας ἐξήμαρτον. Ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα.

Τοῦ δόγματος οὖν τούτου ἀποδοθέντος ὑφ' ὑμῶν τῇ βουλῇ, καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ, καὶ τὰς πράξεις ἡμῶν ἀπο-

δεξαμένου τοῦ δήμου, καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος, καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος· ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον, καὶ μεταστησάμενος τοὺς ἰδιώτας, ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν, προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν· τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι, καὶ γενέσθαι τοῦ δήμου τὸ ψήφισμα, ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ (οὐ γὰρ ἄν ποτε ἐπέτρεψα), καὶ τῶν πολλῶν δὲ ἀφειμένων· οὗ τὸ κεφάλαιόν ἐστι· τὸν δὲ ἱερομνήμονα, φησὶ, τῶν Ἀθηναίων, καὶ τοὺς πυλαγόρας τοὺς εἰσαεὶ πυλαγοροῦντας, πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων· εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς. Κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύλαις ἀπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος ἔμελλε χρόνου γίνεσθαι. Καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα γράφει. Τὸν ἱερομνήμονα, φησὶ, τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρας τοὺς ἀεὶ πυλαγοροῦντας, μὴ μετέχειν τοῖς ἐκεῖ συλλεγομένοις, μὴ λόγων, μήτε ἔργων, μήτε δογμάτων, μήτε πράξεως μηδεμιᾶς. Τὸ δὲ μὴ μετέχειν, τί ἐστί; πότερα τἀληθὲς εἴπω, ἢ τὸ ἥδιστον ἀκοῦσαι; Τὸ ἀληθὲς ἐρῶ· τὸ γὰρ αἰεὶ πρὸς ἡδονὴν λεγόμενον οὑτωσὶ τὴν πόλιν διατέθεικεν· οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς, οὐδὲ τῆς τοῦ θεοῦ μαντείας.

Ἡμεῖς μὲν οὖν, ὦ Ἀθηναῖοι, κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας, πλὴν μιᾶς πόλεως (ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτῆς μηδενὶ τῶν Ἑλλήνων), καὶ συνελθόντες, ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας, καὶ στρατηγὸν εἵλοντο Κόττυφον καὶ Φαρσάλιον, τὸν τότε τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ Ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις, οὕτω μακρὰν

ἀπόντος ὃν αὐτίκα μάλιστα τολμήσει λέγειν Δημοσθένης, ὡς ἐγὼ ἐπὶ τοὺς Ἕλληνας ἐπήγαγον. Καὶ παρελθόντες τῇ πρώτῃ στρατείᾳ, καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν. Ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων, χρήμασιν αὐτοὺς ἐζημίωσαν, καὶ ταῦτα ἐν ῥητῷ χρόνῳ προεῖπον τῷ Θεῷ καταθεῖναι· καὶ τοὺς μὲν ἐναγεῖς, καὶ τῶν πεπραγμένων αἰτίους, μετεστήσαντο, τοὺς δὲ δι' εὐσέβειαν φυγόντας κατήγαγον. Ἐπειδὴ δὲ οὐδὲ τὰ χρήματα ἐξέτινον τῷ Θεῷ, τούς τ' ἐναγεῖς κατήγαγον, καὶ τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν Ἀμφικτυόνων ἐξέβαλλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς Ἀμφισσεῖς στρατείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον ἐπανελθόντος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας (18), τῶν μὲν Θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἡμῖν παραδεδωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης.

Ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον ἡμῖν οἱ Θεοὶ φυλάξασθαι, μονονοὐκ ἀνθρώπων φωνὰς προσκτησάμενοι; οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν Θεῶν σωζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην. Οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, καὶ ἡ τῶν μυστῶν τελευτή; οὐ περὶ τούτων Ἀμεινιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι, καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν Θεὸν, ὅ τι χρὴ πράττειν; Δημοσθένης δὲ ἀντέλεγε, φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὢν, καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ἡμῶν αὐτῷ ἐξουσίας. Οὐ τὸ τελευταῖον, ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν ὄντων, ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; καίτοι γε πρώην ἀπετόλμησε λέγειν, ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά. Τίνος οὖν ζημίας ἄξιος εἶ τυχεῖν, ὦ τῆς Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερὰ, σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι, πρὶν καλλιερῆσαι, τοὺς στρατιώτας ἐξέπεμψας· πότερον στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις, ἢ ὑπερορίζεσθαι;

Τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ' ἡμῶν οὐ γέγονεν; οὐ γὰρ βίον γε ἡμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομένοις μεθ' ἡμᾶς ἔφυμεν. Οὐχ ὁ μὲν τῶν Περσῶν βασιλεὺς, ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων, ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ κύριος ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας; καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν; Θῆβαι δὲ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται; εἰ καὶ δικαίως, περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως, ἀλλὰ δαιμονίως κτησάμενοι. Λακεδαιμόνιοι δὲ οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες (19), καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι, μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρὶς, ὅ τι ἂν ἐκείνῳ δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθήσονται; Ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι κατὰ πόλεις, ἕκαστοι παρ' ἡμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκ ἔτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους;

Καὶ ταῦθ' ἡμῖν συμβέβηκεν ἐξότου Δημοσθένης πρὸς τὴν πολιτείαν εἰσελήλυθεν. Εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται· λέγει γάρ που παιδεύων τὰ πλήθη, καὶ συμβουλεύων ταῖς πόλεσι, τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι. Λέξω δὲ κἀγὼ τὰ ἔπη· διὰ τοῦτο γὰρ, οἶμαι, ἡμᾶς παῖδας ὄντας, τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

Πολλάκι δὲ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
Ὅς κεν ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
Λοιμὸν ὁμοῦ καὶ λιμὸν, ἀποφθινύθουσι δὲ λαοὶ,
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
Ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίννυται αὐτῶν.

Ἐὰν δὲ περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον, τὰς γνώμας ἐξετάζητε, οἶμαι ὑμῖν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι, ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν. Καὶ γὰρ ναυτικὴ καὶ πεζὴ στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας.

Il serait indigne de couronner l'auteur de toutes les calamités de la Grèce.

Ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος, ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν, ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον, ἐτόλμησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν, ἀναβὰς ἐπὶ τὸν τάφον (20) τῶν τετελευτηκότων, ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. Ὦ, πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων, ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσεις αὐτίκα μάλα, βλέπων εἰς τὰ τούτων πρόσωπα, λέγειν ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; Ἐὰν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη; Γένεσθε δή μοι μικρὸν χρόνον τὴν διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσατε ὁρᾷν προϊόντα τὸν κήρυκα, καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάῤῥησιν μέλλουσαν γίνεσθαι· καὶ λογίσασθε πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωϊκοῖς πάθεσι, τοῖς μετὰ ταῦτα ἐπεισιοῦσιν, ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ; τίς γὰρ

οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην, ἢ καὶ παιδευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ, μελλόντων ὥσπερ νυνὶ τῶν τραγῳδῶν γίνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις, καὶ βελτίοσι προστάταις ἐχρῆτο, προσελθὼν ὁ κήρυξ, καὶ παραστησάμενος τοὺς ὀρφανοὺς, ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν· « Ὅτι τούσδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ, ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν. » Τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον, τί ποτ' ἂν ἐρεῖ, ἢ τί φθέγξεται; Καὶ γὰρ ἂν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὐ τό ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπήσεται, ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι. Ὅτι τόνδε τὸν ἄνδρα (εἰ δὴ καὶ οὗτος ἀνὴρ) στεφανοῖ ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα, τὸν κάκιστον, ἀνδραγαθίας ἕνεκα, τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. Μὴ, πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, ἱκετεύω ὑμᾶς, ὦ Ἀθηναῖοι, μὴ τρόπαιον ἱστᾶτε ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας ἐναντίον τῶν Ἑλλήνων τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμνήσκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους Θηβαίους, οὓς, φυγόντας διὰ τοῦτον, ὑποδέδεχθε τῇ πόλει, ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία, καὶ τὸ βασιλικὸν χρυσίον. Ἀλλ' ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφοράς· καὶ νομίσατε ὁρᾷν ἁλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφὰς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους, οὐ τοῖς τιμωρουμένοις,

ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα, καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ, φυλάξασθαι. Οὔτε πόλις γὰρ, οὔτ' ἰδιώτης ἀνὴρ οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε, Δημοσθένει συμβούλῳ χρησάμενος. Ὑμεῖς δ', ὦ Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε, εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα, τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετραφότα, τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά;

Pourquoi les récompenses étaient rares autrefois chez les Grecs.

Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔτι μέμνημαι, προλέγω ὑμῖν, ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς, καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται, οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται. Τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. Ὅτι δ' ἀληθῆ λέγω, μεγάλα νῦν οἶμαι σημεῖα δείξειν ὑμῖν. Εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν, ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε ἐπὶ τῶν προγόνων. Ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν, ἢ νυνί; Τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. Δωρεαὶ δὴ, καὶ στέφανοι, καὶ κηρύγματα καὶ σιτήσεις ἐν Πρυτανείῳ, πότερον τότε ἦσαν πλείους ἢ νυνί; Τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν, καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ στεφανοῦν ἐξ ἔθους, ἀλλ' οὐκ ἐκ προνοίας, ποιεῖσθε. Οὐκοῦν ἄτοπον οὑτωσὶ διαλογιζομένοις, τὰς μὲν δωρεὰς νῦν πλείους εἶναι, τὰ δὲ πράγματα

τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δ' ἀμείνους.

Ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχειρήσω διδάσκειν. Οἴεσθε ἄν ποτε, ὦ Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ Παναθήναια, ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων, παγκράτιον, ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ, ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδεὶς ἄν ποτ' ἠθέλησεν ἐπασκεῖν. Νῦν δ', οἶμαι, διὰ τὸ σπάνιον, καὶ τὸ περιμάχητον, καὶ τὸ καλὸν, καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης, ἐθέλουσί τινες, τὰ σώματα παρακαταθέμενοι, καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες, διακινδυνεύειν. Ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς, κἀκεῖνο ἐκλογίσασθε ὅτι, ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς· ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε.

Ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. Πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ο στρατηγήσας, ὅτ' ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ Δημοσθένης, ὁ τὰς τάξεις λιπών; Μιλτιάδης δὲ, ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗτος; ἔτι δ', οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες; Ἀριστείδης θ', ὁ δίκαιος ἐπικαλούμενος, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; Ἀλλ' ἔγωγε, μὰ τοὺς θεοὺς τοὺς ὀλυμπίους, οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου, καὶ ἐκείνων τῶν ἀνδρῶν. Ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὑτοῦ λόγῳ, εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι. Ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; Οὐκ, ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ οὕτω τετιμημένοι, τῆς πόλεως ἄξιοι. Οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει.

L'intérêt de l'État demande que Démosthène et Ctésiphon soient condamnés.

Τὸ δὲ μέγιστον, ἐὰν ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι, πρὸς ποῖον παράδειγμα χρὴ αὐτοὺς τὸν βίον ποιεῖσθαι, τί ἀποκρινεῖσθε; Εὖ γὰρ ἴστε ὅτι οὐχ αἱ παλαῖστραι, οὐδὲ τὰ διδασκαλεῖα, οὐδ' ἡ μουσικὴ (21) μόνον παιδεύει τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια κηρύγματα. Κηρύττεταί τις ἐν τῷ θεάτρῳ ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα, καὶ ἀνδραγαθίας καὶ εὐνοίας, ἄνθρωπος ἀσχήμων ὢν τῷ βίῳ καὶ βδελυρός; ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν, διεφθάρη. Δίκην τις δέδωκε πονηρὸς, καὶ πορνοβοσκὸς, ὥσπερ Κτησιφῶν; οἱ δέ γε ἄλλοι πεπαίδευνται. Τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων, ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν; ὁ δέ γε εἰκότως οὐ πείθεται· ἀλλὰ τὸ νουθετεῖν ἐνταῦθα ἐνοχλεῖν ἤδη δικαίως ὀνομάζεται. Ὡς οὖν μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν τοῖς νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς τί ἐδικάζετε. Εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος. Ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις ὑμᾶς, ἀλλὰ τῇ τοῦ Δημοσθένους ἀνανδρίᾳ προσεικασθῆναι.

Πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; Ἐὰν τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. Ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ· φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ, ὡς ἐπὶ πολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες. Ὅταν οὖν λάβητε ῥήτορα στεφάνων καὶ κηρυγμάτων ἐν τοῖς Ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε καὶ τῶν λόγων (ὥσπερ τὰς βεβαιώσεις τῶν κηρυγμάτων ὁ νόμος κελεύει ποιεῖσθαι) εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα. Ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ

τῆς δημοκρατίας ἐπιμελήθητε, ἤδη διαφευγούσης ὑμᾶς. Ἢ οὐ δεινὸν ὑμῖν δοκεῖ εἶναι, ὅτι τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παροράται, αἱ δ' ἐπιστολαὶ καὶ αἱ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας, οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων, ἀλλὰ παρὰ τῶν πρωτευόντων ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Εὐρώπῃ; καὶ ἐφ' οἷς ἐστιν ἐκ τῶν νόμων ζημία θάνατος, ταῦτα τινὲς οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις παραναγινώσκουσι, καὶ παρακελεύονται ὑμῖν, οἱ μὲν βλέπειν εἰς τὸ ἑαυτῶν πρόσωπα, ὡς φύλακες τῆς δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς, ὡς σωτῆρες τῆς πόλεως ὄντες. Ὁ δὲ δῆμος, ἐκ τῆς ἀθυμίας τῶν συμβεβηκότων, ὥσπερ παραγεγηρακὼς, ἢ παρανοίας ἑαλωκὼς, αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας, περιποιεῖται, τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν. Ἔπειτ' ἀπέρχεσθε ἐκ τῶν ἐκκλησιῶν, οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν ἐράνων, τὰ περιόντα νειμάμενοι.

Ὅτι δ' οὐ ληρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε. Ἐγένετό τις (ἄχθομαι δὲ πολλάκις μεμνημένος τὰς ἀτυχίας τῆς πόλεως) ἐνταῦθ' ἀνὴρ ἰδιώτης, ὃς ἐκπλεῖν μόνον εἰς Σάμον ἐγχειρίσας, ὡς προδότης τῆς πατρίδος, αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. Ἕτερος (22) δ' ἰδιώτης ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτὲ εἰσηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώριστ' ἄν, ἢ ἀπέθανεν. Ἀντιθῶμεν δὴ τὸ νῦν γινόμενον. Ἀνὴρ ῥήτωρ ἁπάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται δεῖν. Οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον, ὡς κοινὴν τῶν Ἑλλήνων συμφοράν, ἢ συλλαβόντες, ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσετε;

Καὶ τὸν καιρὸν μέμνησθε, ἐν ᾧ τὴν ψῆφον φέρετε. Ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια γίνεσθαι, καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται δ' ἡμῶν ἡ πόλις ἐκ τῶν Δημο-

σθένους πολιτευμάτων περὶ τοὺς νῦν καιρούς. Δόξετε δὲ, ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην· ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν. Μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως, βουλεύεσθε· καὶ τὰς φιλοτιμίας μὴ νέμετε, ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἀξιολογωτέρους ἄνδρας ἀπόθεσθε.

Péroraison.

Ὅταν δ' ἐπὶ τελευτῆς ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν, τοὺς τῆς πόλεως εὐεργέτας· Σόλωνα μὲν, τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθὸν, σωφρόνως, ὥσπερ προσῆκεν αὐτῷ, δεόμενον ὑμῶν, μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων· Ἀριστείδην δὲ, τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ, καὶ ἐπερωτῶντα, εἰ οὐκ αἰσχύνεσθε, εἰ οἱ μὲν πατέρες ὑμῶν Ἄρθμιον τὸν Ζελείτην (23), κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τῶν Ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως, καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν· ὑμεῖς δὲ Δημοσθένην, οὐ κομίσαντα τὸ ἐκ Μήδων χρυσίον, ἀλλὰ δωροδοκήσαντα, καὶ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν; Θεμιστοκλέα δὲ, καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς, καὶ αὐτοὺς τοὺς τάφους τῶν προγόνων, οὐκ ἂν οἴεσθε ἀναστενάξαι, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράξαι στεφανωθήσεται;

Ἐγὼ μὲν οὖν, ὦ Γῆ, καὶ Ἥλιε, καὶ Ἀρετὴ, καὶ Σύνεσις, καὶ

Παιδεία, ᾗ διαγινώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρὰ, βεβοήθηκα, καὶ εἴρηκα. Καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην· εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. Ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων, καὶ ἐκ τῶν παραλειπομένων, αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

ESCHINE.

Discours de Démosthène pour Ctésiphon. — Exorde.

Πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ', ὅπερ ἐστὶ μάλιστ' ὑπὲρ ὑμῶν, καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ (σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε), ἀλλὰ τοὺς νόμους, καὶ τὸν ὅρκον, ἐν ᾧ, πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις, καὶ τοῦτο γέγραπται· ΤΟ ΟΜΟΙΩΣ ΑΜΦΟΙΝ ΑΚΡΟΑΣΘΑΙ. Τοῦτο δ' ἐστὶν, οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδὲν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προήρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι.

Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου· δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα. Ἓν μὲν, ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι. Οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν, καὶ τούτῳ μὴ ἑλεῖν τὴν γραφήν· ἀλλ' ἐμοὶ μὲν... οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν, ἀρχόμενος τοῦ λόγου· οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ· Ἕτερον δ', ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι· τούτων τοίνυν, ὃ μέν ἐστι πρὸς ἡδονὴν, τούτῳ δέδοται· ὃ δὲ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἐνοχλεῖ, λοιπὸν ἐμοί. Κἂν μὲν

εὐλαβούμενος τοῦτο, μὴ λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι, δεικνύναι· ἂν δ' ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. Πειράσομαι μὲν οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ τι δ' ἂν τὸ πρᾶγμα αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δίκαιος ἔχειν, ὁ τοιοῦτον ἀγῶνα ἐνστησάμενος.

Οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες δικασταί, πάντας ἂν ὁμολογῆσαι, κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶνα ἐμοί τε καὶ Κτησιφῶντι, καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί. Πάντων μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπὸν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῳ τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας τε καὶ φιλανθρωπίας, ὅσῳπερ καὶ τὸ τυχεῖν τούτων μέγιστόν ἐστι.

Περὶ τούτων δ' ὄντος τουτουῒ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν, ἀκοῦσαί μου περὶ τῶν κατηγορημένων ἀπολογουμένου δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν. Οὓς ὁ τιθεὶς ἐξαρχῆς Σόλων, εὔνους ὢν ὑμῖν καὶ δημοτικὸς, οὐ μόνον τῷ γράψαι κυρίους ᾤετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ τους δικάζοντας ὑμᾶς ὀμωμοκέναι· οὐκ ἀπιστῶν ὑμῖν, ὥς γέ μοι φαίνεται, ἀλλ' ὁρῶν ὅτι τὰς αἰτίας καὶ τὰς διαβολὰς, αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν, τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν διαφυλάττων, καὶ τὰ τοῦ λέγοντος ὕστερον δίκαια εὐνοϊκῶς προσδέξηται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατὴν, οὕτω τὴν διάγνωσιν ποιήσηται περὶ πάντων.

Μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς, ὡς ἔοικε, λόγον διδόναι τήμερον, καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλομαι, καθάπερ ἐν ἀρχῇ, πάλιν τοὺς θεοὺς παρακαλέσαι· καὶ ἐναντίον ὑμῶν εὔχομαι, πρῶτον μὲν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ', ὅ τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν

κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι τοὺς θεοὺς πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι.

Eschine n'a point accusé Démosthène lorsque les faits étaient récens.

Τὰ μὲν οὖν κατηγορημένα, πολλὰ καὶ δεινὰ, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὐτὴ, ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν, καὶ λοιδορίαν, καὶ προπηλακισμὸν ὁμοῦ, καὶ πάντα τὰ τοιαῦτα. Τῶν μέντοι κατηγοριῶν, καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ' ἐγγύς. Οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν· οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν, οὔτε, μὰ τοὺς θεοὺς, ὀρθῶς ἔχον, οὔτε πολιτικὸν, οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν, οὖσί γε τηλικούτοις ἡλίκα νῦν ἐτραγῴδει καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τὰ ἀδικήματα χρῆσθαι· εἰ μὲν εἰσαγγελίας ἄξια πράττοντά με ἑώρα, εἰσαγγέλλοντα, καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν· εἰ δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον. Οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται διώκειν (24) δι' ἐμὲ, ἐμὲ δ', εἴπερ ἐξελέγχειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. Καὶ μὴν, εἴ τι τῶν ἄλλων, ὧν νυνὶ διέβαλλε καὶ διεξῄει, καὶ ἄλλ' ὁτιοῦν ἀδικοῦντά με ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ πάντων, καὶ τιμωρίαι, καὶ ἀγῶνες, καὶ κρίσεις, πικρὰ καὶ μεγάλα ἔχουσαι τὰ ἐπιτίμια. Καὶ τούτοις ἐξῆν αὐτῷ ἅπασι χρῆσθαι κατ' ἐμοῦ, καὶ ὁπηνίκα ἐφαίνετο ταῦτα πεποιηκὼς, καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμὲ, ὡμολογεῖτο ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ. Νῦν δ' ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ, καὶ φυγὼν τοὺς παρ' αὐτὰ τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις αἰτίας καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας, ὑποκρίνεται. Εἶτα, κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί. Καὶ τοῦ μὲν

ἀγῶνος ὅλου, τὴν πρὸς ἐμέ πως ἔχθραν προΐσταται· οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοὶ, τὴν ἑτέρου ζητῶν ἐπιτιμίαν ἀφελέσθαι φαίνεται. Καίτοι πρὸς ἅπασιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἄλλοις δικαίοις, οἷς ἂν εἰπεῖν τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἔμοιγε δοκεῖ καὶ μάλα εἰκότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐφ' ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

Division du discours. Acte d'accusation.

Βούλομαι τοίνυν ἤδη καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀπολογήσασθαι, καὶ διεξελθεῖν τὰ πεπραγμένα ἐμαυτῷ, ἵνα, καίπερ εἰδὼς Αἰσχίνης, ὅμως ἀκούσῃ δι' ἅ φημι, καὶ τούτων τῶν προβεβουλευμένων, καὶ πολλῷ μειζόνων ἔτι τούτων δωρεῶν, δίκαιος εἶναι τυγχάνειν. Καί μοι λέγε τὴν γραφὴν ταύτην λαβών.

Ἐπὶ Χαιρωνίδου ἄρχοντος, Ἐλαφηβολιῶνος ἕκτῃ ἱσταμένου, Αἰσχίνης Ἀτρομήτου, Κοθωκίδης, ἀπήνεγκε πρὸς τὸν ἄρχοντα παρανόμων γραφὴν, κατὰ Κτησιφῶντος τοῦ Λεωσθένους, Ἀναφλυστίου, ὅτι ἔγραψε παράνομον ψήφισμα, ὡς ἄρα δεῖ στεφανῶσαι Δημοσθένην Δημοσθένους, Παιανιέα, χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ, Διονυσίοις τοῖς μεγάλοις, τραγῳδοῖς καινοῖς, ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην Δημοσθένους, Παιανιέα, χρυσῷ στεφάνῳ, ἀρετῆς ἕνεκα καὶ εὐνοίας, ἧς ἔχων διατελεῖ εἴς τε τοὺς Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον τῶν Ἀθηναίων, καὶ ἀνδραγαθίας χάριν· καὶ διότι διατελεῖ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ, καὶ πρόθυμός ἐστι ποιεῖν ὅ τι ἂν δύνηται ἀγαθόν· πάντα ταῦτα ψευδῆ γράψας καὶ παράνομα, τῶν νόμων οὐκ ἐώντων, πρῶτον μὲν ψευδεῖς γραφὰς εἰς τὰ δημόσια γράμματα καταβάλλεσθαι, εἶτα τὸν ὑπεύθυνον στεφανοῦν· ἔστι δὲ Δημοσθένης τειχοποιὸς, καὶ ἐπὶ τῶν θεωρικῶν τεταγμένος· ἔτι δὲ μὴ ἀναγορεύειν τὸν στέφανον ἐν τῷ

θεάτρῳ, Διονυσίοις, τραγῳδῶν τῇ καινῇ, ἀλλ' ἐὰν μὲν ἡ βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν· ἐὰν δὲ ἡ πόλις, ἐν Πνυκὶ, ἐν τῇ ἐκκλησίᾳ. Τίμημα, τάλαντα πεντήκοντα. Κλήτορες, Κηφισοφῶν Κηφισοφῶντος, Ῥαμνούσιος, Κλέων Κλέωνος, Κοθωκίδης.

Ἃ μὲν διώκει τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἐστίν· ἐγὼ δ' ἀπ' αὐτῶν τούτων, πρῶτον οἶμαι δῆλον ὑμῖν ποιήσειν, ὅτι πάντα δικαίως ἀπολογήσομαι. Τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν, περὶ πάντων ἐρῶ καθέκαστον ἐφεξῆς, καὶ οὐδὲν ἑκὼν παραλείψω. Τοῦ μὲν οὖν γράψαι πράττοντά με καὶ λέγοντα τὰ βέλτιστα τῷ δήμῳ διατελεῖν, καὶ πρόθυμον εἶναι ποιεῖν ὅ τι ἂν δύνωμαι ἀγαθὸν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς πεπολιτευμένοις τὴν κρίσιν εἶναί μοι νομίζω. Ἀπὸ γὰρ τούτων ἐξεταζομένων, εὑρεθήσεται, εἴτε ἀληθῆ περὶ ἐμοῦ γέγραφε Κτησιφῶν, ταῦτα καὶ προσήκοντα, εἴτε καὶ ψευδῆ.

Démosthène se justifie sur le premier chef d'accusation.

Βαδιοῦμαι δ' ἐπ' αὐτὰ, ἃ πέπρακταί μοι· καί με μηδεὶς ὑπολάβῃ ἀπαρτᾷν τὸν λόγον τῆς γραφῆς, ἐὰν εἰς Ἑλληνικὰς πράξεις καὶ λόγους ἐμπέσω. Ὁ γὰρ διώκων τοῦ ψηφίσματος τὸ λέγειν καὶ πράττειν τὰ ἄριστά με, καὶ γεγραμμένος ταῦτα ὡς οὐκ ἀληθῆ, οὗτός ἐστιν ὁ τοὺς περὶ ἁπάντων τῶν ἐμοὶ πεπολιτευμένων καὶ πεπραγμένων λόγους οἰκείους καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς· εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας, τὰς περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ· ὥστε καὶ τὰς ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι.

Ἃ μὲν οὖν, πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ, προὔλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων εἶναι πρὸς ἐμέ· ἃ δ' ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγὼ, διε-

κωλύθη, ταῦτα ἀναμνήσω, καὶ τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών.

Πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ. Παρὰ γὰρ τοῖς Ἕλλησιν, οὐ τισὶν, ἀλλὰ πᾶσιν ὁμοίως, φορὰν προδοτῶν, καὶ δωροδόκων, καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων, συνέβη γενέσθαι, καὶ τοσαύτην, ὅσην οὐδεὶς πω πρότερον μέμνηται γεγονυῖαν. Οὓς συναγωνιστὰς καὶ συνεργοὺς λαβὼν ὁ Φίλιππος, καὶ πρότερον κακῶς τοὺς Ἕλληνας ἔχοντας πρὸς ἑαυτοὺς καὶ στασιαστικῶς, ἔτι χεῖρον διέθηκε, τοὺς μὲν ἐξαπατῶν, τοῖς δὲ διδοὺς, τοὺς δὲ πάντα τρόπον διαφθείρων, καὶ διέστησεν εἰς μέρη πολλὰ, ἑνὸς τοῦ συμφέροντος ἅπασιν ὄντος, κωλύειν ἐκεῖνον μέγαν γίγνεσθαι. Ἐν τοιαύτῃ δὲ καταστάσει, καὶ ἔτι ἀγνοίᾳ τοῦ συνισταμένου καὶ φυομένου κακοῦ, τῶν ἁπάντων Ἑλλήνων ὄντων, δεῖ σκοπεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τί προσῆκον ἦν ἑλέσθαι πράττειν καὶ ποιεῖν τὴν πόλιν, καὶ τούτων λόγον παρ' ἐμοῦ λαβεῖν. Ὁ γὰρ ἐνταῦθα ἑαυτὸν τάξας τῆς πολιτείας, εἰμὶ ἐγώ. Πότερον αὐτὴν ἐχρῆν, Αἰσχύνη, τὸ φρόνημα ἀφεῖσαν, καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς, ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει συγκατακτᾶσθαι Φιλίππῳ τὴν τῶν Ἑλλήνων ἀρχὴν, καὶ τὰ τῶν προγόνων καλὰ καὶ δίκαια ἀναιρεῖν; ἢ τοῦτο μὲν μὴ ποιεῖν (δεινὸν γὰρ ὡς ἀληθῶς), ἃ δ' ἑώρα συμβησόμενα, εἰ μηδεὶς κωλύσει, καὶ προῃσθάνετο, ὡς ἔοικεν, ἐκ πολλοῦ, ταῦτα περιϊδεῖν γιγνόμενα;

Ἀλλὰ νῦν ἔγωγε τὸν μάλιστα ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν; πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς Ἕλλησι κακῶν καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς καὶ τοὺς μετὰ τούτων εἴποι τις; ἢ τῆς περιεωρακυίας ταῦτα γιγνόμενα ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι; ἧς ἂν Ἀρκάδας, καὶ Μεσσηνίους, καὶ Ἀργείους θείημεν; Ἀλλὰ καὶ τούτων πολλοὶ, μᾶλλον δὲ πάντες, χεῖρον ἡμῶν ἀπηλλάχασι. Καὶ γὰρ, εἰ μὲν, ὡς ἐκράτησε Φίλιππος, ᾤχετ' εὐθὺς ἀπιὼν, καὶ μετὰ ταῦτ' ἦγεν ἡσυχίαν, μήτε τῶν

αὐτοῦ συμμάχων, μήτε τῶν ἄλλων Ἑλλήνων μηδένα μηδὲν λυπήσας, ὅμως ἦν ἄν τις κατὰ τῶν οὐκ ἐναντιωθέντων οἷς ἔπραττεν ἐκεῖνος, μέμψις καὶ κατηγορία. Εἰ δὲ ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, τὴν ἐλευθερίαν περιείλετο, μᾶλλον δὲ καὶ τὰς πολιτείας ὅσων ἠδύνατο, πῶς οὐχ ἁπάντων ἐνδοξότατα ὑμεῖς ἐβουλεύσασθε, ἐμοὶ πεισθέντες; Ἀλλ' ἐκεῖσε ἐπανέρχομαι· τί τὴν πόλιν, Αἰσχίνη, προσῆκε ποιεῖν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; ἢ τί τὸν σύμβουλον ἔδει λέγειν ἢ γράφειν τὸν Ἀθήνησιν ἐμέ (καὶ γὰρ τοῦτο πλεῖστον διαφέρει); ὃς συνῄδειν μὲν ἐκ παντὸς τοῦ χρόνου μέχρι τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς αὐτὸς ἐπὶ τὸ βῆμα ἀνέβην, ἀεὶ περὶ πρωτείων, καὶ τιμῆς, καὶ δόξης ἀγωνιζομένην τὴν πατρίδα, καὶ πλείω σώματα καὶ χρήματα ἀναλωκυῖαν ὑπὲρ φιλοτιμίας, καὶ τῶν ἅπασι τοῖς Ἕλλησι συμφερόντων, ἢ τῶν ἄλλων Ἑλλήνων ὑπὲρ αὐτῶν ἀναλώκασιν ἕκαστοι· ἑώρων δ' αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἡμῖν ὁ ἀγών, ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον, πᾶν ὅ τι ἂν βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο ῥᾳδίως καὶ ἑτοίμως προϊέμενον, ὥστε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν. Καὶ μήν, οὐδὲ τοῦτό γε οὐδεὶς ἂν εἰπεῖν τολμήσειεν, ὡς τῷ μὲν ἐν Πέλλῃ (25) τραφέντι, χωρίῳ ἀδόξῳ τότε γε ὄντι καὶ μικρῷ, τοσαύτην μεγαλοψυχίαν προσῆκεν ἐγγενέσθαι, ὥστε τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι, καὶ τοῦτ' εἰς τὸν νοῦν ἐμβαλέσθαι· ὑμῖν δὲ οὖσιν Ἀθηναίοις, καὶ καθ' ἡμέραν ἑκάστην ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι τῆς τῶν προγόνων ἀρετῆς ὑπομνήμαθ' ὁρῶσι, τοσαύτην κακίαν ὑπάρξαι, ὥστε τῆς τῶν Ἑλλήνων ἐλευθερίας αὐτεπαγγέλτους ἐθελοντὰς παραχωρῆσαι Φιλίππῳ. Οὐδ' ἂν εἷς ταῦτα φήσειε.

Λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον ἅμα, πᾶσιν, οἷς ἐκεῖνος ἔπραττεν, ἀδικῶν ὑμᾶς, ἐναντιοῦσθαι δικαίως. Τοῦτ' ἐποιεῖτε μὲν ἐξ ἀρχῆς ὑμεῖς, εἰκότως καὶ προσηκόντως· ἔγραφον δὲ καὶ

συνεβούλευον ἐγὼ, καθ' οὓς ἐπολιτευόμην χρόνους, ὁμολογῶ. Ἀλλὰ τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σε ἐρωτῶ. Πάντα τὰ ἄλλα ἀφεὶς, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν (26), Ἀλόννησον (27), οὐδενὸς τούτων μέμνημαι· Σέῤῥιον (28) δὲ καὶ Δορίσκον (29), καὶ τὴν Πεπαρήθου (30) πόρθησιν, καὶ ὅσα ἄλλα τοιαῦτα ἡ πόλις ἠδίκητο, οὐδ' εἰ γέγονεν οἶδα. Καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντα, εἰς ἔχθραν ἐμβαλεῖν τουτουσὶ, Εὐβούλου, καὶ Ἀριστοφῶντος, καὶ Διοπείθους, τῶν περὶ τούτων ψηφισμάτων ὄντων, οὐκ ἐμῶν, ὦ λέγων εὐχερῶς πᾶν ὅ τι ἂν βουληθῇς. Οὐδὲ νῦν περὶ τούτων ἐρῶ. Ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ Μεγάροις (31) ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεὸν (32), καὶ κατασκάπτων Πορθμὸν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δ' Ἐρετρίᾳ (33) Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' ἑαυτῷ ποιούμενος, καὶ Βυζάντιον (34) πολιορκῶν, καὶ πόλεις Ἑλληνίδας, τινὰς μὲν ἀναιρῶν, εἴς τινας δὲ τοὺς φυγάδας κατάγων, πότερον ταῦτα πάντα ποιῶν, ἠδίκει καὶ παρεσπόνδει, καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ; καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆν, ἢ μή; εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν λείαν (35) καλουμένην, τὴν Ἑλλάδα οὖσαν ὀφθῆναι, ζώντων Ἀθηναίων καὶ ὁρώντων, περιείργασμαι μὲν ἐγὼ, περὶ τούτων εἰπὼν, περιείργασται δ' ἡ πόλις ἡ πεισθεῖσα ἐμοί· ἔστω δὲ ἀδικήματα πάντα ταῦτα, ἃ πέπρακται, καὶ ἁμαρτήματα ἐμά. Εἰ δὲ ἔδει τούτων κωλυτὴν φανῆναι, τίνα ἄλλον ἢ τὸν Ἀθηναίων δῆμον προσῆκε γενέσθαι; Ταῦτα τοίνυν ἐπολιτευόμην τότ' ἐγώ· καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώπους ἐκεῖνον, ἠναντιούμην, καὶ προλέγων καὶ διδάσκων μὴ προΐεσθαι ταῦτα Φιλίππῳ διετέλουν.

Καὶ μὴν τὴν εἰρήνην γε ἐκεῖνος ἔλυσε, τὰ πλοῖα λαβὼν, οὐχ ἡ πόλις, Αἰσχίνη. Φέρε δὴ αὐτὰ τὰ ψηφίσματα, καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, καὶ λέγε ἐφεξῆς. Ἀπὸ γὰρ τούτων ἐξεταζομένων, τίς τίνος αἴτιός ἐστι γενήσεται φανερόν.

Prise d'Élatée : consternation des Athéniens.

Ἑσπέρα μὲν γὰρ ἦν· ἧκε δ' ἀγγέλων τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια (36) κατείληπται. Καὶ μετὰ ταῦτα, οἱ μὲν εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες, τούς τε ἐκ τῶν σκηνῶν, τῶν κατὰ τὴν ἀγορὰν, ἐξεῖργον, καὶ τὰ γέῤῥα ἐνεπίμπρασαν· οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο, καὶ τὸν σαλπιγκτὴν ἐκάλουν· καὶ θορύβου πλήρης ἦν ἡ πόλις. Τῇ δ' ὑστεραίᾳ, ἅμα τῇ ἡμέρᾳ, οἱ μὲν πρυτάνεις τὴν βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον, ὑμεῖς δ' εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε· καὶ πρὶν ἐκείνην χρηματίσαι καὶ προβουλεῦσαι, πᾶς ὁ δῆμος ἄνω καθῆτο. Καὶ μετὰ ταῦτα ὡς εἰσῆλθεν ἡ βουλὴ, καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγγελμένα ἑαυτοῖς, καὶ τὸν ἥκοντα παρήγαγον, κἀκεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κήρυξ, Τίς ἀγορεύειν βούλεται; παρῄει δ' οὐδείς. Πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος, οὐδὲν μᾶλλον ἀνίστατο οὐδεὶς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῇ κοινῇ τῆς πατρίδος φωνῇ τὸν ἐροῦνθ' ὑπὲρ σωτηρίας· ἣν γὰρ ὁ κήρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι. Καίτοι εἰ μὲν τοὺς σωθῆναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει, πάντες ἂν ὑμεῖς καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἀναστάντες, ἐπὶ τὸ βῆμα ἐβαδίζετε· πάντες γὰρ, εὖ οἶδ' ὅτι, σωθῆναι αὐτὴν ἐβούλεσθε· εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι· εἰ δὲ τοὺς ἀμφότερα ταῦτα, καὶ εὔνους τῇ πόλει, καὶ πλουσίους, οἱ μετὰ ταῦτα τὰς μεγάλας ἐπιδόσεις ἐπιδόντες· καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ' ἐποίησαν. Ἀλλ', ὡς ἔοικεν, ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη, οὐ μόνον εὔνουν καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς, καὶ συλλελογισμένον ὀρθῶς, τίνος ἕνεκα ταῦτ' ἔπραττεν ὁ Φίλιππος, καὶ τί βουλόμενος. Ὁ γὰρ μὴ ταῦτ' εἰδὼς, μήτ' ἐξητακὼς πόῤῥωθεν ἐπιμελῶς, οὔτ' εἰ εὔνους ἦν, οὔτ' εἰ πλούσιος, οὐδὲν μᾶλλον ἔμελλεν ὅ τι χρὴ ποιεῖν εἴσεσθαι, οὐδ' ὑμῖν ἕξειν συμβουλεύειν. Ἐφάνην τοίνυν οὗτος ἐν

ἐκείνῃ τῇ ἡμέρᾳ ἐγὼ, καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς, ἅ μου δυοῖν ἕνεκ' ἀκούσατε προσέχοντες τὸν νοῦν· ἑνὸς μὲν, ἵν' εἰδῆτε ὅτι μόνος τῶν λεγόντων καὶ πολιτευομένων ἐγὼ τὴν τῆς εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον, ἀλλὰ καὶ λέγων καὶ γράφων ἐξηταζόμην τὰ δέοντα ὑπὲρ ὑμῶν ἐν αὐτοῖς τοῖς φοβεροῖς· ἑτέρου δὲ, ὅτι μικρὸν ἀναλώσαντες χρόνον, πολλῷ πρὸς τὰ λοιπὰ τῆς πάσης πολιτείας ἔσεσθε ἐμπειρότεροι.

Démosthène a pris, dans les conjonctures difficiles, le seul parti qu'il y avait à prendre.

Ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥστε, ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλο ἐνῆν, πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. Εἰ γάρ ἐσθ' ὅ τι τις νῦν ἑώρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθὲν, τοῦτ' ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν. Εἰ δὲ μήτ' ἐστὶ, μήτε ἦν, μήτ' ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ τήμερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; Τοῦτο τοίνυν ἐποίησα ἐγὼ, τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη· Τίς ἀγορεύειν βούλεται; οὐ, Τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων; οὐδὲ, Τίς ἐγγυᾶσθαι τὰ μέλλοντα ἔσεσθαι; Σοῦ δ' ἀφώνου κατ' ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ παρελθὼν ἔλεγον. Ἐπειδὴ δὲ οὐ τότε, ἀλλὰ νῦν δεῖξον, εἰπέ· Τίς ἢ λόγος, ὅντινα ἐχρῆν εὑρεῖν, ἢ καιρὸς συμφέρων, ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει; τίς δὲ συμμαχία, τίς πρᾶξις, ἐφ' ἣν μᾶλλον ἔδει με ἀγαγεῖν τουτουσί; Ἀλλὰ μὴν, τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν· τὸ δὲ μέλλον ἢ τὸ παρὸν, τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ. Τότε τοίνυν τὰ μὲν ἔμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ' ἤδη παρῆν. Ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβάντα συκοφάντει. Τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάντων γίγνεται· ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δη-

λοί. Μὴ δὴ τοῦτο, ὡς ἀδίκημα ἐμὸν Ͽῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τὴν μάχην· ἐν γὰρ τῷ Ͽεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοί. ἀλλ' ὡς οὐχ ἅπαντα, ὅσα ἐνῆν κατ' ἀνθρώπινον λογισμὸν εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα ἐνεστησάμην, καὶ ἀναγκαῖα, ταῦτά μοι δεῖξον, καὶ τότ' ἤδη κατηγόρει μου. Εἰ δ' ὁ συμβὰς σκηπτὸς, ἢ χειμὼν, μὴ μόνον ὑμῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων Ἑλλήνων μείζων γέγονε, τί χρὴ ποιεῖν; ὥσπερ ἂν εἴ τις ναύκληρον πάντ' ἐπὶ σωτηρίᾳ πράξαντα, καὶ πᾶσι κατασκευάσαντα τὸ πλοῖον, ἀφ' ὧν ὑπελάμβανε σωθήσεσθαι· εἶτα χειμῶνι χρησάμενον, καὶ πονησάντων αὐτῷ τῶν σκευῶν, ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο. Ἀλλ' οὔτε ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἂν, ὥσπερ οὐδ' ἐστρατήγουν ἐγώ· οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ' ἐκείνη τῶν πάντων.

Il est choisi pour faire l'éloge de ceux qui sont morts à Chéronée.

Πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ πόλις, Αἰσχίνη, καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησε. Σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα, οὐ σὲ ἐχειροτόνησε προβληθέντα, οὐ σὲ, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμονα, οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ. Καὶ παρελθόντος σοῦ καὶ Πυθοκλέους, ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ Ͽεοὶ, καὶ κατηγορούντων ἐμοῦ ταῦτα ἃ καὶ σὺ νυνὶ, καὶ λοιδορουμένων, ἔτι ἄμεινον ἐχειροτόνησεν ἐμέ. Τὸ δ' αἴτιον οὐκ ἀγνοεῖς μὲν, ὅμως δὲ φράσω σοι καὶ ἐγώ. Ἀμφότερα ᾔδεσαν οὗτοι, τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν. Ἃ γὰρ εὐθηνούντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύμενοι, ταῦτ' ἐν οἷς ἔπταισεν ἡ πόλις ὡμολογήσατε. Τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν, ὧν ἐρρό-

νουν λαβόντας ἄδειαν, ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσαντο αὐτοῖς γεγενῆσθαι. Εἶτα καὶ προσήκειν ὑπελάμβανον τὸν ἐροῦντα ἐπὶ τοῖς τετελευτηκόσι, καὶ τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα, μήθ' ὁμωρόφιον, μήθ' ὁμόσπονδον γεγενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις· μηδ' ἐκεῖ μὲν κωμάζειν καὶ παιανίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντα τιμᾶσθαι· μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινόμενον τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν. Τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς, καὶ παρ' ἐμοὶ, παρὰ δ' ὑμῖν οὔ. Διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν, καὶ οὐχ ὑμᾶς. Καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ ἀδελφοὶ ὑπὸ τοῦ δήμου τότε αἱρεθέντες ἐπὶ τὰς ταφὰς, ἄλλως πως· ἀλλὰ, δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον, οὐ παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥσπερ τἄλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν, ἀλλὰ παρ' ἐμοί. Εἰκότως· γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω. Ὧ γὰρ τὸ ἐκείνους σωθῆναι καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ παθόντων ἃ μήποτ' ὤφελον, τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχε

Services que Démosthène a rendus à l'état.

Τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν, ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω· πῶς γὰρ οὔ; πόρρω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. Οὐ γὰρ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγώ; οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλει δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα, καὶ πόλεις, καὶ τόπους, καὶ λιμένας, καὶ ναῦς, καὶ ἵππους, καὶ τοὺς ὑπὲρ τούτων ἀμυνουμένους. Ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατὸν, καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον μόνον τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεος. Οὐδέ γ' ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου (πολλοῦ γε καὶ δεῖ), οὐδὲ

ταῖς παρασκευαῖς, ἀλλ' οἱ τῶν συμμάχων στρατηγοὶ καὶ αἱ δυνάμεις τῇ τύχῃ. Τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί· σκοπεῖτε δέ.

Τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν; τί τὸν μετὰ πάσης προνοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων, τοὺς ὁμόρους ταύτῃ; οὐ τὴν σιτοπομπείαν, ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται, προϊδέσθαι; καὶ τὰ μὲν σῶσαι τῶν ὑπαρχόντων, ἐκπέμποντα βοηθείας καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον (37), τὴν Χεῤῥόνησον (38), τὴν Τένεδον (39), τὰ δ' ὅπως οἰκεῖα καὶ σύμμαχ' ὑπάρξῃ πρᾶξαι, τὸ Βυζάντιον, τὴν Ἄβυδον (40), τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχουσῶν δυνάμεων, τὰς μεγίστας ἀφελεῖν, ὧν δ' ἐνέλιπε τῇ πόλει, ταῦτα προσθεῖναι; Ταῦτα τοίνυν ὑμῖν ἅπαντα πέπρακται τοῖς ἐμοῖς ψηφίσμασι καὶ τοῖς ἐμοῖς πολιτεύμασιν. Ἃ καὶ βεβουλευμένα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει, καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντα, οὐδ' ἀγνοηθέντα, οὐδὲ προδοθέντα ὑπ' ἐμοῦ, καὶ ὅσα εἰς ἀνδρὸς ἑνὸς δύναμιν καὶ λογισμὸν ἧκεν, οὐδὲν ἐλλειφθέν. Εἰ δ' ἡ δαίμονός τινος δυσμένεια, ἡ τύχης ἰσχὺς, ἡ τῶν στρατηγῶν φαυλότης, ἡ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία, ἡ πάντα ταῦτα ἅμα ἐλυμήνατο τοῖς ὅλοις, ἕως ἀνέτρεψε, τί Δημοσθένης ἀδικεῖ; εἰ δ', οἷος ἦν ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ', εἰ ἕνα ἄνδρα μόνον Θετταλία, καὶ ἕνα ἄνδρα Ἀρκαδία, ταὐτὰ φρονοῦντα ἔσχον ἐμοὶ, οὐδεὶς οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων, οὔτε τῶν εἴσω, τοῖς παροῦσι κακοῖς ἐκέχρητ' ἄν· ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι, μετὰ πάσης ἀδείας, ἀσφαλῶς ἐν εὐδαιμονίᾳ, τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τῶν τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ

τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ. Ἵνα δ' εἰδῆτε ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον, λάβε μοι ταυτὶ, καὶ ἀνάγνωθι λαβὼν τὸν ἀριθμὸν τῶν βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα.

Qualités d'un bon citoyen. — Péroraison.

Δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα τὸν φύσει μέτριον πολίτην ἔχειν δεῖ (οὕτω γάρ μοι περὶ ἐμαυτοῦ λέγοντι ἀνεπιφθονώτατον εἰπεῖν)· ἐν μὲν ταῖς ἐξουσίαις, τὴν τοῦ γενναίου καὶ τὴν τοῦ πρωτείου τῇ πόλει προαίρεσιν διαφυλάττειν· ἐν παντὶ δὲ καιρῷ καὶ πράξει τὴν εὔνοιαν. Τούτου γὰρ ἡ φύσις κυρία, τοῦ δύνασθαι δὲ καὶ ἰσχύειν, ἑτέρα. Ταύτην τοίνυν παρ' ἐμοὶ μεμενηκυῖαν εὑρήσετε ἁπλῶς· ὁρᾶτε δέ· οὐκ ἐξαιτούμενος, οὐκ Ἀμφικτυονικὰς δίκας ἐπαγόντων μοι, οὐκ ἀπειλούντων, οὐκ ἐπαγγελλομένων, οὐ τοὺς καταράτους τούτους, ὥσπερ θηρία μοι προσβαλλόντων, οὐδαμῶς προδέδωκα ἐγὼ τὴν εἰς ὑμᾶς εὔνοιαν. Τὸ γὰρ ἐξαρχῆς εὐθὺς ὀρθὴν καὶ δικαίαν τὴν ὁδὸν τῆς πολιτείας εἱλόμην, τὰς τιμὰς, τὰς δυναστείας, τὰς εὐδοξίας τὰς τῆς πατρίδος θεραπεύειν, ταύτας αὔξειν, μετὰ τούτων εἶναι. Οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων εὐτυχήμασι φαιδρὸς ἐγὼ καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι, τὴν δεξιὰν προτείνων καὶ εὐαγγελιζόμενος τούτοις, οὓς ἂν ἐκεῖσε ἀπαγγελεῖν οἴωμαι· τῶν δὲ τῆς πόλεως ἀγαθῶν πεφρικὼς ἀκούω, καὶ στένων, καὶ κύπτων εἰς τὴν γῆν, ὥσπερ οἱ δυσσεβεῖς οὗτοι, οἳ τὴν μὲν πόλιν διασύρουσιν, ὥσπερ οὐχ αὑτοὺς διασύροντες ὅταν τοῦτο ποιῶσιν, ἔξω δὲ βλέπουσι, καὶ ἐν οἷς, ἀτυχησάντων τῶν Ἑλλήνων, εὐτύχησεν ἕτερος, ταῦτ' ἐπαινοῦσι, καὶ ὅπως τὸν ἅπαντα χρόνον διαμενεῖ, φασὶ δεῖν τηρεῖν.

Μὴ δῆτ', ὦ πάντες θεοὶ, μηδεὶς ταῦθ' ὑμῶν ἐπινεύσειεν· ἀλλὰ μάλιστα μὲν καὶ τούτοις βελτίω τινὰ νοῦν καὶ φρένας ἐνθείητε· εἰ δ' ἄρα ἔχουσιν οὕτως ἀνιάτως, τούτους μὲν αὐτοὺς καθ' ἑαυ-

τοὺς, ἐξώλεις καὶ προώλεις ἐν γῇ καὶ θαλάττῃ ποιήσαιτε, ἡμῖν δὲ τοῖς λοιποῖς τὴν ταχίστην ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων δότε, καὶ σωτηρίαν ἀσφαλῆ.

DÉMOSTHÈNE.

Quels sont les auteurs que l'on doit préférer.

Καὶ ἐπειδήπερ δι' ἀρετῆς ἡμᾶς ἐπὶ τὸν βίον καθεῖναι δεῖ τὸν ἡμέτερον, εἰς ταύτην δὲ πολλὰ μὲν ποιηταῖς, πολλὰ δὲ συγγραφεῦσι, πολλῷ δὲ ἔτι πλείω φιλοσόφοις ἀνδράσιν ὕμνηται, τοῖς τοιούτοις τῶν λόγων μάλιστα προσεκτέον. Οὐ μικρὸν γὰρ τὸ ὄφελος οἰκειότητά τινα καὶ συνήθειαν ταῖς τῶν νέων ψυχαῖς τῆς ἀρετῆς ἐγγενέσθαι. Ἐπείπερ ἀμετάστατα πέφυκεν εἶναι τὰ τῶν τοιούτων μαθήματα, δι' ἁπαλότητα τῶν ψυχῶν εἰς βάθος ἐνσημαινόμενα. Ἢ τί ποτε ἄλλο διανοηθέντα τὸν Ἡσίοδον (41) ὑπολάβωμεν ταυτὶ ποιῆσαι τὰ ἔπη, ἃ πάντες ᾄδουσιν, ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπ' ἀρετήν; ὅτι τραχεῖα μὲν πρῶτον καὶ δύσβατος, καὶ ἱδρῶτος συχνοῦ καὶ πόνου πλήρης, ἡ πρὸς ἀρετὴν φέρουσα καὶ ἀνάντης ὁδός. Διόπερ οὐ παντὸς, οὔτε προσβῆναι αὐτῇ διὰ τὸ ὄρθιον, οὔτε προσβάντι ῥᾳδίως ἐπὶ τὸ ἄκρον ἐλθεῖν. Ἄνω δὲ γενομένῳ ὁρᾷν ὑπάρχει, ὡς μὲν λεία τε καὶ καλὴ, ὡς δὲ ῥᾳδία τε καὶ εὔπορος, καὶ τῆς ἑτέρας ἡδίων τῆς ἐπὶ τὴν κακίαν ἀγούσης, ἣν ἀθρόαν εἶναι λαβεῖν ἐκ τοῦ σύνεγγυς ὁ αὐτὸς οὗτος ποιητὴς ἔφησεν. Ἐμοὶ μὲν γὰρ δοκεῖ οὐδὲν ἕτερον, ἢ προτρέπων ἡμᾶς ἐπ' ἀρετὴν, καὶ προκαλούμενος ἅπαντας ἀγαθοὺς εἶναι, ταῦτα διελθεῖν, καὶ ὥστε μὴ καταμαλακισθέντας πρὸς τοὺς πόνους προαποστῆναι τοῦ τέλους. Καὶ μέντοι, καὶ εἴ τις ἕτερος ἐοικότα τούτοις τὴν ἀρετὴν ὕμνησεν, ὡς εἰς ταὐτὸν ἡμῖν φέροντας τοὺς λόγους ἀποδεχώμεθα.

Ὡς δ' ἐγώ τινος ἤκουσα δεινοῦ καταμαθεῖν ἀνδρὸς ποιητοῦ διάνοιαν, πᾶσα μὲν ἡ ποίησις τῷ Ὁμήρῳ ἀρετῆς ἐστιν ἔπαινος, καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει, ὅ τι μὴ πάρεργον· οὐχ ἥκιστα δὲ ἐν οἷς τὸν στρατηγὸν τῶν Κεφαλλήνων πεποίηκε γυμνὸν

ἐκ τοῦ ναυαγίου περισωθέντα, πρῶτον μὲν αἰδέσαι τὴν βασιλίδα φανέντα μόνον, τοσούτου δεῖν αἰσχύνην ὀφλῆσαι γυμνὸν ὀφθέντα· ἐπειδήπερ αὐτὸν ἀρετῇ ἀντὶ ἱματίων κεκοσμημένον ἐποίησεν· ἔπειτα μέντοι καὶ τοῖς λοιποῖς Φαίαξι τοσούτου ἄξιον νομισθῆναι, ὥστε ἀφέντας τὴν τρυφὴν ᾗ συνέζων, ἐκεῖνον ἀποβλέπειν καὶ ζηλοῦν ἅπαντας, καὶ μηδένα Φαιάκων ἐν τῷ τότε εἶναι ἄλλο τι ἂν εὔξεσθαι μᾶλλον, ἢ Ὀδυσσέα γενέσθαι, καὶ ταῦτα ἐκ ναυαγίου περισωθέντα. Ἐν τούτοις γὰρ ἔλεγεν ὁ τοῦ ποιητοῦ τῆς διανοίας ἐξηγητὴς, μονονουχὶ βοῶντα λέγειν τὸν Ὅμηρον, ὅτι ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἣ καὶ ναυαγήσαντι συνεκνήχεται, καὶ ἐπὶ τῆς χέρσου γενόμενον γυμνὸν, τιμιώτερον ἀποδείξει τῶν εὐδαιμόνων Φαιάκων. Καὶ γὰρ οὕτως ἔχει. Τὰ μὲν ἄλλα τῶν κτημάτων, οὐ μᾶλλον τῶν ἐχόντων, ἢ καὶ οὑτινοσοῦν τῶν ἐπιτυχόντων ἐστὶν, ὥσπερ ἐν παιδιᾷ κύβων τῇδε κἀκεῖσε μεταβαλλόμενα· μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετος, καὶ ζῶντι καὶ τελευτήσαντι παραμένουσα. Ὅθεν δὴ καὶ Σόλων (42) μοι δοκεῖ πρὸς τοὺς εὐπόρους εἰπεῖν·

Ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ,
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Παραπλήσια δὲ τούτοις καὶ τὰ Θεόγνιδος (43), ἐν οἷς φησὶ τὸν Θεὸν, ὅν τινα δὴ καί φησι, τοῖς ἀνθρώποις τὸ τάλαντον ἐπιῤῥέπειν ἄλλο τε ἄλλως· ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δὲ μηδὲν ἔχειν.

Καὶ μὴν καὶ ὁ Κεῖός που σοφιστὴς Πρόδικος (44) τῶν ἑαυτοῦ συγγραμμάτων, ἀδελφὰ τούτοις εἰς ἀρετὴν καὶ κακίαν ἐφιλοσόφησεν· ᾧ δὴ καὶ αὐτῷ τὴν διάνοιαν προσεκτέον· οὐ γὰρ ἀπόβλητος ὁ ἀνήρ. Ἔχει δὲ οὕτω πως ὁ λόγος αὐτῷ, ὅσα ἐγὼ τοῦ ἀνδρὸς τῆς διανοίας μέμνημαι, ἐπεὶ τάγε ῥήματα οὐκ ἐπίσταμαι, πλήν γε δὴ ὅτι ἁπλῶς οὕτως εἴρηκεν ἄνευ μέτρου· ὅτι νέῳ ὄντι τῷ Ἡρακλεῖ κομιδῇ, καὶ σχεδὸν ταύτην ἄγοντι τὴν ἡλικίαν ἣν καὶ

ὑμεῖς νῦν, βουλευομένῳ ποτέραν τράπηται τῶν ὁδῶν, τὴν διὰ τῶν πόνων ἄγουσαν πρὸς ἀρετὴν, ἢ τὴν ῥᾴστην, προσελθεῖν δύο γυναῖκας, ταύτας δὲ εἶναι ἀρετὴν καὶ κακίαν· εὐθὺς μὲν οὖν καὶ σιωπώσας ἐμφαίνειν ἀπὸ τοῦ σχήματος τὸ διάφορον· εἶναι γὰρ τὴν μὲν ὑπὸ κομμωτικῆς διεσκευασμένην εἰς κάλλος, καὶ ὑπὸ τρυφῆς διαῤῥεῖν, καὶ πάντα ἑσμὸν ἡδονῆς ἐξηρτημένην ἄγειν· ταῦτά τε οὖν δεικνύναι, καὶ ἔτι πλείω τούτων ὑπισχνουμένην, ἕλκειν ἐπιχειρεῖν τὸν Ἡρακλέα πρὸς ἑαυτήν· τὴν δ' ἑτέραν, κατεσκληκέναι, καὶ αὐχμεῖν, καὶ σύντονον βλέπειν, καὶ λέγειν τοιαῦτα ἕτερα· ὑπισχνεῖσθαι γὰρ οὐδὲν ἀνειμένον οὐδὲ ἡδὺ, ἀλλ' ἱδρῶτας μυρίους καὶ πόνους καὶ κινδύνους, διὰ πάσης ἠπείρου τε καὶ θαλάσσης, ἆθλον δὲ τούτων εἶναι, θεὸν γενέσθαι, ὡς ὁ ἐκείνου λόγος· ἧπερ δὴ καὶ τελευτῶντα τὸν Ἡρακλέα ξυνέπεσθαι.

Saint Basile. Sur la lecture des livres profanes.

Qu'est-ce que la vie?

Τοιοῦτος ὁ βίος ἡμῶν, ἀδελφοὶ, τῶν ζώντων πρόσκαιρα· τοιοῦτο τὸ ἐπὶ γῆς παίγνιον· οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀναλυθῆναι. Ὄναρ ἐσμὲν οὐχ ἱστάμενον, φάσμα τι μὴ κρατούμενον, πτῆσις ὀρνέου παρερχομένου, ναῦς ἐπὶ θαλάσσης ἴχνος οὐκ ἔχουσα, κόνις, ἀτμὶς, ἑωθινὴ δρόσος, ἄνθος καιρῷ φυόμενον, καὶ καιρῷ λυόμενον. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· καλῶς ὁ θεῖος Δαβὶδ περὶ τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησεν. Καὶ ἐν ἐκείνοις πάλιν τοῖς ῥήμασι· τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι· καὶ παλαιστῶν μέτρον τὰς ἀνθρωπίνας ἡμέρας ὁρίζεται. Τί δ' ἂν εἴποις πρὸς Ἱερεμίαν, ὃς καὶ τῇ μητρὶ μέμφεται, τῆς γεννήσεως ἀλγῶν, καὶ ταῦτα ἐπ' ἀλλοτρίοις πταίσμασι. Πάντα εἶδον, φησὶν ὁ Ἐκκλησιαστὴς, πάντα ἐπῆλθον λογισμῷ τὰ ἀνθρώπινα, πλοῦτον, τρυφὴν, δυναστείαν, δόξαν τὴν ἄστατον.

σοφίαν τὴν ὑποφεύγουσαν πλέον ἢ κρατουμένην· πάλιν τρυφὴν, σοφίαν πάλιν, ἐπὶ τὰ αὐτὰ πολλάκις ἀνακυκλούμενος, γαστρὸς ἡδονὰς, παραδείσους, πλῆθος οἰκετῶν, πλῆθος κτημάτων, οἰνοχόους καὶ οἰνοχόας, ᾄδοντας καὶ ᾀδούσας, ὅπλα, δορυφόρους, ἔθνη προσπίπτοντα, φόρους συλλεγομένους, ὀφρῦν βασιλείας, ὅσα περιττὰ τοῦ βίου, ὅσα τῶν ἀναγκαίων, οἷς ὑπὲρ πάντας ἦλθον βασιλεὺς τοῖς ἔμπροσθεν· καὶ τί ἐπὶ πᾶσι τούτοις; Πάντα ματαιότης ματαιοτήτων· τὰ πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος, εἴτ' οὖν ὁρμή τις ψυχῆς ἀλόγιστος, καὶ περισπασμὸς ἀνθρώπου, τοῦτο κατακριθέντος, ἴσως ἐκ τοῦ παλαιοῦ πτώματος· ἀλλὰ τέλος λόγου, φησὶ, Τὸ πᾶν ἄκουε, τὸν Θεὸν φοβοῦ. Ἐνταῦθα τῆς ἀπορίας ἵσταται· καὶ τοῦτό σοι μόνον τῆς ἐνταῦθα ζωῆς τὸ κέρδος, ὁδηγηθῆναι διὰ τῆς ταραχῆς τῶν ὁρωμένων καὶ σαλευομένων ἐπὶ τὰ ἑστῶτα καὶ μὴ κινούμενα.

Saint Grégoire de Nazianze, *Oraison funèbre de Césaire.*

Exorde du discours sur Eutrope, patrice et sénateur.

Ἀεὶ μὲν, μάλιστα δὲ νῦν εὔκαιρον εἰπεῖν· Ματαιότης ματαιοτήτων καὶ πάντα ματαιότης (45)· ποῦ νῦν ἡ λαμπρὰ τῆς ὑπατείας περιβολή; ποῦ δὲ αἱ φαιδραὶ λαμπάδες; ποῦ δὲ οἱ κρότοι καὶ οἱ χοροὶ, καὶ αἱ θαλίαι, καὶ αἱ πανηγύρεις; ποῦ οἱ στέφανοι καὶ τὰ παραπετάσματα; ποῦ ὁ τῆς πόλεως θόρυβος, καὶ αἱ ἐν ἱπποδρομίαις εὐφημίαι, καὶ τῶν θεατῶν αἱ κολακεῖαι; Πάντα ἐκεῖνα οἴχεται· καὶ ἄνεμος πνεύσας ἀθρόον τὰ μὲν φύλλα κατέβαλε, γυμνὸν δὲ ἡμῖν τὸ δένδρον ἔδειξε, καὶ ἀπὸ τῆς ῥίζης αὐτῆς σαλευόμενον λοιπόν· τοιαύτη γὰρ ἡ τοῦ πνεύματος γέγονε προσβολὴ, ὡς καὶ πρόῤῥιζον ἀπειλεῖν, ἀνασπᾶν, καὶ αὐτὰ διασαλεῦσαι τοῦ δένδρου τὰ νεῦρα. Ποῦ νῦν οἱ πεπλασμένοι φίλοι; ποῦ τὰ συμπόσια καὶ τὰ δεῖπνα; ποῦ ὁ τῶν παρασίτων ἑσμὸς, καὶ ὁ δι' ὅλης ἡμέρας ἐγχεόμενος ἄκρατος, καὶ αἱ ποικίλαι τῶν

μαγείρων τέχναι, καὶ οἱ τῆς δυναστείας θεραπευταὶ, οἱ πάντα πρὸς χάριν ποιοῦντες καὶ λέγοντες; Νὺξ ἦν πάντα ἐκεῖνα καὶ ὄναρ, καὶ, ἡμέρας γενομένης, ἠφανίσθη· ἄνθη ἦν ἐαρινὰ, καὶ, παρελθόντος τοῦ ἔαρος, ἅπαντα κατεμαράνθη· σκιὰ ἦν, καὶ παρέδραμε· καπνὸς ἦν, καὶ διελύθη· πομφόλυγες ἦσαν, καὶ διεῤῥάγησαν· ἀράχνη ἦν, καὶ διεσπάσθη. Διὸ ταύτην τὴν πνευματικὴν ῥῆσιν ἐπᾴδομεν συνεχῶς ἐπιλέγοντες· Ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης. Ταύτην γὰρ τὴν ῥῆσιν καὶ ἐν τοίχοις, καὶ ἐν ἱματίοις, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ὁδοῖς, καὶ ἐν θύραις, καὶ ἐν εἰσόδοις, καὶ πρὸ πάντων ἐν τῷ ἑκάστου συνειδότι συνεχῶς ἐγγεγράφθαι δεῖ, καὶ διαπαντὸς αὐτὴν μελετᾷν. Ἐπειδὴ ἡ τῶν πραγμάτων ἀπάτη, καὶ τὰ προσωπεῖα, καὶ ἡ ὑπόκρισις, ἀλήθεια παρὰ τοῖς πολλοῖς εἶναι δοκεῖ· ταύτην καθ' ἑκάστην ἡμέραν καὶ ἐν δείπνῳ, καὶ ἐν ἀρίστῳ, καὶ ἐν συλλόγοις ἐπιλέγειν ἕκαστον τῷ πλησίον ἐχρῆν, καὶ παρὰ τοῦ πλησίον ἀκούειν, ὅτι ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης.

SAINT JEAN CHRYSOSTOME.

Éloge de la Loi.

Ἔστι δὲ ὁ Νόμος, τοῦ βίου μὲν ἡγεμὼν, τῶν πόλεων δὲ ἐπιστάτης κοινὸς, τῶν δὲ πραγμάτων κανὼν δίκαιος, πρὸς ὃν ἕκαστον ἀπευθύνειν δεῖ τὸν αὐτοῦ τρόπον· εἰ δὲ μὴ, σκολιὸς ἔσται καὶ πονηρός. Οἱ μὲν οὖν τοῦτον φυλάττοντες, ἔχονται τῆς σωτηρίας· οἱ δὲ παραβαίνοντες, πρῶτον μὲν αὐτοὺς ἀπολλύουσιν, ἔπειτα καὶ τοὺς ἄλλους· παράδειγμα καὶ ζῆλον αὐτοὺς ἀνομίας καὶ βίας παρέχοντες. Ὥσπερ δὲ τῶν πλεόντων οἱ τοῦ πυρσοῦ μὴ διαμαρτάνοντες, οὗτοι μάλιστα σώζονται, καὶ τοὺς λιμένας εὑρίσκουσιν· οὕτως οἱ κατὰ τὸν νόμον ζῶντες, ἀσφαλέστατα πορεύονται διὰ τοῦ βίου, καὶ τῆς καταγωγῆς τῆς δεούσης τυγχάνουσιν. Ἀνθρώπῳ μὲν οὖν ἤδη τις συμβούλῳ χρησάμενος μετενόησεν, οὐ μέντοι νόμῳ. Τοσοῦτῳ δὲ τῶν τειχῶν ταῖς πόλεσι

χρησιμώτερός ἐστιν, ὥστε ἀτείχιστοι μὲν πολλαὶ τῶν πόλεων διαμένουσι· νόμου δὲ χωρὶς οὐκ ἔστιν οὐδεμίαν οἰκεῖσθαι πόλιν. Οὐ μόνον δὲ συμφέρει τοῖς θνητοῖς, ἀλλὰ καὶ τοῖς θεοῖς. Ὁ γοῦν κόσμος ἀεὶ τὸν αὐτὸν νόμον ἀκίνητον φυλάττει, καὶ τῶν αἰωνίων οὐδὲν ἂν παραβαίη τοῦτον· ὅθεν, οἶμαι, καὶ βασιλεὺς εἰκότως ἀνθρώπων καὶ θεῶν κέκληται· τὴν μὲν βίαν καταλύων, τὴν δὲ ὕβριν καθαιρῶν, τὴν δὲ ἄνοιαν σωφρονίζων, τὴν δὲ κακίαν κολάζων, ἰδίᾳ δὲ καὶ κοινῇ πάντας τοὺς δεομένους ὠφελῶν, τοῖς μὲν ἀδικουμένοις βοηθῶν, τοῖς δὲ ἀπορουμένοις περί τινος μηνύων τὸ δέον. Ὅταν γάρ τις, συμβάντος αὐτῷ τινὸς δυσκόλου πράγματος, ζητῇ τὸ συμφέρον, οὐδὲν, οἶμαι, δεῖ φίλους παρακαλεῖν, οὐδὲ συγγενεῖς, ἀλλὰ ἐλθόντα παρὰ τοὺς νόμους, πυνθάνεσθαι. Καὶ οὐκ ἂν τὸ οἰκεῖον σκοπῶν, χεῖρον ἐκείνῳ παραινέσειεν· οὔτε ἀγνοήσας τὸ βέλτιον, οὔτε δι' ἀσχολίαν τινὰ, ἢ τὸ μὴ φροντίζειν, τοὺς πυθομένους παραιτήσαιτ' ἄν. Τοὐναντίον γὰρ ἁπάντων ὁμοίως κήδεται, καὶ σχολὴν ἄγει πρὸς τὰ τῶν ἄλλων πράγματα· καὶ οὐδὲν ἴδιον οὐδὲ ἐξαίρετόν ἐστιν αὐτῷ. Καὶ μὴν τοσούτῳ γε τῆς παρὰ τῶν θεῶν μαντείας ὠφελιμώτερός ἐστι νόμος, ὅσῳ τοὺς μὲν χρησμοὺς ἤδη τινὲς ἠγνόησαν, καὶ δοκοῦντες πράττειν κατ' αὐτοὺς, τἀναντία ἐποίησαν· ὅθεν, οἶμαι, συμφοραῖς ἐχρήσαντο. Παρὰ τοῦ νόμου δὲ οὐδέν ἐστι σκολιὸν, οὐδὲ ἀμφίβολον. ἀλλ' ἁπλῶς ἅπαντα, ἃ προσήκει, τοῖς δεομένοις φράζει. Ἄρχων δὲ ἁπάντων καὶ κύριος ὢν, χωρὶς ὅπλων καὶ βίας κρατεῖ· τοὐναντίον γὰρ αὐτὸς καταλύει τὴν βίαν· ἀλλὰ μετὰ πειθοῦς καὶ βουλομένων προέστηκεν. Πείσας γὰρ πρότερον καὶ δοκιμασθεὶς, οὕτω νόμος γίγνεται, καὶ τὴν ἰσχὺν τὴν αὐτοῦ λαμβάνει. Τηλικαύτην δὲ ἔχει δύναμιν, ὥστε καὶ τοῖς θεοῖς οὗτός ἐστιν ὁ βοηθῶν. Τοὺς γὰρ ἱεροσύλους, καὶ τοὺς παραβαίνοντας τὴν πρὸς αὐτοὺς εὐσέβειαν κολάζει. Καὶ μὴν αὐτόν γε οὐδὲ εἷς οἷός τέ ἐστιν ἀδικῆσαι. Τῶν γὰρ παραβαινόντων τὸν νόμον ἕκαστος, οὐκ ἐκεῖνον, ἀλλ' ἑαυτὸν βλάπτει. Τοσαύτης δὲ δικαιοσύνης καὶ φιλανθρωπίας μεστός ἐστιν, ὥστε καὶ τοῖς

ἀτυχοῦσι χρησιμώτερος καθέστηκε τῶν γένει προσηκόντων, καὶ τοῖς ἀδικουμένοις ἰσχυρότερος τῆς αὐτῶν ἐκείνων ῥώμης, καὶ πατράσιν υἱέων εὐνούστερος, καὶ παισὶ γονέων, καὶ ἀδελφοῖς ἀδελφῶν. Πολλοὶ γοῦν ὑπὸ τῶν φιλτάτων ἀδικούμενοι, πρὸς τοῦτον καταφεύγουσιν. Εἰ δὲ καὶ μηδὲν ὑπὸ μηδενὸς εὖ πέπονθεν ὁ νόμος, πᾶσιν ὅμως εὐεργέτης ὢν, ἑτέροις ἐκτίνει τὰς χάριτας, καὶ γονεῦσι παρὰ παίδων τὰς ὁμοίας κομιζόμενος, καὶ τοῖς ἰδίᾳ τινῶν εὐεργέταις, παρὰ τῶν εὖ παθόντων, καὶ τοῖς κοινῇ φιλοτιμουμένοις, παρὰ τῆς πόλεως. Κάλλιστα δὲ καὶ τὰ ἆθλα τῶν εὐεργεσιῶν πεποίηκε, στεφάνους καὶ κηρύγματα καὶ προεδρίας ἐξευρών· ἃ τοῖς μὲν παρέχουσιν οὐδεμίαν φέρει δαπάνην, τοῖς δὲ τυγχάνουσι, τοῦ παντὸς ἄξια καθέστηκεν. Ὅτι δ' ἂν ἐθέλῃ τῶν εὐτελεστάτων, εὐθὺς τοῦτο μέγα καὶ τίμιον ἐποίησεν. Οὗτός ἐστιν ὁ τὸν κότινον οὕτω μέγαν καὶ τηλικαύτης ἄξιον σπουδῆς ἀποδείξας, καὶ τὰ σέλινα, καὶ τὴν πίτυν, καὶ τὸν τοῦ θαλλοῦ στέφανον· οὗτος ὁ τὰ τρία ῥήματα, οἷς ἕκαστος κηρύττεται τῶν ἀγαθῶν, πολλοῖς ἀποφήνας τοῦ ζῆν τιμιώτερα. Οὗτός ἐστιν ὁ τὰς πανηγύρεις συνάγων, ὁ τοὺς θεοὺς τιμῶν, ὁ τὴν ἀρετὴν αὔξων· οὗτος ὁ τὴν θάλατταν καθαίρων, ὁ τὴν γῆν ἥμερον ποιῶν, ὁ τοῦ Διὸς ἐτεὸς υἱὸς, ὁ τὴν ἀήττητον καὶ ἀνυπέρβλητον ἰσχὺν ἔχων· τοσοῦτον ἁπάντων σωφροσύνῃ καὶ πίστει διαφέρων, ὥστε καὶ παρθένων ὥραν, καὶ παίδων ἀκμὴν τούτῳ πάντες πεπιστεύκαμεν. Ἔτι δὲ καὶ παρθένου τῆς Δίκης οὔσης, μόνος αὐτῇ διὰ σωφροσύνην σύνεστιν. Οὗτος ἐπίκουρος γήρως, διδάσκαλος νεότητος, πενίας συνεργὸς, φύλαξ πλούτου, τῇ μὲν εἰρήνῃ σύμμαχος, τῷ δὲ πολέμῳ ἐναντίος· οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ τούτῳ πλέον ἰσχύει. Τὸν γοῦν παρὰ τῶν ἐχθίστων κήρυκα πεμπόμενον οὗτός ἐστιν ὁ σώζων καὶ διαφυλάττων, παντὸς θώρακος καὶ πάσης ἀσπίδος ἰσχυρότερον αὐτῷ δοὺς ὅπλον, τὸ κηρύκειον· ἔστι δὲ τοῦ νόμου σύμβολον. Διὰ τοῦτον τοὺς ἀποθανόντας οὐδεὶς ἔτι κρίνει πολεμίους· οὐδὲ τὴν ἔχθραν καὶ τὴν ὕβριν εἰς τὰ σώματα αὐτῶν ἐπιδείκνυνται. Τοσούτῳ δὲ ταῖς πόλεσι χρησιμώτε-

ρός ἐστιν, ἥπερ τὰ πηδάλια ταῖς ναυσίν, ὥστε ἡμῖν ἀποβάλλουσα τοὺς οἴακας ναῦς, οὐκ ἂν ἀπόλοιτο, μὴ χειμῶνος καταλαβόντος· πόλιν δ' οὐκ ἔνι σωθῆναι, τοῦ νόμου λυθέντος, οὐδ' ἂν μηδὲν ἔξωθεν συμβαίνῃ δεινόν. Ὥσπερ δὲ ὑπὸ τῆς ἐν αὐτῷ διανοίας διοικεῖται καὶ σώζεται τῶν ἀνθρώπων ἕκαστος, ἡ δὲ ταύτης διαφθορὰ μανίαν καὶ παρακοπὴν φέρει· παραπλησίως, ἄν τις ἀνέλῃ τὸν νόμον ἐκ τοῦ βίου, καθάπερ, οἶμαι, τὸν νοῦν ἀπολωλεκὼς, εἰς παντελῆ μανίαν καὶ ταραχὴν περιστήσεται.

Dion Chrysostome, *Disc.* 75.

Vertus de Marc Aurèle.

Ἐπεὶ ἡ τὰ πάντα διοικοῦσα πρόνοια καὶ διατάττουσα, καὶ τοῦτον ἐκάθισεν εἰς τὸν βασίλειον θρόνον τὸν δικαιότατον καὶ ὁσιώτατον βασιλέων, τί ἄν τις πρῶτον καὶ μέγιστον εἰπεῖν ἔχοι, ὧν τῆς ἀγαθῆς αὐτοῦ τύχης καὶ προνοίας ἀπολαύομεν; ὅς ἁπάντων μὲν κεκινημένων καὶ μεθισταμένων, ὡς ἔπος εἰπεῖν, εἰς ἑτέραν γῆν, σαλευούσης δὲ τῆς ἀρχῆς ὥσπερ ἐν μεγάλῳ χειμῶνι ἢ σεισμῷ, κἄτι, ὥσπερ νεὼς καταδύεσθαι μελλούσης, ἀποφερομένης πρὸς ἔσχατα γῆς, οὗ καὶ πρότερον ἀπεπλανήθησάν τινες τῶν ἐν ἀρχαῖς καὶ βασιλείαις γενομένων, κἄπειτα, ὥσπερ ἐν λαβυρίνθῳ πολλαῖς καὶ χαλεπαῖς ἀπορίαις ἐντυχόντες, τελευτῶντες αὐτοὺς ἀπεῖπον, ἀποκλεισθέντες τῆς ὀπίσω ὁδοῦ, ἐπανελθεῖν μὴ δυνηθέντες· ταῦτα ὁρῶν οὐχ ὡς ἄπειρος κυβερνήτης εἴασεν ὅπως ἔτυχε φέρεσθαι, οὐδὲ κινδυνεύειν, ἀλλ' ὡς ἂν ἐμπειρότατος βασιλέων, καὶ γνώμῃ προέχων, πρῶτον μὲν ἐπέσχε καὶ ἔπαυσε τῆς ἐκεῖσε ὁρμῆς, ἔπειτα κατέστησεν εἰς ὅρμον ἄγων. Καὶ νῦν ἡ μὲν ἐν ἀσφαλεστάτῳ ὁρμεῖ, ὥσπερ ναῦς ἐκ πολλοῦ καταστᾶσα χειμῶνος· ὁ δὲ οὕτως ἐξηγεῖται καὶ διέπει τὸ τῆς ἀρχῆς, ὅνπερ χρὴ τρόπον· τὴν εὐσέβειαν μὲν καὶ δικαιοσύνην, ἔτι δὲ σωφροσύνην καὶ ἐγκράτειαν καὶ φρόνησιν, καὶ τὴν ἄλλην ἐκόσμησεν ἀρετήν. Ἤρξατο μὲν γὰρ, ὥσπερ προσήκει, ἀπὸ εὐσεβείας· διεξῆλθε δὲ

καὶ διὰ τῶν ἄλλων μερῶν τῆς ἀρετῆς. Τίς μὲν γὰρ δικαιοσύνης, τίς δὲ φιλανθρωπίας, τίς δὲ τῆς ἄλλης ἀρετῆς τοσαῦτα δείγματα καὶ τοιαῦτα, ὅσα καὶ οἷα ὁ βασιλεὺς οὗτος, ἐξήνεγκε;...

Φιλανθρωπία γε μὴν, τίς μείζων ταύτης καὶ φανερωτέρα; ἢ κατεπτηχὸς ἅπαν τὸ ὑπήκοον καὶ ὑπὸ φόβου δεδουλωμένον, πολλῶν τ.ν κατηκόων περιόντων καὶ ὠτακουστούντων κατὰ πάσας τὰς πόλεις εἴ τις φθέγξαιτό τι, ἐλεύθερον δὲ οὐδὲν οὔτε φρονῆσαί τι οὔτε εἰπεῖν οἷόν τε ὂν, ἀνῃρημένης τῆς σώφρονος καὶ δικαίας παῤῥησίας, τρέμοντος δὲ ἑκάστου σκιὰν, ἀπήλλαξε τοῦ φόβου τούτου, καὶ ἠλευθέρωσε τὰς ἁπάντων ψυχὰς, ἐντελῆ καὶ ὁλόκληρον ἀποδοὺς τὴν ἐλευθερίαν αὐτοῖς. Ὃ τοίνυν μέγιστον τῆς τοῦ βασιλέως φιλανθρωπίας, καὶ κρεῖττον ἅπαντος παραδείγματος· ὢν γ ρ τηλικοῦτος ὁ βασιλεὺς, ἡμερότητι καὶ ἐπιεικείᾳ διενήνοχεν ἁπάντων βασιλέων, ὥστε μικρὸν μὲν, οἷα πατὴρ, μικρὸν δὲ, οἷα ποιμὴν τῶν ἄλλων εἰπεῖν εἶναι, καὶ πάντα ὅσα ποιηταὶ δυνάστας ἡμεροῦντες ἐφθέγξαντο. Τίνα γὰρ τρόπον ἐπιεικείας παραλέλοιπεν; οὗ κοινότατος μὲν ὁ τρόπος τῆς φιλανθρωπίας αὐτοῦ πρὸς ἅπαν τὸ ὑπήκοον, καὶ τοὺς ἐπὶ πάσης προφάσεως ἐντυγχ·νοντας. Ἡ δὲ τοῦ σχήματος αὐτοῦ πρᾳότης ὡς φιλάνθρωπος, καὶ τῆς διαλέκτου τὸ εὔκριτον, καὶ τὸ μηδὲν δεῖν ἕνεκα τῆς προσόδου πραγματεύεσθαι, ἀλλ' ὑπάρχειν ὥσπερ εἴσω περιῤῥαντηρίων παριέναι, τοῖς τι καὶ μικρὸν συνειδόσιν ἑαυτοῖς ἀγαθὸν, πῶς οὐ πάσης ἐπέκεινα πρᾳότητος καὶ φιλανθρωπίας; Οὐ γὰρ ὡς σπάνιον καὶ δυσπρόσοδον παρέχων ἑαυτὸν, ἡγεῖται τὴν τοῦ μέγας καὶ θαυμαστὸς, καὶ τοιοῦτος οἷος μηδεὶς ἄλλος πώποτε ἐγένετο, δόξαν ἀποίσεσθαι βασιλεῖ, ἀλλ' οὕτως ἂν μάλιστα βεβαιοῦν τὴν τοῦ τοιοῦτος εἶναι προσηγορίαν, εἰ τὴν παρ' αὐτοῦ εὔνοιαν καὶ φιλανθρωπίαν κοινὴν ἅπασι τοῖς δεομένοις παρασκευάσεται, οἰόμενος δεῖν τὸν, ὡς ἀληθῶς βασιλέα, τῷ τῶν ὅλων ἀπεικάσθαι βασιλεῖ, κατά τε τὴν φιλανθρωπίαν καὶ τὴν πρόνοιαν ἁπάντων τῶν ἀρχομένων· καὶ μὴ πρὸ μὲν τῆς βασιλείας χρηστόν τι καὶ μέτριον ἦθος ἐμφαίνειν ἑαυτοῦ. Βασιλέα

δὲ ἀποδειχθέντα, χαλεπὸν καὶ βίαιον εἶναι περὶ τοὺς ἀρχομένους..... Ὁ δ' ἐπέδειξεν ὅτι καὶ ἰδιώτην ὄντα καὶ βασιλέα οἷόν τέ ἐστι τὸν αὐτὸν εἶναι διὰ τέλους· τοιοῦτον μὲν πρὸ τῆς βασιλείας παρασχὼν ἑαυτὸν, ὥστε δικαίως ἀξιωθῆναι ταύτης, ἐν δὲ τῇ βασιλείᾳ τῷ αὐτῷ νῷ καὶ τρόπῳ χρώμενος, οὐκ ἐκστὰς ἑαυτοῦ, οὐδὲ ζηλώσας τὴν ἀκολασίαν, ἀλλὰ τὸν σώφρονα βίον ἑλόμενος, τὴν μὲν ὕβριν καὶ παρανομίαν μισήσας, παράδειγμα σωφροσύνης ἑαυτὸν παρασχὼν, ὥστε τοὺς τέως ἀσελγεῖς καὶ ὑβριστὰς μεταθέσθαι τὸν τρόπον, ὁρῶντας αὐτοῦ τὴν σωφροσύνην, καὶ τῆς τε πρὸς χρήματα ἐπιθυμίας παύσασθαι, καὶ πρὸς τὸ σωφρονέστερον διατεθῆναι..... Νῦν πᾶσα μὲν ἄδεια πᾶσιν ὅπη βούλεταί τις, πάντες δὲ οἱ πανταχοῦ λιμένες ἐνεργοί· νῦν τὰ μὲν ὄρη τὴν αὐτὴν ἔχει τοῖς ὁδεύουσιν, ἥνπερ αἱ πόλεις τοῖς οἰκοῦσιν αὐτὰς, ἀσφάλειαν· χάρις πάντα ἐπέχει πεδία, πᾶς δὲ διὰ πάντων λέλυται φόβος. Ποῖοι μὲν γὰρ πόροι ποταμῶν κεκώλυνται διελθεῖν; τίνες δὲ θαλάσσης ἀποκέκλεινται πορθμοί; Νῦν καὶ πανηγύρεις φαιδρότεραι, καὶ ἑορταὶ θεοφιλέστεραι. Νῦν καὶ τὸ Δήμητρος πῦρ, λαμπρότερον καὶ ἱερώτερον. Ὦ φῶς τῆς ἀνθρωπίνης εὐδαιμονίας! Νῦν ἅπαντες ἄνθρωποι τὴν ἀληθῆ εὐδαιμονίαν εὑρηκέναι δοκοῦσιν. Ὦ πάντας βασιλέας παρεληλυθὼς, σοφίᾳ μὲν τοὺς σοφοὺς, ἀνδρίᾳ δὲ τοὺς ἀνδρείους, εὐσεβείᾳ δὲ τοὺς ἐπὶ ταύτῃ διαφέροντας, εὐτυχίᾳ δὲ τοὺς εὐτυχεστάτους· ἀνθ' ὧν οὐκ ἂν γένοιτο ἀξία σοι χάρις παρ' ἡμῶν, οὔτε ἐν ἐπαίνοις, οὔτε ἐν ἄλλῃ οὐδεμιᾷ τιμῇ. Σὲ δὲ, ὦ παῖ γενναῖε γενναίων, κατ' ἴχνος εἴη βαίνειν τοῦ πατρός. Τοῦτο γὰρ ὥς γε ἐν βραχεῖ πλεῖστον εἰρήσθω.

Ælius Aristide, *Disc.* 24.

Humanité de Théodose le Grand.

Ἄνωθέν τοι, βασιλεῦ, ἡ πολιτεία τὸ τῆς θειότητος ὄνομα ὑμῖν ἐπεφήμισεν· οὐχ ὅτι πολὺς χρυσὸς ὑμῖν ἐν ἐξουσίᾳ, οὐδ'

ὅτι στέφανοι καὶ ἁλουργίδες ἐν περιουσίᾳ, οὐδ' ὅτι πλούσιον ἐκ πένητος παραχρῆμα ποιῆσαι ῥᾳστώνη ὑμῖν (ταῦτα γὰρ πάντα χθαμαλώτερα τοῦ οὐρανίου, καὶ τῆς πρὸς ἐκεῖνον εἰκόνος), ἀλλ' ὅτι μόνῳ Θεῷ καὶ βασιλεῖ ἐν ἐξουσίᾳ ἐστὶ ζωῆς ἐπιδοῦναι. Οὐδεὶς γὰρ ἐν ταῖς ἐπικλήσεσι τοῦ Θεοῦ τὸν νικητὴν ἢ τὸν θριαμβευτὴν ἐπικαλεῖται, ἢ τὸν Γερμανικὸν, ἢ τὸν Σκυθικὸν, ἀλλὰ τὸν φιλάνθρωπον, καὶ τὸν εὐσεβῆ, καὶ τὸν σωτῆρα. Ταύτης ἀνθεκτέον σοι τῆς ἀρετῆς, καί σε οὐδέποτε ἐκείνη ἡ χεὶρ ἀφ' ἑαυτῆς ἀποσείσεται, ὡς ἀπεσείσατο Νέρωνα, ὡς Δομετιανὸν, ὡς τὸν τοῦ Σεβήρου· ἀλλ' οὐ Τραϊανόν γε, οὐδὲ Μάρκον, οὐδὲ Ἀντωνῖνον, τοὺς σοὺς πολίτας καὶ ἀρχηγέτας, καὶ ἐξ ὧν πόρρωθεν ἡμῖν ὁ Θεὸς τὴν σὴν βασιλείαν ἐφροιμιάζετο. Τοῦτο ἐγὼ τὸ τρόπαιον λαμπρότερον ὑπολαμβάνω τοῦ Σκυθικοῦ, καίτοι κἀκεῖνο ἤγειρας μόνος καὶ ἄνευ τῶν ὅπλων· πρὸς τοῦτο δὲ οὐχ ὅπως συνήρατό σοι ὁ σίδηρος, ἀλλὰ καὶ ἠμβλύνθη· οἷον οὐκ ἤγειρεν ὁ Φιλίππου ὁ μέχρις Ἰνδῶν διαβὰς ἐκ Μακεδονίας· ἀλλὰ Δαρείου μὲν ἐκράτει καὶ Πώρου, τῆς Κλείτου δὲ παροινίας ἡττήθη, καὶ οὐκ ἠμύνατο οἴνῳ τὸν οἶνον, ἀλλὰ σιδήρῳ· οὐδὲ τὴν αὐθάδειαν πρᾴως ἤνεγκε τὴν Φιλώτα, πρὸς τὴν ἑταιρίαν σοβαρώτερον ἐκλαλήσαντος, ἀλλὰ προσαπώλεσε τῷ Φιλώτᾳ καὶ Παρμενίωνα.

Ἀλλ' οὐ σύ γε, ὦ θεοειδέστατε αὐτοκράτωρ· ἀλλὰ διὰ τοὺς μηδὲν ἠδικηκότας, καὶ τοῖς ἁμαρτάνουσιν ἔδωκας συγγνώμην, καὶ παραπλησίως ἀθῷον ἀφῆκας τῷ καθευδήσαντι δυστυχῶς τὸν μάταια μεριμνήσαντα. Οὕτω σοι καὶ μικρὰ ῥοπὴ πρὸς φιλανθρωπίαν, ἀντὶ μεγάλης ἐστίν. Αἴτιον δὲ, ὅτι πέφυκας θεοειδής· ἕκαστος δὲ μικροῦ δεῖται ὑπεκκαύματος ἐπὶ τὴν ὁρμὴν τῆς φύσεως· καὶ πάλαι μὲν οὐ διεκέκριτο ἐν τῷ τοιῷδε ἐγκλήματι ἀδίκημα δυστυχήματος, ἀλλ' ἐν ἴσῳ καθειστήκει τὸ βουλεῦσαί τι τῶν ἀθέσμων, καὶ τὸ πυθέσθαι μὴ προελόμενον. Καίτοι τῆς φύσεως ἔγκλημα ἦν τοῦτο, ἢ τοῦ ἀνθρώπου, ὅτι τὴν ἀκοὴν ἐποίησεν ἀναπεπταμένην, καὶ οὐχ ὥσπερ τὰ βλέφαρα καὶ τὸ στόμα ἐφ' ἡμῖν κλείειν καὶ ἀνοιγνύναι, οὕτω καὶ τὰ ὦτα· ἀλλ'

αὕτη μόνη σχεδὸν ἡ αἴσθησις ἐκπέφευγε τὴν ἐφ' ἡμῖν ἐξουσίαν καὶ δέχεσθαι ἀνάγκη πᾶν τὸ προσπίπτον αὐτῇ, ὥσπερ οἴκημα ἄθυρον καὶ ἀνεῳγμένον.

Σὺ δὲ τὴν μὲν ἀκοὴν ἐξεῖλες παντάπασι τῶν ἐγκλημάτων, κόλασιν δὲ καὶ ῥήμασι συνεχώρησας· καὶ τῆς πράξεως αὐτῆς οὐ εχομένης ὑπερβολὴν, προήκω ῥῆμα τοῦ ἔργου θαυμασιώτερον. Ἁπάντων γὰρ ἡμῶν τὴν ἀνεξικακίαν τεθαυμακότων, σὺ βραδυτῆτα αὐτῆς ᾐτιῶ. Τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν, ἢ ἀγανακτοῦντος ὅτι μὴ προὔλαβες τῇ συγγνώμῃ τὸν ἔλεγχον τοῦ πλημμελήματος, μηδὲ ταχυτέραν ἐποίησας τῆς κατεχούσης ψήφου τὴν ἀφεῖσαν. Ἐπεὶ τῆς βραδυτῆτος ἐκείνης τί ἂν γένοιτο ἀθροώτερον; οὐ γὰρ κατὰ μικρὸν ὑφῆκας τῆς ὀργῆς, οὐδὲ κατ' ὀλίγον ἠλάττωσας τὸν φόβον τοῖς ὑπευθύνοις, οὐδὲ ἐνδιέτριψας τῇ γνώμῃ μετὰ τὸ δικαστήριον ἐφ' ὅ τι ὁρμήσεις. Ἀλλὰ προκατέλαβε τὴν σκυθρωπὴν ψῆφον ἡ θεόσδοτος οὕτως ἀκαρῆ καὶ ἀμελητὶ, ὥστε καὶ πρότερον πολλοῖς τῆς χαλεπῆς ἀκουσθῆναι. Καὶ τότ' ἐγὼ μόνον ᾐσθόμην φωνῆς νικώσης τῷ τάχει τὴν τῷ Ἡφαίστῳ τελουμένην λαμπαδηφορίαν, καὶ διὰ πομπίμων ἐξ ἄλλων εἰς ἄλλους σταδίους τόσους καὶ τόσους ὥσπερ φρυκτωρίας διαπεμπομένην· ὥστε ἀναπεταμένας τὰς χεῖρας τὰς τῶν δημίων, καὶ μετέωρα ἤδη τὰ ξίφη κατασχεῖν τὴν φωνὴν τὴν σωτήριον.....

Οὐ μὴν οἱ σοὶ πρόγονοι καὶ ἀρχηγέται, ἀλλ' αἰδοῖ μᾶλλον ᾤοντο δεῖν καὶ εὐνοίᾳ πλέον ἢ φόβῳ κατέχειν τοὺς ὑπηκόους. Δυσκαταγωνιστότερον δὲ φυλακτήριον εὔνοια φόβου. Φόβῳ μὲν γὰρ εὔνοιαν οὐκ ἴσμεν καταλυθεῖσαν· εὐνοίᾳ δὲ, δυνάμεις πολλάς. Αὐτίκα τοῖς μὲν ἐκ πρᾳότητος εὐδοκίμοις τῶν αὐτοκρατόρων, ὅσοι μὴ λίαν ὀλίγωροι καὶ ἐκκεχυμένοι, εἴ τις καὶ ἀνέφυ ἐπιβουλὴ, καὶ αὐτὴ κατεσβέσθη πρὶν ἐξαφθῆναι· τοῖς δὲ χαλεποῖς ἐκείνοις καὶ ἀνημέροις ἀεὶ τοὺς ἁλισκομένους ὑποτεμνομένοις οὐκ ἐπέλιπον οἱ κατεγχειροῦντες. Γελοῖος γὰρ διδάσκαλος ἦν τῆς τυραννικῆς ἀσφαλείας, ὁ τοὺς ἀστάχυας ἀποτέμνων τοὺς ὑπερέχοντας τοῦ ληΐου· οὐ γὰρ τοσούτους γε ἂν ἀποτέμοι, ὥστε

μή τινας ἀπολείπεσθαι ὑψηλοτέρους τῶν ἀτμήτων ἀεὶ μενόντων. Τοῦτο γὰρ δὴ τὸ σχετλιώτατον τῆς τῶν τυράννων δειλίας, ὅτι πάντας κτείνοντες οὓς δεδίασιν, ἄχρι τοῦ μηδένα φοβεῖσθαι προελθεῖν οὐ δύνανται.

Οἶδά σου καὶ τὴν ἱερὰν ἐγκέλευσιν, ὦ βασιλεῦ, ἣν ἐνεκελεύσω τοῖς δικασταῖς, παραπέμπων ἐπὶ τὴν κρίσιν· καὶ πρὸς τὸν εἰπόντα ὅτι πρὸ πάντων φροντιστέον ἐστὶ τῆς ἀσφαλείας τῶν αὐτοκρατόρων, μᾶλλον μὲν οὖν, ἔφησθα, τῆς ἀγαθῆς δόξης. Οὐ γὰρ ζωῆς μῆκος διωκτέον τῷ βασιλεῖ, ἀλλ' ὑπεροχὴν ἀρετῆς. Ἐπεὶ καὶ Διονύσιος καὶ Τιβέριος ἐγκατεγήρων ταῖς μοναρχίαις, ἀλλὰ τὸ γῆρας αὐτῶν οὐδὲν ἄλλο ἦν ἢ μακροτέρα κακοδοξία. Ἀλλ' ὅγε οὕτω φρονῶν, καὶ περὶ πλείονος τὴν ἀγαθὴν δόξαν ἢ τὴν σωτηρίαν ποιούμενος, τί ἄλλο ἢ κακονουστέρους ὑπολαμβάνει τοὺς πρὸς εὔκλειαν αὐτῷ ἐμποδὼν ὄντας τῶν τῷ σώματι ἐπιχειρούντων; Ἐγὼ οὖν οὐκ ἂν σοι προσᾴδοιμι ἔτι τοὺς Πλάτωνος λόγους, καὶ μὰ Δία τοὺς Ἀριστοτέλους, οὐδὲ δὴ ἐμαυτοῦ τι ἂν εἴποιμι παράγγελμα ἢ νουθέτημα· ἀλλ' ἣν αὐτὸς ἐγέννησας γνώμην, ταύτην ἀπόχρη σοι μόνην εἰδέναι τε καὶ ἐπισκοπεῖν, πότερον ἐν τῇ πράξει πλέον τὸ καλὸν ἢ τὸ κερδαλέον, καὶ πότερον ἀθόλωτος ὁ λόγος ἐξορμᾷ σε ἐπὶ τὴν πρᾶξιν, καὶ ἐπαχλύεται ὁ λογισμὸς ὑπό τινος πάθους. Χαλεπώτατον γὰρ ἐκεῖνο τὸ πάθος, ὃ προεκπηδᾷ τοῦ λόγου ἐν ἐξουσίᾳ.

THÉMISTIUS, *Disc.* 19.

Éloge de la Justice.

Δικαιοσύνην καλὸν μὲν ἐπιτηδεύειν, καλὸν δὲ ἐγκωμιάζειν. περὶ ἧς τί μεῖζον εἴποι τις ἄν, ἢ ὅτι Θεοῖς ἐστι φίλη, καὶ ταύτην ἀσκοῦσι, καὶ ταύτῃ συζῶσιν. Ἐν μὲν γὰρ τοῖς ἑτέροις διεστήκασι, καὶ τῷ μὲν ὅπλων, τῷ δὲ χαλκείων, τῷ δὲ γάμων, τῷ δὲ ἑτέρων μέλει· δίκαιοι δὲ πάντες εἶναι βούλονται, καὶ εἰσίν. Ὁ δὲ Ζεὺς πάρεδρον ποιεῖται τὴν Δίκην· ὡς οὐκ ἂν ἄλλως κάλλιον διοική-

σων, οὔτε τὴν ἐν οὐρανῷ βασιλείαν, οὔτε τὰ ἐν τῇ γῇ πράγματα. Τῶν δὲ αὖ ἡμιθέων ὅσοι τὸν αὐτῶν βίον τοιοῦτον παρέσχοντο, ζῶντές τέ μοι δοκοῦσι καὶ μεταστάντες εὐδαιμονέστερον διαιτᾶσθαι. Τίς γὰρ οὐκ ἀκήκοε περὶ Μίνωος, ὡς ὑπὸ γῆν κάθηται τοῖς ἐπιοῦσι δικαστὴς, τοῖς μὲν ὁσίως βεβιωκόσιν ἆθλα διδοὺς, τοὺς δὲ πονηροὺς πέμπων εἰς τὸ τῆς τιμωρίας χωρίον; Αἴακος δὲ ὁμοπάτριος μὲν ἀδελφὸς τούτῳ, γενόμενος δὲ οὐ χείρων τὴν γνώμην, πλέον ἴσχυσε τῆς κοινῆς τῶν Ἑλλήνων ἀτυχίας, καὶ τὸν ἐκ τῆς αὐχμῆς λιμὸν ἔλυσεν Ἀχαιοῖς. Καὶ τί δεῖ περὶ τὰ παλαιὰ διατρίβειν, ἔτι καὶ νῦν τοῦ γράμματος εὐδοκιμοῦντος; Πρῶτον μὲν τοίνυν θεοῖς οἱ τοιοῦτοι φίλοι· φίλοι δὲ ὄντες εἰκότως τυγχάνοιεν καὶ τῶν παρ' ἐκείνων ἀγαθῶν, σωτηρίας, ὑγιείας, πλούτων, τῶν ἄλλων ὅσα κάλλιστα καὶ μέγιστα ἐνομίζετο. Εἰ δὲ καὶ πένησιν εἶναι συμβαίη τοῖς τοιούτοις, ἥγ' ἐπὶ τῆς ψυχῆς δικαιοσύνη τὴν ἄκραν αὐτοῖς εὐδαιμονίαν ἔχει· οἷς γε μᾶλλον τῶν χορηγούντων καὶ χρήματα ἐπιδιδόντων, ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι παρὰ τοῖς πολλοῖς ὑπάρχει. Καὶ ὅπερ Ὅμηρος ἔφησε περὶ τῶν δεινῶν εἰπεῖν, ὅτι θεοῖς παραπλήσιοι δι' ἀγορᾶς ἔρχονται, τοῦτ' ἂν τις δικαιότερον ὑπὲρ τῶν δικαίων εἴποι· τούτους γὰρ ὡς ἀληθῶς ἅπαντες αἰδοῦνται καθάπερ δαίμονας. Σύλλογός τίς ἐστι καὶ βουλὴ περὶ συμφέροντος· τοῖς τούτων λόγοις οἱ καθήμενοι προσέχουσιν· οὐ γὰρ διαβάλλει τὴν γνώμην ὑποψία χρημάτων. Πρεσβείαν ὁ καιρὸς καλεῖ; τούτους χειροτονοῦσι καὶ πέμπουσιν, εἰδότες ὡς οὐχ οὕτω πολλὰ δώσουσιν οἱ πολέμιοι, δι' ἃ προήσονται τὸ τῶν πραγμάτων συμφέρον. Ἀλλὰ καὶ τὰς δυνάμεις οὐχ ἑτέροις ἐγχειρίζουσιν, οἵγε σώζεσθαι βουλόμενοι, νομίζοντες μεῖζον ἰσχύσειν τοῦ στρατοπέδου τὴν γνώμην τοῦ στρατηγοῦ. Τίς οὐκ ἂν εὔξαιτο τῷ τοιούτῳ κηδεῦσαι; τίς οὐκ ἂν τὴν τούτου διώξειε φιλίαν; τίνι δὲ οὐκ αἰσχύνη τῷ τοιούτῳ πολεμεῖν; Ὁ δίκαιος κατηγορῶν πιστεύεται, καὶ κρινόμενος ἀποφεύγει, καὶ μαρτύρων οὐ δεῖται πολλῶν, μαρτυροῦντος τοῦ τρόπου· δικαζομένῳ δὲ εἰ

μαρτυρήσειε, κατὰ τοῦτον ἡ ψῆφος ἐξηνέχθη. Θεωρίαν δὲ εἰ δεήσει πέμπειν, τίς ἂν αἱρεθείη πρὸ τοῦ δικαίου; Δῆλον γὰρ ὡς τὰ διὰ τούτων γινόμενα, κεχαρισμένα τοῖς θεοῖς. Καὶ μὴν οἵγ' ἀμφισβητοῦντες, ἢ περὶ γῆς ἢ περὶ χρημάτων, τοὺς ἀποδεδειγμένους δικαστὰς ὑπεριδόντες, ἐπὶ τούσδε καταφεύγουσι... Οὗτος ὅλῃ πόλει σωτήριος, οὐ μόνον τὰ βέλτιστα συμβουλεύων, ἀλλὰ καὶ πολιτῶν παύων θυμόν. Καί τις ἂν ὅλῃ πόλει τὰς αἰτίας ἀφείη, τὸν δίκαιον αἰδεσθείς... Οἱ οὖν ἄλλοι πλουτήσαντες κακῶς, καὶ χαρισάμενοι ταῖς ἡδοναῖς ἐν τῷ βίῳ, δεδιότες εἰς ᾅδου πορεύονται, τῶν ἐνταῦθα κακῶν ἐκεῖ τὰς δίκας εἰδότες γινομένας· ὁ δέ γε δίκαιος, χαίρων μεθίσταται, καλῶν ἀποδημίαν τὴν καλὴν, κήπους καὶ ἄνθη, καὶ αὔρας ὀνειροπολῶν· καὶ ἀπελθόντος χαίρει τοὔνομα, καθάπερ Ἀριστείδῃ τοῦ Λυσιμάχου. Καὶ μόνοις τοῖς δικαίοις καλὰ μὲν τῇδε· καλλίω δὲ τὰ ὑπὸ γῆν. Καὶ θάπτονται μὲν σὺν ἐπαίνοις, χωροῦσι δὲ παρὰ φαύλους τοὺς ἐκεῖ θεούς· τοῖς παισὶν οἱ μὲν καταλιπόντες μετὰ χρημάτων τὴν παρὰ πάντων εὔνοιαν, οἱ δ' αὐτὴν εὔνοιαν ἀντὶ χρημάτων. Ὁ ἀριστεὺς, ἂν μὴ δίκαιος ᾖ, ταῖς χερσὶ κατὰ τῶν πολιτῶν ἐχρήσατο. Ὁ ῥήτωρ, ἂν δικαιοσύνης ἀμελεῖ, συμφορὰ τοῖς χρωμένοις ἐστί. Σωφροσύνη δ' οὐδ' ἂν γένοιτο τὴν ἀρχὴν, μὴ δικαιοσύνης ἡγουμένης· καὶ ὅλως τὰ μὲν ταύτης κεκοινωνηκότα, καὶ τοὺς κεκτημένους, καὶ τοὺς ἄλλους ἂν ὠφελήσειε, τὰ δὲ ἐστερημένα καὶ τοῖς ἔχουσι κακὰ, καὶ ὅσοι τούτοις συζῶσι.

LIBANIUS.

NOTES
SUR LES ORATEURS

(1) Lysias s'était réfugié au Pirée pour s'embarquer au premier moment.

(2) Après la bataille de Chéronée, il se rendit à Rhodes, sous prétexte de commerce, et ne rentra dans sa patrie qu'après huit ans d'absence.

(3) C'est l'orateur Hypéride. Il est ici question du décret qu'il porta, après la bataille de Chéronée, sur les moyens de mettre Athènes à l'abri de toute insulte de la part de Philippe.

(4) Parce que les Athéniens se croyaient nés de la terre qu'ils habitaient.

(5) Ces diverses villes fournirent des secours aux Athéniens après la bataille de Chéronée.

(6) On ne se permettait d'abattre les arbres que dans les plus pressans dangers : c'est ce que l'on fit après la bataille de Chéronée.

(7) Il s'agit des cinquante citoyens élus par chacune des dix tribus d'Athènes, et qui tous ensemble formaient le conseil des cinq cents.

(8) D'après les lois de Solon, l'ancienneté réglait les rangs, et les orateurs devaient monter à la tribune selon leur rang d'âge.

(9) Les habitans de Cirrha, ville de Phocide.

(10) Les Acragallides, peuples voisins de Cirrha.

(11) Minerve Pronœa, c'est-à-dire *la prévoyante*, surnom donné à Minerve par les Athéniens.

(12) Solon cultiva la poésie. Il nous reste quelques fragmens de ses vers.

(13) Midias, celui contre lequel Démosthène composa un discours.

(14) Les Mèdes, c'est-à-dire les Perses, ainsi appelés par les Grecs.

(15) Crobyle. L'histoire ne dit rien sur son compte.

(16) C'était, à Athènes, la place des Victimes.

(17) Cottyphe. Plus bas, Eschine dit qu'il était de Pharsale. Cependant on voit dans un décret rapporté par Démosthène qu'il était d'Arcadie. Nous dirons, avec M. l'abbé Auger, qu'apparemment ce Cottyphe était originaire d'Arcadie; mais que, s'étant attaché aux Thessaliens, il était allé s'établir à Pharsale. Il est probable qu'Eschine, en le disant de Pharsale, a voulu parler de sa ville d'adoption et non d'origine.

(18) Il est ici question de l'expédition de Philippe contre Athéas, roi des Scythes. Il le vainquit, et fit un butin très-considérable.

(19) Les Lacédémoniens avaient tenté de se soustraire à la domination de la Macédoine, pendant qu'Alexandre était occupé à faire la guerre en Asie. Ils furent vaincus par Antipater, qui leur permit d'envoyer une ambassade au roi pour apprendre leur sort de sa bouche.

(20) Le lieu où étaient renfermés les os de ceux qui avaient péri dans la bataille de Chéronée; car c'était l'usage de rapporter à Athènes les os des citoyens qui étaient morts pour la patrie, et de les faire inhumer aux dépens du public.

(21) M. Auger traduit ainsi : « Ce ne sont pas seu- » lement les exercices du corps et de l'esprit, l'étude

» de la philosophie et des belles-lettres qui instruisent » la jeunesse, mais bien plus encore les proclama- » tions. » Dans une note, il dit que, par le mot μουσικὴ, il faut entendre toutes sciences : sans doute parce que les premiers savans et les premiers philosophes étaient des poëtes qui chantaient eux-mêmes leurs vers, tâchant d'apprendre aux hommes, en amusant leurs esprits et en flattant leurs oreilles, les sciences nécessaires à leur bonheur, les vertus morales et civiles.

(22) On ne sait point de quel citoyen il est ici question. Quant à l'autre, c'est Léocrate, celui contre lequel l'orateur Lycurgue prononça un discours d'accusation.

(23) Arthmius, fils de Pythonax, était né à Zelée, ville de la Troade. Il jouissait à Athènes du droit d'hospitalité; mais les Athéniens, ayant découvert ses coupables menées dans le Péloponèse, où il répandait l'or d'Artaxerxès, roi des Perses, le chassèrent de leur ville, et le déclarèrent infâme.

(24) Littéralement : « Cela ne peut être, qu'Eschine » accuse Ctésiphon à cause de moi, et qu'il ne m'ac- » cusât point moi-même, s'il avait cru pouvoir me » convaincre »; c'est-à-dire : « Non, il n'est pas pos- » sible qu'il ait accusé Ctésiphon, et qu'il ne m'eût » pas accusé moi-même, s'il avait cru pouvoir me » convaincre. » Le second ἐμὲ doit se joindre à αὐτόν.

(25) Pella, ville de Macédoine que Philippe choisit pour y faire sa résidence.

(26) Amphipolis, ville de Macédoine, située dans la province appelée *l'Odomantique*

Pydna, ville de Macédoine, située dans la province appelée *Piérie.*

Potidée, ville de Macédoine, située dans la province appelée *la Chalcidique.*

(27) Halonnesus, l'une des îles appelées *Sporades*, aujourd'hui Dromi ou Dromo.

(28) Promontoire de la Thrace méridionale, avec un château qui portait le même nom.

(29) Fort situé dans la plaine de Dorisque, aussi dans la Thrace méridionale.

(30) Peparhetus, l'une des îles Sporades. Pline vante l'excellence de ses vins. Aujourd'hui Serallino.

(31) Les habitans de Mégare, capitale de la Mégaride, non loin du golfe Saronique.

(32) Oreus, ci-devant Itiæa ou Hestiæa, sur le canal de la mer Égée, qui séparait l'Eubée de la Thessalie. Aujourd'hui Oreo, ou bien Orio.

(33) Érétrie, la seconde ville de l'Eubée. Aujourd'hui Boccho, ou la Roche.

(34) Byzance, à l'entrée méridionale du Bosphore de Thrace. Aujourd'hui Constantinople.

(35) *La proie des Mysiens*, proverbe. Pendant l'absence de leur roi Télèphe, les Mysiens se trouvèrent si faibles, qu'ils furent impunément outragés par tous les peuples voisins. De là vient que, pour faire entendre qu'un peuple était dans la dernière faiblesse, on disait qu'il pouvait être *la proie des Mysiens*, eux qui avaient coutume d'être pillés par toutes les nations. Aristote cite aussi ce proverbe. (*Rhét.*, liv. 1, ch. 12.)

(36) Élatée, ville de la Phocide, située sur le Céphise.

(37) L'île de Proconnèse. Elle renfermait une ville

de même nom. C'est de là qu'on tirait ce beau marbre blanc veiné de noir, et très-connu sous le nom de *marbre de Proconnèse* ou *de Cyzique.*

(38) La Chersonèse.

(39) L'île de Ténédos, dont parle Virgile. (*Eneid.* liv. I.)

(40) Abydos ou Abyde, sur l'Hellespont.

(41) Hésiode. Nous avons de lui *la Théogonie*, ou *la Généalogie des Dieux*; un poëme intitulé *les Travaux et les Jours*, et *le Bouclier d'Achille* et quelques autres fragmens.

(42) Solon, le législateur d'Athènes. Nous avons dit qu'il cultiva la poésie.

(43) Théognis. Il ne nous reste que des fragmens de ses sentences, recueillis par Mailtaire.

(44) Prodicus, sophiste célèbre.

(45) Bossuet a pris le même texte, *Vanité des vanités*, dans son exorde de l'oraison funèbre de la duchesse d'Orléans. On pourra comparer les deux morceaux.

ÉPITRES.

Platon à Archytas de Tarente.

Εὖ πράττειν.

ΑΦΙΚΟΝΤΟ πρὸς ἡμᾶς οἱ περὶ Ἄρχιππον καὶ Φιλωνίδην, τήν τε ἐπιστολὴν φέροντες ἣν σὺ αὐτοῖς ἔδωκας, καὶ ἀπαγγέλλοντες παρὰ σοῦ. Τὰ μὲν οὖν πρὸς τὴν πόλιν, οὐ χαλεπῶς διεπράξαντο (καὶ γὰρ οὐδὲ παντελῶς ἦν ἐργώδη)· τὰ δὲ παρὰ σοῦ, διῆλθον ἡμῖν, λέγοντες ὑποδυσφορεῖν σε ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. Ὅτι μὲν οὖν ἥδιστόν ἐστιν ἐν τῷ βίῳ τὸ τὰ αὐτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἕλοιτο τοιαῦτα πράττειν οἷα καὶ σὺ, σχεδὸν παντὶ δῆλον. Ἀλλὰ κἀκεῖνο δεῖ σε ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν, ἀλλὰ τῆς γενέσεως ἡμῶν τὸ μέν τι ἡ πατρὶς μερίζεται, τὸ δέ τι, οἱ γεννήσαντες· τὸ δὲ, οἱ λοιποὶ φίλοι· πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι. Καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινὰ, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν. Ἅμα γὰρ ξυμβαίνει καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις, οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ προσέρχονται. Περὶ τούτων μὲν οὖν ἱκανῶς. Ἐχεκράτους δὲ καὶ νῦν ἐπιμέλειαν ἔχομεν, καὶ εἰς τὸν λοιπὸν χρόνον ἕξομεν, καὶ διὰ σὲ, καὶ διὰ τὸν πατέρα αὐτοῦ Φρυνίωνα, καὶ δι' αὐτὸν τὸν νεανίσκον.

Platon à Aristophane.

Εὖ πράττειν.

Ἀκούω Δίωνος ἐν τοῖς μάλιστα ἑταῖρον εἶναί τε σὲ νῦν, καὶ γεγονέναι διὰ παντὸς τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν

παρεχόμενον. Τὸ γὰρ βέβαιον καὶ πιστὸν καὶ ὑγιές, τοῦτο ἐγώ φημι εἶναι τὴν ἀληθινὴν φιλοσοφίαν· τὰς δὲ ἄλλας τε καὶ εἰς ἄλλα τεινούσας σοφίας τε καὶ δεινότητας, κομψότητας οἶμαι προσαγορεύων ὀρθῶς ὀνομάζειν. Ἀλλ' ἔρρωσό τε, καὶ μένε ἐν τοῖς ἤθεσιν οἷσπερ καὶ μένεις.

Archytas de Tarente à Denys de Syracuse.

Ἀπεστάλκαμεν πάντες οἱ Πλάτωνος φίλοι τὼς περὶ Λαμίσκον τε καὶ Φωτίδαν, ἀπολαμψόμενοι τὸν ἄνδρα, κατὰ τὰν παρὰ τὶν γενομέναν ὁμολογίαν· ὀρθῶς δὲ καὶ ποιεῖς, μιμνασκόμενος τήνας τᾶς σπουδᾶς, ἡνίκα πάντες ἄμμε παρεκάλεις ποττὰν Πλάτωνος ἄφιξιν, ἀξιῶν προτρέπεσθαί τε αὐτὸν καὶ ἀναδέχεσθαι τά τε ἄλλα καὶ τὰ περὶ τὴν ἀσφάλειαν, μένοντί τε καὶ ἀφορμιῶντι· μέμνασο δὲ καὶ τῆνο, ὅτι περὶ πολλῶ ἐποιήσω τὰν ἄφιξιν αὐτῶ· καὶ ἀγάπας ἐκ τήνω τῶ χρόνω, ὡς οὐδένα τῶν πὰρ τίν· αἰ δέ τις γέγονε τραχύτας, ἀνθρωπίζειν χρὴ, κἀποδιδόμεν ἄμμιν ἀβλαβῆ τὸν ἄνδρα· ταῦτα γὰρ ποιῶν, δίκαια πράξεις, καὶ ἄμμιν χαριῆ.

Pisistrate à Solon.

Οὔτε μόνος Ἑλλήνων τυραννίδι ἐπεθέμην, οὔτε ὡς οὐ προσῆκόν μοι, γένοις ὄντι τῶν Κοδριδῶν· ἀνέλαβον γὰρ ἐγὼ ἃ ὀμόσαντες Ἀθηναῖοι παρέξειν Κόδρῳ τε καὶ τῷ ἐκείνου γένει, ἀφείλοντο· τά τε ἄλλα ἁμαρτάνω οὐδὲν ἢ περὶ θεοὺς ἢ περὶ ἀνθρώποις· ἀλλὰ καθότι σὺ διέθηκας τοὺς θεσμοὺς Ἀθηναίοις, ἐπιτροπῶ πολιτεύειν· καὶ ἄμεινόν γε πολιτεύουσιν ἢ κατὰ δημοκρατίαν· ἐῶ γὰρ οὐδένα ὑβρίζειν· καὶ ὁ τύραννος ἐγὼ οὐ πλεῖόν τι φέρομαι τἀξιώματος καὶ τῆς τιμῆς· ὁποῖα δὲ καὶ τοῖς πρὶν βασιλεῦσιν ἦν τὰ ῥητὰ γέρα· ἀπάγει δὲ ἕκαστος Ἀθηναίων τοῦ αὐτοῦ κλήρου δεκάτην, οὐκ ἐμοὶ, ἀλλὰ ὁπόθεν ἔσται ἀναλοῦν εἴς τε θυσίας δημοτελεῖς, καὶ εἴ τι ἄλλο τῶν κοινῶν, καὶ ἢν ὁ πόλεμος ἡμᾶς καταλάβῃ·

σοὶ δ' ἐγὼ οὔτι μέμφομαι μηνύσαντι τὴν ἐμὴν διάνοιαν· εὐνοίᾳ γὰρ τῆς πόλεως μᾶλλον ἢ κατὰ τὸ ἐμὸν ἔχθος ἐμήνυες· ἔτι τε ἀμαθίᾳ τῆς ἀρχῆς ὁποίαν τινὰ ἐγὼ καταστήσομαι· ἐπεὶ μαθὼν, τάχα ἂν ἠνέσχου καθισταμένου, οὐδὲ ἔφυγες· ἐπάνιθι τοίνυν οἴκαδε, πιστεύων μοι καὶ ἀνωμότῳ, ἄχαρι μηδὲν πείσεσθαι Σόλωνα ἐκ Πεισιστράτου· ἴσθι γὰρ μηδὲ ἄλλον τινὰ πεπονθέναι τῶν ἐμῶν ἐχθρῶν· ἢν δὲ ἀξιώσῃς τῶν ἐμῶν φίλων εἷς εἶναι, ἔσῃ ἀνὰ πρώτους (οὐ γάρ τι ἐν σοὶ ἐνορῶ δολερὸν ἢ ἄπιστον)· εἴτε ἄλλως Ἀθήνησιν οἰκεῖν, ἐπιτετράψεται· ἡμῶν δὲ εἵνεκα μὴ ἐστέρησο τῆς πατρίδος.

Solon à Pisistrate.

Πιστεύω μηδὲν κακὸν ὑπὸ σοῦ πείσεσθαι· καὶ γὰρ πρὸ τῆς τυραννίδος φίλος σοι ἦν· καὶ νῦν οὐ μᾶλλον διάφορος ἢ τῶν ἄλλων τις Ἀθηναίων ὅτῳ μὴ ἀρέσκει τυραννίς· εἴτε δὲ ὑφ' ἑνὸς ἄρχεσθαι ἄμεινον αὐτοῖς, εἴτε δεῖ δημοκρατεῖσθαι, πεπείσθω ᾗ ἑκάτερος γινώσκει· καί σε φημὶ πάντων τυράννων εἶναι βέλτιστον· ἐπανήκειν δέ μοι Ἀθήναζε οὐ καλῶς ἔχον ὁρῶ, μή μέ τις μέμψηται, εἰ διαθεὶς Ἀθηναίοις ἰσοπολιτείαν, καὶ παρὸν τυραννεῖν, αὐτὸς οὐκ ἀξιώσας, νῦν ἐπανελθὼν ἀρεσκοίμην οἷς σὺ πράσσεις.

Brutus aux habitans de Pergame.

Ἀκούω ὑμᾶς Δολοβέλλᾳ δεδωκέναι χρήματα. Ἃ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν με· εἰ δὲ ἄκοντες, ἀποδείξατε τῷ ἐμοὶ ἑκόντες δοῦναι.

Les habitans de Pergame à Brutus.

Χρήματα Δολοβέλλᾳ μὲν, ἔτι εὐποροῦντες, ἐβιάσθημεν παρασχεῖν· σὺ δὲ ἡμᾶς δοῦναι θέλοντας ᾔτηκας, ὅτε δυσπλήρωτον ἐν ἀπορίᾳ τὸ πρόθυμον.

Brutus aux Lyciens.

Ξάνθιοι (1) τὴν ἐμὴν εὐεργεσίαν ὑπεριδόντες, τάφον τῆς ἰδίας ἀπονοίας ἐσχήκασι τὴν πατρίδα. Παταρεῖς (2) δὲ πιστεύσαντες ἑαυτους ἐμοι, οὐδὲν ἐλλείπουσι διοικοῦντες τὰ καθ' ἕκαστα τῆς ἐλευθερίας. Ἐξὸν οὖν καὶ ὑμῖν, ἢ τὴν Παταρέων κρίσιν, ἢ τὴν Ξανθέων τύχην ἑλέσθαι.

Les Lyciens à Brutus.

Ξανθίοις μεν συναχθόμεθα τῆς συμφορᾶς, ἣν πρόστιμον ἀνοίας ἔχουσι, τῷ μηδὲ μετανοῆσαι δύνασθαι. Παταρεῦσι δὲ συνήσθημεν, σωφρόνως ἅμα καὶ εὐτυχῶς ἑλομένοις, ἃ ἔμελλε συνοίσειν. Αὐτοὶ δὲ οὐχ οὕτως ἠλίθια φρονοῦμεν, ὥστε παρὸν ἐν φίλοις ἀριθμουμένοις εὐτυχεῖν, τὴν τῶν δι' ἔχθραν κεκολασμένων ἀτυχίαν ἑλέσθαι.

Phalaris à Lacrite.

Ἀχθομένῳ μέν σοι βαρέως ἐπὶ τῇ τοῦ παιδὸς τελευτῇ, πᾶσα συγγνώμη. Κἀγὼ δὲ σφόδρα συμπαθῶν, ὡς εἷς τῶν οἰκείων τὸ συμβεβηκὸς ἡγούμενος, μεῖζον ἄχθομαι· καίτοι στεῤῥοτέρᾳ φύσει πρὸς τὰ τοιαῦτα χρώμενος, διὰ τὸ μηδὲν ὄφελος ὁρᾷν μηδὲ τοῖς ἀμέτρως ἀνιωμένοις. Παραμυθία δὲ ἔστω σοι μεγάλη τῆς ἐπ' αὐτῷ συμφορᾶς, πρῶτον μὲν, ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος ἐν πολέμῳ, σὺν ἀριστείᾳ τέθνηκεν· εἶθ' ὅτι νικῶν, καλλίστου τέλους ὑπὸ τῆς εἱμαρμένης ἠξίωται· τὸ δὲ τελευταῖον, ὅτι μηδὲν ἁμαρτὼν παρὰ τὸν βίον, ὑπεσφράγισται τὴν ἰδίαν ἀρετὴν θανάτῳ. Ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθὸς, ἄδηλον εἰ μεταβαλεῖ πρὸς τὸ χεῖρον. Αἱ τύχαι γὰρ ἀνθρώπων τὸ πλεῖστον, οὐχ αἱ γνῶμαι κρατοῦσιν. Ὁ δὲ τελευτήσας ἀκατηγόρητος, ἐν τῷ καλλίστῳ σχήματι τῆς δόξης καθίδρυται. Νομίσας οὖν ἀξίας παρ' αὐτοῦ χάριτας

ἀπειληφέναι γενέσεως καὶ ἀνατροφῆς, τὸ καλὸν κἀγαθὸν μέχρι τέλους αὐτὸν γεγονέναι, ταύτην αὐτῷ τὴν ἀμοιβὴν ἀντίδος, τὸ πρᾴως καὶ εὐπαρηγορήτως τὴν ἐπ' αὐτῷ λύπην ἐνεγκεῖν.

Phalaris à Paurolas.

Τὰ μὲν παρὰ πατρὸς εἰς υἱὸν ἔσχηκας δίκαια, Παυρόλα· τὰ δὲ, ἐκ σοῦ πατρὶ, δυνάμενος, οὐκ ἀντιπαρέχων, ἁμαρτάνεις. Πυνθάνομαι γάρ σε παιδείας (ὃ πολλάκις ἐμεμψάμην) οὐκ ἐπιμελεῖσθαι. Ἄλλην δὲ χάριν οὐκ ἐπιζητῶ λαβεῖν παρὰ σοῦ, ταύτης ὑστερήσας. Ἴσθι δὲ, ὅτι καὶ τῷ πατρὶ τὸ παιδείας συμφέρον, ἐὰν χαρίσασθαι βουληθῇς, οὐχ ὁ ληψόμενος τὴν χάριν, ἀλλ' ὁ δώσων μᾶλλον καθέξει.

L'empereur Julien à Julien son oncle (3).

Τρίτης ὥρας νυκτὸς ἀρχομένης, οὐκ ἔχων οὐδὲ τὸν ὑπογράφοντα, διὰ τὸ πάντας ἀσχόλους εἶναι, μόλις ἴσχυσα πρός σε ταῦτα γράψαι. Ζῶμεν διὰ τοὺς θεοὺς ἐλευθερωθέντες τοῦ παθεῖν ἢ δρᾶσαι τὰ ἀνήκεστα. Μάρτυς δὲ ὁ ἥλιος, ὃν μάλιστα πάντων ἱκέτευσα συνάρασθαί μοι· καὶ ὁ βασιλεὺς Ζεὺς, ὡς οὐ πώποτε ηὐξάμην ἀποκτεῖναι Κωνστάντιον, μᾶλλον δὲ ἀπηυξάμην. Τί οὖν ἦλθον; ἐπειδή μοι οἱ θεοὶ διαῤῥήδην ἐκέλευσαν, σωτηρίαν μὲν ἐπαγγελλόμενοι πειθομένῳ, μένοντι δὲ, ὃ μηδεὶς θεῶν ποιήσειεν· ἄλλως τε ὅτι καὶ πολέμιος ἀποδειχθεὶς, ᾤμην φοβῆσαι μόνον, καὶ εἰς ὁμιλίας ἥξειν ἐπιεικεστέρας τὰ πράγματα· εἰ δὲ μάχῃ κριθείη, τῇ τύχῃ ἅπαντα καὶ τοῖς θεοῖς ἐπιτρέψας, περιμένειν ὅπερ ἂν αὐτῶν τῇ φιλανθρωπίᾳ δόξῃ.

L'empereur Julien à Dosithée (4).

Μικροῦ μοι ἐπῆλθε δακρῦσαι. Καίτοι γε ἐχρῆν ἐφ' ἡμῖν τοὔνομα τὸ σὸν φθεγγόμενον. Ἀνεμνήσθην γὰρ τοῦ γενναίου καὶ

πάντα θαυμασίου πατρὸς ἡμῶν· ὃν εἰ μὲν ζηλώσεις, καὶ αὐτός τε εὐδαίμων ἔσῃ, καὶ τῷ βίῳ δώσεις, ὥσπερ ἐκεῖνος, ἐφ' ὅτῳ φιλοτιμήσηται· ῥαθυμήσας δὲ, λυπήσεις ἐμὲ, σαυτῷ δὲ, ὅτε μηδὲν ὄφελος, μέμψῃ.

Julien à Amérius, pour le consoler de la mort de son épouse.

Οὐκ ἀδακρυτί σου τὴν ἐπιστολὴν ἀνέγνων, ἣν ἐπὶ τῷ τῆς συνοικούσης θανάτῳ πεποίησαι, τοῦ πάθους τὴν ὑπερβολὴν ἀγγείλας· πρὸς γὰρ τῷ καὶ καθ' ἑαυτὸ λύπης τὸ ξυμβὰν ἄξιον εἶναι, γυναῖκα νέαν καὶ σώφρονα καὶ θυμήρη τῷ γήμαντι, πρὸς δὲ καὶ παίδων ἱερῶν μητέρα, πρὸ ὥρας ἀναρπασθῆναι καθάπερ δᾷδα ἡμμένην, εἶτα ἐν ὀλίγῳ καταβαλοῦσαν τὴν φλόγα, ἔτι καὶ τὸ τοῦ πάθους εἰς σὲ τεῖνον, οὐχ ἧττόν μοι δοκεῖ λυπηρὸν εἶναι· ἥκιστα γὰρ δὴ πάντων ἄξιος ἦν ὁ καλὸς ἡμῶν Ἀμέριος, ἀλγεινοῦ τινος εἰς πεῖραν ἐλθεῖν, ἀνὴρ καὶ λόγῳ χρηστὸς, καὶ ἡμῖν εἰς τὰ μάλιστα τῶν φίλων ὁ ποθεινότατος· οὐ μὴν ἀλλ' εἰ μὲν ἕτερος ἦν, ᾧ γράφειν ἐπὶ τούτων ἐχρῆν, πάντως ἂν ἔδει μοι πλειόνων εἰς τοῦτο λόγων, τό τε συμβὰν, ὡς ἀνθρώπινον, καὶ τὸ φέρειν ὡς ἀναγκαῖον, καὶ τὸ μηδὲν ἐκ τοῦ μᾶλλον ἀλγεῖν, ἔχειν πλέον εὑρεῖν, καὶ πάντα ὅσα ἐδόκει πρὸς τὴν τοῦ πάθους παραμυθίαν ἁρμόττειν, ὡς ἀγνοοῦντα διδάσκοντι· ἐπεὶ δὲ αἴσχιον ἡγοῦμαι πρὸς ἄνδρα τοὺς ἄλλους νουθετοῦντα ποιεῖσθαι λόγους, οἷς χρὴ τοὺς μὴ εἰδότας σωφρονεῖν καὶ παιδεύειν, φέρε σοι τἄλλα παρεὶς, ἀνδρὸς εἴπω σοφοῦ μῦθον, εἴτε δὴ λόγον ἀληθῆ, σοὶ μὲν ἴσως οὐ ξένον, τοῖς πλείοσι δὲ, ὡς εἰκὸς, ἄγνωστον, ᾧ δὴ καὶ μόνῳ χρησάμενος, ὥσπερ φαρμάκῳ νηπενθεῖ, λύσιν ἂν εὕροις τοῦ πάθους, οὐκ ἐλάττω τῆς κύλικος, ἣν ἡ λάκαινα τῷ Τηλεμάχῳ πρὸς τὸ ἴσον τῆς χρείας ὀρέξασθαι πιστεύεται· φασὶ γὰρ Δημόκριτον τὸν Ἀβδηρίτην, ἐπειδὴ Δαρείῳ γυναικὸς καλῆς ἀλγοῦντι θάνατον οὐκ εἶχεν ὅ τι ἂν εἰπὼν εἰς παραμυθίαν

ἀρκέσειεν, ὑποσχέσθαι οἱ τὴν ἀπελθοῦσαν εἰς φῶς ἀνάξειν, ἣν ἐθελήσῃ τῶν εἰς τὴν χρείαν ἡκόντων ὑποστῆναι τὴν χορηγίαν· κελεύσαντος δ᾽ ἐκείνου μὴ φείσασθαι, ὅ τι δ᾽ ἂν ἐξῇ λαβόντα τὴν ὑπόσχεσιν ἐμπεδῶσαι, μικρὸν ἐπισχόντα χρόνον εἰπεῖν, ὅτι τὰ μὲν ἄλλα αὐτῷ πρὸς τὴν τοῦ ἔργου πρᾶξιν συμπορισθείη, μόνου δὲ ἑνὸς προσδέοιτο, ὃ δὴ αὐτὸν μὲν οὐκ ἔχειν ὅπως ἂν λάβοι, Δαρεῖον δὲ ὡς βασιλέα ὅλης τῆς Ἀσίας, οὐ χαλεπῶς ἂν ἴσως εὑρεῖν· ἐρομένου δ᾽ ἐκείνου τί ἂν εἴη τοσοῦτον, ὃ μόνῳ βασιλεῖ γνωσθῆναι συγχωρεῖται, ὑπολαβόντα φασὶ τὸν Δημόκριτον, εἰ τριῶν ἀπενθήτων ὀνόματα τῷ τάφῳ τῆς γυναικὸς ἐπιγράψειεν, εὐθὺς αὐτὴν ἀναβιώσεσθαι, τῷ τῆς τελευτῆς νόμῳ δυσωπουμένην· ἀπορήσαντος δὲ τοῦ Δαρείου, καὶ μηδένα ἄνδρα δυνηθέντος εὑρεῖν, ὅτῳ μὴ καὶ παθεῖν λυπηρόν τι συνηνέχθη, γελάσαντα συνήθως τὸν Δημόκριτον εἰπεῖν· Ἔτι, ὦ πάντων ἀτοπώτατε, θρηνεῖς ἀναίδην, ὡς μόνος ἀλγεινῷ τοσούτῳ συμπλακεὶς, ὁ μηδὲ ἕνα τῶν πώποτε γεγονότων ἄμοιρον οἰκείου πάθους ἔχων εὑρεῖν; ἀλλὰ ταῦτα μὲν ἀκούειν ἐδεῖτο Δαρεῖος ἀνὴρ βάρβαρος καὶ ἀπαίδευτος, ἔκδοτος ἡδονῇ καὶ πάθει· σὲ δὲ ἄνδρα ἕλληνα καὶ παιδείαν ἀληθῆ πρεσβεύοντα, καὶ παρὰ σαυτοῦ τὸ εἰκὸς ἔχειν ἄρχειν· ἐπεὶ καὶ ἄλλως αἰσχύνη τοῦ λογισμοῦ γένοιτ᾽ ἂν, εἰ μὴ ταὐτὸν δύναιτο τῷ χρόνῳ.

Synesius à Clédoine.

Συγγενὴς ἐμὸς ἀδικεῖται· σὺ δὲ καὶ φίλος εἶ καὶ δικάζειν ἔλαχες. Ἐκ μιᾶς οὖν προσοχῆς ὑπάρξει σοὶ κἀμοὶ καὶ τοῖς νόμοις χαρίσασθαι. Ἐπανίτω τοίνυν Ἀσφάλιος εἰς τὸ δεσπότης εἶναι τῶν κεραμίων, τῇ τοῦ πατρὸς διαθήκῃ προσλαβὼν τὴν ἀπόφασιν, τῆς κατηγορίας οὐκ ἐσομένης ἐμποδὼν τῷ παραυτίκα τῆς ἀκροάσεως. Πότε γὰρ δεῖ δικαιοδοτεῖν, ἢ τὸν χρόνον ἐν ᾧ μάλιστα τυγχάνομεν δεόμενοι τοῦ θεοῦ;

Synesius à son frère.

Ποιμένιος οὗτος ὁ τὴν ἐπιστολήν σοι διδοὺς, ἐστάλη πρὸς ἡμᾶς ὑπὸ τοῦ μικρῷ πρότερον δυναστεύσαντος Ἀρταβαζάκου ἐπὶ ταῖς οὐσίαις ἁπάσαις ὧν ἐν τοῖς τῇδε τόποις ἐγεγόνει κύριος· ἀλλ' ἐν ὑποθέσει τοιαύτῃ, πρᾷον ἑαυτὸν παρέσχε καὶ μετριώτατον. Καίτοι τίς ἕτερος οὕτως ἐχρήσατο τῷ καιρῷ; Ποιμενίου δὲ οὐδεὶς Λιβύων τὴν τότε δύναμιν ἐβαρύνετο. Μέγα τεκμήριον· λυπεῖ τὰς πόλεις ἀναχωρῶν. Σὺ δέ μοι τὸν ἄνδρα φιλίως καὶ ὥσπερ εἰκὸς, ἐπαίνεσον ἐπὶ καλοκἀγαθίᾳ.

Denys, sophiste d'Antioche, à Philoxène.

Εὖ πράττε, φίλων ἄριστε καὶ ῥητόρων. Οὕτω γὰρ ἐγὼ διατελῶ περὶ σοῦ τὰ μὲν εὐχόμενος, τὰ δὲ προσδοκῶν. Καὶ σὺ μὲν ὅτι μέμνησαι φίλων, καὶ σπεύδεις ὑπὲρ ἡμῶν, εἰσὶν οἱ δεῦρο ταῦτα συνεχῶς ἀπαγγέλλοντες· προστίθει δὲ τούτοις τὸ λειπόμενον, καὶ δίδου συνεχῶς ὑμετέραις ἐντυγχάνειν ἐπιστολαῖς.

Denys à Eustathe.

Ὁ γράφων ἐγὼ τὴν ἐπιστολὴν, φίλος ὑμῖν· ὁ κομίζων, φίλος ἐμοί· γένοιτο τοίνυν καὶ σοὶ δι' ἐμέ. Καὶ γνῶθι κἀνταῦθα ποδαπός τις εἰμὶ, φίλους εἰσάγων τοῖς φίλοις. Ἐφ' οἷς δὲ ἥκει, καὶ ὅπως αὐτὰ χρὴ διαθεῖναι, τὰς μὲν αἰτίας αὐτὸς διηγήσεται· πρὸς δὲ τὸ δεύτερον ὑμεῖς ὑφηγήσασθε, καὶ φιλοῦντες ἄγαν, καὶ φρονοῦντες ἱκανῶς.

Grégoire à Philagre.

Καισαριον οὐκ ἔχω· ἐρῶ γὰρ (καὶ εἰ μὴ φιλόσοφον τὸ πάθος), στέργω τὰ Καισαρίου· καὶ ὅ τι ποτ' ἂν ἴδω Καισαρίου γνώρισμα,

καὶ περιπτύσσομαι καὶ ἀσπάζομαι, καὶ οἱονεὶ αὐτὸν ὁρᾷν δοκῶ, καὶ συνεῖναι καὶ διαλέγεσθαι. Καὶ οἷον ἔπαθον νῦν ἐπὶ τοῖς σοῖς γράμμασιν· ὁμοῦ γε ἀνέγνων τὸ πρόγραμμα τῆς ἐπιστολῆς, τὸ γλυκύ μοι πρᾶγμα καὶ ὄνομα τὸ Φιλάγριον, καὶ πάντα μοι ἀθρόως ὑπεισῆλθε τά ποτε τερπνά· αἱ πόλεις, αἱ διατριβαὶ, ἡ τράπεζα, ἡ πενία, τὰ τῆς ἐρατεινῆς ὁμηλικίης, ὅ φησιν Ὅμηρος, ἢ παίγνια, ἢ σπουδάσματα, οἱ τῶν λόγων ἱδρῶτες, οἱ κοινοὶ παιδευταὶ, τὸ τῶν ἐλπίδων ὕψος, πάντα ὅσα ἂν εἴποι τις τῶν τηνικαῦτα καλῶν· οἷς ἐγὼ χαίρω διαφερόντως καὶ μεμνημένος. Ἵν' οὖν ἔτι μᾶλλον ὁμιλῶμεν τούτοις διὰ σοῦ, κίνου τὴν γραφίδα, καὶ χαρίζου τὸ ἐπιστέλλειν. Πάντως οὐδὲ τοῦθ' ἡμῖν μικρόν· εἰ καὶ τὸ μέγιστον ἥρπασεν ἡμῶν ὁ φθόνος, τὴν συνουσίαν, λυπηρῶς διαθεὶς τὰ ἡμέτερα.

Grégoire à Basile le Grand.

Ἐψευσάμην, ὁμολογῶ, τὴν ὑπόσχεσιν, συνέσεσθαί σοι καὶ συμφιλοσοφήσειν καθομολογήσας, ἐκ τῶν Ἀθηνῶν ἔτι, καὶ τῆς ἐκεῖσε φιλίας καὶ συμφυΐας· οὐ γὰρ ἔχω τι τούτων εἰπεῖν οἰκειότερον. Ἐψευσάμην δὲ, οὐχ ἑκὼν, ἀλλὰ νόμου νόμον νικήσαντος, τοῦ θεραπεύειν κελεύσαντος τοὺς γεννήτορας, τὸν τῆς ἑταιρείας καὶ συνηθείας. Οὐ μὴν παντάπασι ψεύσομαι, ἂν τοῦτο αὐτὸ ἐγκαταδέξῃ. Τὰ μὲν γὰρ ἡμεῖς σοι συνεσόμεθα, τὰ δὲ αὐτὸς ἡμῖν θέλησον· ἵν' ᾖ τὰ πάντα κοινὰ, καὶ τὸ τῆς φιλίας ὁμότιμον. Οὕτω γὰρ ὑπάρξει καὶ τὸ τούτοις μὴ λυπεῖν καὶ τὸ σοῦ τυγχάνειν.

Basile à Grégoire de Nazianze.

Γράμμα ἦλθέ μοι πρώην παρὰ σοῦ, ἀκριβῶς σόν· οὐ τοσοῦτον τῷ χαρακτῆρι τῆς χειρὸς, ὅσον τῷ τῆς ἐπιστολῆς ἰδιώματι. Ὀλίγα γὰρ ἦν τὰ ῥήματα πολλὴν διάνοιαν παριστῶντα. Πρὸς ἃ εὐθὺς μὲν οὐκ ἀπεκοινάμεθα, διότι αὐτοὶ μεν ἀπεδημοῦμεν· ὁ

δὲ γραμματοφόρος ἑνὶ τῶν ἐπιτηδείων ἡμῖν ἐπιδοὺς τὴν ἐπιστολὴν, ἀπιὼν ᾤχετο. Ἀλλὰ νῦν διὰ Πέτρου προσφθεγγόμεθά σε. ὁμοῦ μὲν ἀποτιννύντες τῆς προσηγορίας τὸ χρέος· ὁμοῦ δὲ ἀφορμὴν δευτέρων γραμμάτων παρέχοντες. Πάντως δὲ οὐδεὶς πόνος λακωνικῆς ἐπιστολῆς, ὁποῖαί εἰσιν αἱ παρὰ σοῦ ἑκάστοτε πρὸς ἡμᾶς ἀφικνούμεναι.

Basile à Libanius.

Πολλοὶ περιτυχόντες ἡμῖν τῶν αὐτόθι, ἐθαύμασάν σου τὴν ἐν τοῖς λόγοις ἀρετήν. Ἔλεγον γὰρ ἐπίδειξίν τινα γεγενῆσθαι λαμπρὰν ἄγαν· καὶ ἀγὼν ἦν, ὡς ἔφασκον, μέγιστος· ὡς πάντας μὲν συνδραμεῖν, καὶ μηδένα ἕτερον ἐν τῇ πόλει φανῆναι, ἢ μόνον Λιβάνιον ἀγωνιζόμενον, καὶ πᾶσαν ἡλικίαν ἀκροωμένην. Οὐ γὰρ ἠξίου τις ἔξω τῶν ἀγώνων γενέσθαι· οὐκ ἀξιώματος ὄγκῳ συνών, οὐ στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, οὐ βαναύσοις τέχναις σχολάζων. Ἤδη δὲ καὶ γυναῖκες παρεῖναι κατηπείγοντο τοῖς ἀγῶσι. Τίς δὲ ὁ ἀγὼν, τίς δὲ ὁ λόγος, ὁ τὴν πάνδημον συναγείρας πανήγυριν; καὶ δή μοι ἤγγειλαν δυσκόλου τρόπου ἀνδρὸς τὸν λόγον ἐνστήσασθαι. Ὃν οὕτω θαυμασθέντα μὴ κατόκνει μοι πέμψαι, ἵνα κἀγὼ τῶν λόγων ἐπαινέτης εἴην τῶν σῶν. Ὁ γὰρ Λιβάνιον ἐπαινῶν καὶ τῶν ἔργων ἐκτὸς, τίς ἂν γένωμαι νῦν, ὑπόθεσιν ἐπαίνων εὑρόμενος;

Libanius à Basile.

Ἰδοὺ πέπομφα τὸν λόγον ἱδρῶτι περιῤῥεόμενος. Πῶς γὰρ οὐκ ἔμελλον, ἀνδρὶ τοιούτῳ πέμπων τὸν λόγον, ὃς ἱκανός ἐστι τὴν Πλάτωνος σοφίαν καὶ Δημοσθένους δεινότητα δεῖξαι θρυλλουμένας μάτην; τὸ δὲ ἐμὸν τοιοῦτον, οἷον κώνωψ ἐλέφαντι παραβαλλόμενος. Ὅθεν πέφρικα καὶ τρέμω, τὴν ἡμέραν λογιζόμενος καθ' ἣν ἐπισκέψῃ τοὺς λόγους· μικροῦ δὲ καὶ τῶν φρενῶν ἐκπέπτωκα.

Basile à Libanius.

Ἀνέγνων τὸν λόγον, σοφώτατε, καὶ ὑπερτεθαύμακα. Ὦ Μοῦσαι, καὶ λόγοι, καὶ Ἀθῆναι, οἷα τοῖς ἐρασταῖς δωρεῖσθε! Οἵους κομίζονται τοὺς καρποὺς, οἱ βραχὺν τινα χρόνον ὑμῖν συγγινόμενοι! Ὦ πηγῆς πολυχεύμονος, οἵους ἔδειξε τοὺς ἀρυομένους! Αὐτὸν γὰρ ἐδόκουν ὁρᾷν ἐν τῷ λόγῳ τὸν λάλῳ συνόντα γυναίῳ. Ἔμπνουν γὰρ λόγον ἐπὶ χθονὸς Λιβάνιος ἔγραψεν, ὃς μόνος τοῖς λόγοις ψυχὴν ἐχαρίσατο.

Libanius à Basile.

Νῦν ἔγνων εἶναι ὃ λέγομαι. Βασιλείου γάρ με ἐπαινέσαντος, κατὰ πάντων ἔχω τὰ νικητήρια, καὶ τὴν ψῆφον δεξαμένῳ τὴν σὴν ἔπεστι βαδίζειν μετὰ σοβαροῦ τοῦ βαδίσματος, οἷά τις ἀλαζὼν τοὺς πάντας περιφρονῶν. Ἐπεὶ οὖν καὶ σοὶ κατὰ μέθης λόγος πεπόνηται, βουλόμεθα τούτῳ περιτυχεῖν. Ἀλλὰ κομψὸν μέν τι λέγειν οὐκ ἐθέλω, ὁ δὲ λόγος ὀφθεὶς διδάξει με τὴν τοῦ λόγου τέχνην.

FIN.

NOTES

DES ÉPITRES.

(1) Les habitans de Xanthus, sur le fleuve du même nom; suivant Strabon, l'une des villes les plus considérables de la Lycie.

(2) Les habitans de Patara, qui, suivant Tite-Live, était la capitale de la Lycie.

(3) C'est en faveur de cet oncle que l'empereur Julien pardonna aux habitans d'Alexandrie le meurtre de George, leur évêque. (V. *Lettre X.*)

(4) On croit que ce Dosithée est celui avec lequel Libanius était en correspondance. (Tourlet, *Lettre XXIV*, argument.)

FIN DES NOTES.

TABLE

DES MATIÈRES.

INTRODUCTION.

POËTES

POÉSIE ÉPIQUE.

POÉSIE DIDACTIQUE.

POÉSIE LYRIQUE.

POÉSIE DRAMATIQUE.

POÉSIE PASTORALE.

ÉPIGRAMMES.

PROSATEURS.

HISTORIENS.

PHILOSOPHES.

ORATEURS.

ÉCRIVAINS ÉPISTOLAIRES.

FIN.

[illegible] LA [illegible]

[illegible] adopté par le Conseil de l'Instruction publique. [illegible]

[illegible] adopté par le Conseil de l'Instruction publique [illegible]

[illegible] adopté par le Conseil de l'Instruction publique [illegible]

[illegible] adopté par le Conseil de l'Instruction publique [illegible]

[illegible] adopté par le Conseil de l'Instruction publique [illegible]

[illegible] adopté par le Conseil de l'Instruction publique [illegible]